memorantur: sed ea in primis insignia fuere, in quibus unius virtus enituit, ut Achillis ad Ilium, Miltiadae in Marathone. Sed profecto praeclarum illud Leonidae facinus, meo quidem iudicio, omnia cuiusvis temporis *exempla* vicit. Hic enim Xerxi, regum omnium, qui post Medis et Persis imperarunt, animi elatione et operum magnificentia longe praestantissimo, in Graeciam irruenti tam acriter cum paucis, quorum dux erat, ad Thermopylas restitit, ut ne visurus ille quidem Graeciam, nedum Athenas fuisset incensurus, nisi a Trachinio homine Hydarnis copiae per Oëtae montis tramites circumductae Graecos oppressissent. Ac Leonida quidem *cum suis* interempto, Barbari in Graeciam irruperunt. (7) *Post hunc* Pausanias Cleombroti filius non certe regnavit, verum quum Plistarchi Leonidae filii tutor esset, ad Plataeas Lacedaemonios duxit, atque inde in Hellespontum classe transmisit. Huius in Coam mulierem factum non possum non magnopere

ἐπαίνῳ τίθεμαι μάλιστα· ἥντινα ἀνδρὸς οὐκ ἀδόξου παρὰ Κώοις θυγατέρα οὖσαν Ἡγητορίδου τοῦ Ἀνταγόρου Φαρανδάτης ὁ Τεάσπιδος, ἀνὴρ Πέρσης, παλλακὴν εἶχεν ἄκουσαν. ἐπεὶ δὲ Πλαταιᾶσι Μαρδόνιός τε ἔπεσεν ἐν τῇ μάχῃ καὶ ἀπώλοντο οἱ βάρβαροι, τὴν γυναῖκα ὁ Παυσανίας ἀνέστειλεν ἐς τὴν Κῶν κόσμον τε, ὃν ἐποιήσατο ὁ Πέρσης αὐτῇ, καὶ τὴν ἄλλην ἀγομένην κατασκευήν· Μαρδονίου τε οὐκ ἠθέλησεν ὁ Παυσανίας αἰσχῦναι τὸν νεκρὸν κατὰ τὴν παραίνεσιν τοῦ Αἰγινήτου Λάμπωνος.

CAPUT V.

Pausanias minor, Atheniensibus ad Piraeeum victis, triginta tyrannorum imperium non adjuvare vult, sed domum redit — ideo ab inimicis accusatur, et judicio absolvitur — Lacedaemonii Lysandro duce Thebanos invadunt — Lysandro caeso, Pausanias supervenit et cum Thebanis paciscitur — Pausanias denuo accusatus a Tegeatis in templo Minervae Aleae supplex recipitur — de Aristodemo, Pausaniae filiorum tutore — Agesipolis, rex Lacedaem., Argivis bellum infert, sed terrae motu et tonitru recedere cogitur — contra Olynthios exercitum ducit et subito moritur.

Πλείσταρχος μὲν οὖν ὁ Λεωνίδου νεωστὶ τὴν βασιλείαν παρειληφὼς ἐτελεύτησε. Πλειστοάναξ δὲ ἔσχε τὴν ἀρχὴν

collaudare. Is enim Coi hominis non ignobilis uxorem, Hegetoridae filiam, Antagorae neptem, quam Pharandates Persa Theaspidis filius invitam *abduxerat, et* in pallacarum numero habebat, Mardonio ad Plataeas et Persis ad internecionem caesis, Coon ad suos cum omni muliebri mundo donisque omnibus, quae a Pharandate acceperat, remisit. Idem Mardonii cadaver contra Lamponis Aeginetae sententiam violari vetuit.

Cap. V. Iam vero Plistarchus Leonidae filius in ipsis regni initiis diem suum obiit. Cui Plistoanax successit, eius

ὁ Παυσανίου τοῦ Πλαταιᾶσιν ἡγησαμένου. (2) Πλειστοάνακτος δὲ ἐγένετο Παυσανίας. Οὗτος ἐς τὴν Ἀττικὴν ἀφίκετο ὁ Παυσανίας Θρασυβούλῳ καὶ Ἀθηναίοις πολέμιος τῷ λόγῳ, τοῖς δὲ ἄρχειν ἐπιτραπεῖσιν ὑπὸ Λυσάνδρου καταστησόμενος τὴν τυραννίδα ἐν βεβαίῳ. καὶ μάχῃ μὲν ἐνίκησεν Ἀθηναίων τοὺς ἔχοντας τὸν Πειραιᾶ, μετὰ δὲ τὴν μάχην αὐτίκα οἱ τὸν στρατὸν ἀπάγειν οἴκαδε ἤρεσε, μηδὲ ἀνοσίων ἀνδρῶν τυραννίδα αὔξοντα ἐπισπάσασθαί τῇ Σπάρτῃ τὸ αἴσχιστον ὀνειδῶν. (3) Ὡς δὲ ἐπανῆλθεν 215
ἐξ Ἀθηνῶν μαχεσάμενος ἄπρακτον μάχην, ὑπάγουσιν αὐτὸν ἐς κρίσιν οἱ ἐχθροί. βασιλεῖ δὲ τῷ Λακεδαιμονίων δικαστήριον ἐκάθιζον οἵ τε ὀνομαζόμενοι γέροντες ὀκτὼ καὶ εἴκοσιν ὄντες ἀριθμόν, καὶ ἡ τῶν ἐφόρων ἀρχή, σὺν δὲ αὐτοῖς καὶ ὁ τῆς οἰκίας βασιλεὺς τῆς ἑτέρας. τέσσαρες μὲν δὴ καὶ δέκα τῶν γερόντων, ἐπὶ δὲ αὐτοῖς Ἆγις, ὁ τῆς ἑτέρας οἰκίας βασιλεύς, ἀδικεῖν τὸν Παυσανίαν κατέγνωσαν· τὸ δὲ ἄλλο ἀπέγνω δικαστήριον. (4) Μετὰ δὲ οὐ πολὺν χρόνον Λακεδαιμονίων συλλεγόντων ἐπὶ Θήβας

ipsius Pausaniae filius, cuius ductu praelium ad Plataeas factum. (2) Plistoanacte natus Pausanias. Hic Pausanias in Atticam exercitum duxit, verbo cum Thrasybulo et Atheniensibus bellum gesturus; re vero ipsa, ut tyrannorum XXX, qui a Lysandro impositi fuerant, dominatum firmaret. Superato tamen ad Piraeeum Atheniensium praesidio, domum exercitum reportare statuit, quod scilicet non esse eam Spartanorum reipublicae maculam omnium turpissimam adspergendam putaret, ut impurissimorum hominum tyrannidem confirmasse dicerentur. (3) In patriam re infecta reversus, ab inimicis *maiestatis* est postulatus. Apud Lacedaemonios de rege iudicium hoc ritu constitui solet. Consident, qui seniores appellantur, duodetriginta numero: cum iis Ephori, nec non alterius familiae rex. Is erat tunc Agis. Ac XIV sane seniores, et Agis rex, Pausaniam condemnarunt: absolverunt reliquae eius consilii partes. (4) Neque ita multo post delectum Lacedaemonii contra Thebanos habuerunt,

στρατιὰν (αἰτία δὲ ἥτις ἐγένετο, προσέσται τῷ ἐς Ἀγησίλαον λόγῳ), τότε δὲ Λύσανδρος μὲν ἐς τὴν Φωκίδα ἀφικόμενος, καὶ ἀναλαβὼν πανδημεὶ τοὺς Φωκέας, οὐδένα ἔτι ἐπισχὼν χρόνον, ἔς τε Βοιωτίαν ἐλήλυθε, καὶ προσβολὰς ἐποιεῖτο ἐς τὸ Ἁλιαρτίων τεῖχος, οὐ θελόντων ἀπὸ Θηβαίων ἀφίστασθαι. ἐσεληλύθεσαν δὲ ἤδη καὶ Θηβαίων καὶ Ἀθηναίων τινὲς κρύφα ἐς τὴν πόλιν, ὧν ἐπεξελθόντων, καὶ πρὸ τοῦ τείχους ταξαμένων, ἄλλοι τε ἐνταῦθα Λακεδαιμονίων καὶ Λύσανδρος ἔπεσε. (5) Παυσανίας δὲ ὑστέρησε μὲν τοῦ ἀγῶνος παρὰ Τεγεατῶν καὶ ἐξ Ἀρκαδίας τῆς ἄλλης ἀθροίζων δύναμιν. ὡς δὲ ἐς τὴν Βοιωτίαν ἀφίκετο, ἐπυνθάνετό τε τὴν ἧτταν τῶν ὁμοῦ Λυσάνδρῳ, καὶ αὐτοῦ Λυσάνδρου τὴν τελευτήν, ἀπῆγε δὲ ὅμως ἐπὶ τὰς Θήβας τὸν στρατόν, καὶ διενοεῖτο ὡς μάχης ἄρξων. ἐνταῦθα οἵ τε Θηβαῖοι τὰ ἐναντία ἐτάσσοντο, καὶ Θρασύβουλος ἀπέχειν οὐ πολὺ ἐπηγγέλλετο ἄγων τοὺς Ἀθηναίους, ἀνέμενε δὲ ἄρξαι Λακεδαιμονίους μάχης, ἄρξασι δὲ αὐτὸς ἤδη κατὰ νώτου σφίσιν ἔμελλεν ἐπικείσεσθαι. ἔδει-

Cuius belli quae causa fuerit, quum Agesilai res gestas commemorabimus, exponetur. Ac tunc quidem Lysander, universis Phocensibus assumtis, cunctatione omni sublata, in Boeotiam invasit, et Haliartiorum *primum* oppidum aggressus est oppugnare. Illi quum adduci non possent, ut a Thebanis deficerent, Thebanorum et Atheniensium auxiliis intra urbem receptis, eruptionem fecere. Cum iis Lysander acie ante ipsa urbis moenia congressus, cum magna Lacedaemoniorum manu dimicans occubuit. (5) Interea Pausanias, a Tegeatis et reliqua Arcadia comparatis auxiliis, confecto iam praelio supervenit. Is ubi primum Boeotiam attigit, eorum, qui cum Lysandro fuerant, et ipsius Lysandri caedem cognovit; nihilo tamen secius Thebas perrexit, urbem oppugnaturus. Verum quum Thebani se ad omnem impetum sustinendum confirmarent, iamque Thrasybulus cum Atheniensium auxiliis adventare nunciaretur, qui id unum expectabat, ut praelium Lacedaemonii inirent, quo illos a tergo adoriretur:

σεν οὖν ὁ Παυσανίας διπλοῦ στρατιωτικοῦ πολεμίων ἀν-
δρῶν μεταξὺ ἀποληφθῆναι; καὶ οὕτω σπονδάς τε πρὸς
τοὺς Θηβαίους ἐποιήσατο, καὶ τοὺς ὑπὸ τῷ Ἁλιαρτίων
τείχει πεσόντας ἀνείλετο. τοῦτο Λακεδαιμονίοις μὲν ἐγέ-
νετο οὐ κατὰ γνώμην, ἐγὼ δὲ ἐπαινῶ τῶνδε εἵνεκα τὸ
βούλευμα. ἅτε γὰρ εὖ εἰδὼς ὁ Παυσανίας, ὡς τὰ σφάλ- 216
ματα ἀεὶ Λακεδαιμονίοις γίγνονται ἐν μέσῳ πολεμίων ἀπο-
ληφθεῖσι, τό τε ἐν Θερμοπύλαις καὶ ἐν τῇ Σφακτηρίᾳ
νήσῳ, δεῖμα ἐποιήσατο, μή σφισιν καὶ αὐτὸς τρίτου γέ-
νηται κακοῦ πρόφασις. (6) Τότε δὲ ἐν αἰτίᾳ ποιουμένων
τῶν πολιτῶν τὴν βραδυτῆτα αὐτοῦ τὴν ἐς Βοιωτίαν, οὐχ
ὑπέμεινεν ἐσελθεῖν ἐς δικαστήριον, Τεγεᾶται δὲ αὐτὸν τῆς
Ἀθηνᾶς ἱκέτην ἐδέξαντο τῆς Ἀλέας. ἦν δὲ ἄρα τὸ ἱερὸν
τοῦτο ἐκ παλαιοῦ Πελοποννησίοις πᾶσιν αἰδέσιμον, καὶ
τοῖς αὐτόθι ἱκετεύουσιν ἀσφάλειαν μάλιστα παρείχετο.
ἐδήλωσάν τε οἵ τε Λακεδαιμόνιοι τὸν Παυσανίαν, καὶ ἔτι
πρότερον τούτου Λεωτυχίδην, καὶ Ἀργεῖοι Χρυσίδα, κα-

Pausanias veritus, ne medius inter duos hostium exercitus *ancipiti periculo* circumveniretur, icto cum Thebanis foedere, eorum, qui sub Haliartiorum muris ceciderant, cadavera ad sepulturam tollenda curavit. Ea sane res neutiquam Lacedaemoniorum judicio comprobata est: ego vero Pausaniae consilium rectum fuisse existimo. Nam quum probe nosset, Lacedaemoniis inter medios hostes circumclusis semper aliquam accidere cladem, ut ad Thermopylas et in Sphacteria insula, metuebat, ne tertiae ipse cladis auctor haberetur. (6) Verum quum longe aliter ipsius cives iudicarent, quippe qui ei, quod tardius in Boeotiam venisset, crimini dabant, non putavit ille sibi committendum, ut *iterum* causam dicere cogeretur. Tegeatae supplicem in Aleae Minervae receperunt. Templum illud fuit antiqua religione Peloponneso universae sacrosanctum, neque violari eos fas erat, qui illuc confugissent. Ea sane religio tunc in Pausania, ante vero id Leotychide, et in Chryside est ab Argivis conservata. Quum illi

θεζομένους ἐνταῦθα ἱκέτας, οὐδὲ ἀρχὴν ἐξαιτῆσαι θελήσαντες. (7) Παυσανίου δὲ φυγόντος, οἱ μὲν παῖδες Ἀγησίπολις καὶ Κλεόμβροτος νέοι παντάπασιν ἔτι ἦσαν. Ἀριστόδημος δὲ ἐπετρόπευεν αὐτοὺς, γένους ἐγγύτατα ὤν· καὶ τὸ ἐν Κορίνθῳ Λακεδαιμονίων κατόρθωμα Ἀριστοδήμου σφίσιν ἐγένετο ἡγουμένου. (8) Ἀγησίπολις δὲ ἐπεὶ τὴν βασιλείαν ἔσχεν αὐξηθεὶς, Πελοποννησίων πρώτοις ἐπολέμησεν Ἀργείοις. ὡς δὲ ἐκ τῆς Τεγεατῶν ἐς τὴν Ἀργολίδα ἤγαγε τὸν στρατὸν, πέμπουσι κήρυκα οἱ Ἀργεῖοι σπεισόμενον πρὸς Ἀγησίπολιν σφίσι πατρῴους δή τινας σπονδὰς ἐκ παλαιοῦ καθεστώσας τοῖς Δωριεῦσι πρὸς ἀλλήλους. ὁ δὲ οὔτε τῷ κήρυκι ἐσπείσατο, καὶ προϊὼν ὁμοῦ τῇ στρατιᾷ τὴν γῆν ἔφθειρεν. ἔσεισέ τε δὴ ὁ θεὸς, καὶ ὁ Ἀγησίπολις οὐδ' οὕτω τὴν δύναμιν ἀπάξειν ἔμελλεν, καί τοι Λακεδαιμονίοις μάλιστα Ἑλλήνων, ὡσαύτως δὲ καὶ Ἀθηναίοις, δεῖμα αἱ διοσημεῖαι παρείχοντο.
217 καὶ ὁ μὲν ὑπὸ τὸ τεῖχος κατεστρατοπεδεύετο ἤδη· τὸ Ἀργείων, καὶ οὐ παρίει σείων ὁ θεὸς, καί τινες καὶ ἀπώ-

enim supplices se in illud templum *tanquam in asylum* recepissent, ne postulatum quidem est, ut dederentur. (7) Pausania exulante, impuberes eius filii, Agesipolis et Cleombrotus, sub tutela Aristodemi, qui genere erat proximus, fuerunt. Huius Aristodemi ductu Lacedaemonii ad Corinthum prospere pugnarunt. (8) Iam vero Agesipolis ut regnum per aetatem adiit, Argivis primum ex *omnibus* Peloponnesiis bellum intulit. Is quum per Tegeatas in Argivorum fines duceret, Argivi obviam illi fetialem miserunt, quo patria quaedam foedera sanciret iam inde ab initio inter *omnes* Dorienses percussa. At ille non modo foedus ullum cum fetiali non instauravit, sed agrum etiam *totum* immisso exercitu depopulatus est: neque quum terra etiam movisset, retro agmen egit, etsi *alias* prae ceteris Graeciae populis Lacedaemoniis et Atheniensibus huiusmodi prodigia religioni ac terrori fuerint. Castra iam fixerat Agesipolis sub ipsis Argivorum muris, neque interim desita est divinitus terra

λοντο τῶν στρατιωτῶν κεραυνωθέντες, τοὺς δὲ καὶ ἐκφρονας ἐποίησαν αἱ βρονταί. οὕτω μὲν δὴ ἐκ τῆς Ἀργολίδος ἀνέζευξεν ἄκων. (9) Ἐπὶ δὲ Ὀλυνθίους ἐποιεῖτο αὖθις στρατείαν. κρατοῦντα δὲ αὐτὸν τῷ πολέμῳ, καὶ ᾑρηκότα τῶν τε ἄλλων πόλεων τῶν ἐν Χαλκιδεῦσι τὰς πολλὰς, καὶ αὐτὴν ἐλπίζοντα αἱρήσειν τὴν Ὄλυνθον, νόσος τε ἐξαίφνης καὶ θάνατος ἐπέλαβεν ἀπ' αὐτῆς.

CAPUT VI.

Cleombrotus rex in proelio cum Boeotiis ad Leuctra commisso cadit — Cleonymus cum Areo de regno certat, eoque privatus Pyrrhum in patriam inducit — Areo regnante Antigonus Demetrii fil. Atheniensibus bellum infert, quibus Lacedaemonii Areo duce opem ferunt — Leonidas senex, cui regnum Lacedaem. obtigit, a Cleombroto illo privatur, et iterum rex creatur — de Cleomene Leonidae filio, ultimo Eurysthenis domus rege.

Ἀγησιπόλιδος δὲ ἄπαιδος τελευτήσαντος, ἐς Κλεόμβροτον περιῆλθεν ἡ ἀρχή. καὶ ὑπὸ ἡγεμόνι τούτῳ Βοιωτοῖς ἐναντία ἠγωνίσαντο ἐν Λεύκτροις. Κλεόμβροτος δὲ αὐτὸς γενόμενος ἀνὴρ ἀγαθὸς ἀρχομένης ἔτι ἔπεσε τῆς μάχης. μάλιστα δέ πως ἐπὶ πταίσμασιν ἐθέλει μεγάλοις προαφαιρεῖ-

moveri: quin et milites aliquot de coelo tacti, nonnullos etiam tonitrua lymphatos atque attonitos reddidere. Invitissimus itaque ille ex Argivorum finibus castra movit, (9) et contra Olynthios belli impetum convertit. Ibi satis secunda fortuna usus, quum urbes Chalcidensium multas cepisset, ac ipsam postremo Olynthum se in potestatem redacturum speraret, morbo oppressus diem suum obiit.

Cap. VI. Agesipolide sine liberis mortuo, ad Cleombrotum regnum pervenit. Eo duce Lacedaemonii cum Boeotiis ad Leuctra praeliati sunt: et ipse quidem Cleombrotus in prima acie fortiter dimicans occubuit. Plerumque sane in magnis cladibus numen exercitus ducem ante alios e medio

σθαι τὸν ἡγεμόνα ὁ δαίμων· καθὰ δὴ καὶ Ἀθηναίων ἀπήγεν Ἱπποκράτην τε τὸν Ἀρίφρονος στρατηγοῦντα ἐπὶ Δηλίῳ, καὶ ὕστερον ἐν Θεσσαλίᾳ Λεωσθένην. Κλεομβρότου δὲ ὁ μὲν πρεσβύτερος τῶν παίδων Ἀγησίπολις παρέσχετο μέγα οὐδὲν ἐς μνήμην· Κλεομένης δὲ ὁ νεώτερος μετὰ τὸν ἀδελφὸν τελευτήσαντα ἔσχε τὴν ἀρχήν. γενομένων δὲ αὐτῷ παίδων, Ἀκροτάτου, καὶ ἐπ' αὐτῷ Κλεωνύμου, κατήγαγε τὸ χρεὼν Ἀκρότατον ἔτι πρότερον ἢ αὐτὸν Κλεομένην. (2) Καὶ ὡς Κλεομένης ἀπέθανεν ὕστερον, εἰς ἀντιλογίαν ἀφίκοντο ὑπὲρ τῆς βασιλείας Κλεώνυμός τε ὁ Κλεομένους, καὶ Ἀρεὺς ὁ Ἀκροτάτου. δικάζουσιν οὖν οἱ γέροντες Ἀρεῖ τῷ Ἀκροτάτου, καὶ οὐχὶ Κλεωνύμῳ πατρῴαν εἶναι τὴν τιμήν. Κλεωνύμῳ δὲ ἀπελαθέντι τῆς βασιλείας περισσῶς δή τι ὁ θυμὸς εἶλε. καὶ αὐτὸν οἱ ἔφοροι
218 καὶ ἄλλοις γέρασι ψυχαγωγοῦντες, καὶ ἐπὶ ταῖς δυνάμεσιν ἐφιστάντες ἄρχοντα παρῆγον, μή ποτε πολέμιον γενέσθαι τῇ Σπάρτῃ. τέλος δὲ ὁ μὲν πολλά τε καὶ ἐχθρὰ ἐς τὴν πατρίδα ἐτόλμησε, καὶ Πύῤῥον τὸν Αἰακίδου σφίσιν ἐπηγάγετο ἐς τὴν χώραν. (3) Ἀρέως δὲ ἐν Σπάρτῃ τοῦ Ἀκροτά-

tollere solet, sicuti et Athaniensibus Hippocratem Ariphronis filium ad Delium, iisdem in Thessalia Leosthenem eripuit. E Cleombroti liberis natu maior Agesipolis nihil omnino gessit memoratu dignum. Eo mortuo, natu minor Cleomenes regnum adiit. Qui quum filios duos Acrotatum et Cleonymum suscepisset, ita forte accidit, ut Acrotatus patrem sibi superstitem reliquerit. (2) Quumque postea Cleomenes e vita decessisset, inter Cleonymum Cleomenis filium, et Areum filium Acrotati, de regno coorta lis est. Ibi quum senatus paternum regnum Areo adiudicasset, Cleonymus sibi illum praelatum tam indigne tulit, ut eum Ephori neque aliis praemiis decretis, neque exercitus imperio delato unquam placare potuerint, quo minus hostili esset in patriam animo. Quod sane aperte prae se tulit, quum et alia multa conatus est, et Pyrrhum Aeacidae filium intra fines induxit. (3) Areo vero Acrotati filio regnante, Antigonus Demetrii filius

του βασιλεύοντος, Ἀντίγονος ὁ Δημητρίου πεζῷ τε καὶ ναυσὶν ἐπὶ Ἀθήνας στρατεύει. τοῖς δὲ Ἀθηναίοις ἀμυνοῦντες ἀφίκοντο μὲν ὁ Αἰγυπτίων ὁμοῦ Πατρόκλῳ στόλος, ἐξίασι δὲ καὶ οἱ Λακεδαιμόνιοι πανδημεὶ, τὸν βασιλέα ἡγεῖσθαί σφισιν Ἀρέα ἐπιτάξαντες. περικαθημένου δὲ Ἀντιγόνου τὰς Ἀθήνας, καὶ τῆς ἐσόδου τῆς ἐς τὴν πόλιν τὰ Ἀθηναίων συμμαχικὰ εἴργοντος, Πάτροκλος ἀποστέλλων ἀγγέλους, προέτρεπε Λακεδαιμονίους καὶ Ἀρέα ἄρχειν πρὸς Ἀντίγονον μάχης, ἐκείνων δὲ ἀρξάντων, οὕτω καὶ αὐτὸς κατὰ νώτου τοῖς Μακεδόσιν ἔφασκεν ἐπικείσεσθαι· πρότερον δὲ οὐκ εἰκὸς εἶναι, σφᾶς, Αἰγυπτίους τε ὄντας καὶ ναύτας, Μακεδόσιν ἐπιέναι πεζῇ. Λακεδαιμόνιοι μὲν δὴ παρακινδυνεύειν ὥρμηντο Ἀθηναίων τε εὐνοίᾳ, καί τι καὶ ἄξιον μνήμης ἐς τοὺς ἔπειτα ἐργάσασθαι προθυμούμενοι. Ἀρεὺς δὲ, ὥς σφισι τὰ ἐπιτήδεια ἐξανήλωτο, ἀπῆγεν ὀπίσω τὴν στρατιάν· ταμιεύεσθαι γὰρ τὴν ἀπόνοιαν ἐς τὰ οἰκεῖα ἠξίου, καὶ μὴ ἀφειδῶς ἐπ' ἀλλοτρίοις ἀναῤῥίψαι. τοῖς δὲ Ἀθηναίοις ἀντισχοῦσιν ἐπὶ

Athenas terrestribus maritimisque copiis oppugnare aggressus est. Atheniensibus subsidio missus cum classe Patroclus ex Aegypto: Lacedaemonii quoque cum voluntariorum manu Areum regem secuti, praesto fuere. Quum Antigonus autem urbem undique ita obsessam teneret, ut aditu omni sociorum auxilia prohiberentur, Patroclus per nuncios Areum et Lacedaemonios monuit, ut praelium cum Antigono inirent; se interim Macedonum terga invasurum, quod sui nequaquam pedestri acie pares essent Macedonibus, quippe qui Aegyptii, et nautae essent. Eo nuncio commoti Lacedaemonii, iidemque quum Atheniensium amicitia, tum vero nominis sui gloriam ad posteros propagandi studio ducti, praelii aleam subire nil recusabant. Verum Areus, commeatu iam *fere omni* consumto, exercitum domum reportavit, quippe qui, quod erat opum reliquum, ad patriae usus conservandum, neque temere sociorum causa profundendum censeret. Atenim quum Athenienses diu acriter restitissent, Antigonus,

μακρότατον ἐποιήσατο Ἀντίγονος εἰρήνην, ἐφ' ᾧ τε σφίσιν ἐπαγάγῃ φρουρὰν ἐς τὸ Μουσεῖον. καὶ τοῖς μὲν ἀνὰ χρόνον αὐτὸς ἐξήγαγεν ἑκουσίως τὴν φρουρὰν ὁ Ἀντίγονος. Ἀρέως δὲ ἐγίνετο υἱὸς Ἀκρότατος, τοῦ δὲ Ἀρεύς, ὃς ὀκτὼ μάλιστα ἔτη γεγονὼς τελευτᾷ νόσῳ. (4) Καί, ἐλείπετο γὰρ τῆς Εὐρυσθένους οἰκίας γένος τὸ πρὸς ἀνδρῶν Λεωνίδας ὁ Κλεωνύμου, παντάπασιν ἤδη γέρων· τούτῳ δὴ διδόασιν οἱ Λακεδαιμόνιοι τὴν ἀρχήν. τῷ δὲ Λεωνίδᾳ διάφορος ἐτύγχανεν ὢν ἐς τὰ μάλιστα Λύσανδρος, ἀπόγονος Λυσάνδρου τοῦ Ἀριστοκρίτου. οὗτος προσποιεῖται Κλεόμβροτον θυγατέρα ἔχοντα Λεωνίδου· τοῦ-
219 τον δὲ οἰκειωσάμενος ἐπῆγε Λεωνίδᾳ καὶ ἄλλα ἐγκλήματα, καὶ ὅρκους αὐτὸν Κλεωνύμῳ τῷ πατρὶ ὀμόσαι παῖδα ὄντα ἐπὶ ὀλέθρῳ τῆς Σπάρτης. ἐπαύθη τε δὴ Λεωνίδας βασιλείας, καὶ ἀντ' αὐτοῦ Κλεόμβροτος ἔσχε τὴν τιμήν. εἰ μὲν δὴ ὁ Λεωνίδας ἐπέτρεψε τῷ θυμῷ, καὶ Δημαράτῳ τῷ Ἀρίστωνος κατὰ ταὐτὰ ἀπεχώρησεν, ἤτοι παρὰ τὸν ἐν Μακεδονίᾳ βασιλεύοντα, ἢ τὸν Αἰγύπτιον, ὁ δὲ καὶ μεταγνόντων ἂν Σπαρτιατῶν ὤνατο οὐδέν. νῦν δὲ ἐπιβαλόντων οἱ φυγὴν

pace facta, praesidium illis in Museo imposuit, quod tamen non multo post ultro deduxit. Areo Acrotatus gignitur: Acrotato minor Areus. Is annum agens octavum morbo consumtus est. (4) Huic, abolita *iam fere tota* Eurysthenis posteritate mascula, successit Leonidas Cleonymi filius, grandis admodum natu. Graves cum eo inimicitias Lysander Lysandri filius, Aristocratis nepos, exercuit. Hic sibi associat Cleombrotum, qui Leonidae filiam habebat in matrimonio: eoque in familiaritatem pellecto, Leonidae tum alia intendit crimina, tum eum, quum puer adhuc esset, Cleonymo patri de exitio Spartae conciliando iuramentum dedisse dictitavit. Quum igitur regno se Leonidas abdicare coactus esset, in eius locum Cleombrotus invasit. Quod si animi prae ira impotens Leonidas fuisset, ac, ut olim Demaratus Aristonis filius, vel ad Macedonum, vel ad Aegyptiorum regem confugisset, nihil eum omnino, quod facti postea Spartanos poenituerit, iuvisset. Nunc vero quum a civibus

τῶν πολιτῶν, ἀφίκετο ἐς Ἀρκαδίαν· ἐκεῖθεν δὲ ἔτεσιν ὕστερον οὐ πολλοῖς κατάγουσί τε αὐτὸν Λακεδαιμόνιοι, καὶ αὖθις βασιλέα ἐποιήσαντο. (5) Κλεομένει δὲ τῷ Λεωνίδου τά τε ἄλλα ὁποῖα ἐς τόλμαν ὁμοῦ καὶ ἀνδρίαν ὑπῆρξεν, καὶ ὡς ἐπαύσαντο ἐξ ἐκείνου Σπαρτιᾶται βασιλευόμενοι, πρότερον ἔτι ἐδήλωσέ μοι τὰ ἐς τὸν Σικυώνιον Ἄρατον. προσεπελάβετο δὲ ὁ λόγος μοι καὶ τρόπον, ὅντινα ἐν Αἰγύπτῳ Κλεομένης ἐτελεύτησεν. γένους μὲν δὴ τοῦ Εὐρυσθένους, καλουμένων δὲ Ἀγιαδῶν, Κλεομένης ὁ Λεωνίδου βασιλεὺς ὕστατος ἐγένετο ἐν Σπάρτῃ.

CAPUT VII.

De altera regum Lacedaemon. domo, Proclidarum, dein Eurypontidarum — Prytanide regnante inter Lacedaem. et Argivos primae inimicitiae exoriuntur — Charillo regn. Laced. fines Argivorum devastant et Tegeatas invadunt — Nicandro regn. iterum vastatur Argolis — Theopompo regn. Lacedaem. cum Argivis pugnant de Thyreatide — Anaxidama regn. Messenii denuo victi ex Peloponneso ejiciuntur — de Aristone rege, ejusque VII mensium filio Demarato — Leotychide rege — Archidamo rege Atheniensibus maxima mala inferente — Sthenelaïda belli Peloponnesiaci praecipuo auctore.

Τὰ δὲ ἐς τὴν οἰκίαν τὴν ἑτέραν τοιάδε ἤκουσα εἶναι. Προκλῆς ὁ Ἀριστοδήμου τῷ παιδὶ ὄνομα τίθεται Σόον.

suis e patria pulsus, in Arcadiam exilii causa abisset, non ita multis post annis ab iisdem in patriam, et pristinum etiam regnum revocatus est. (5) De Cleomenis autem Leonidae filii audacia et animi magnitudine, et quemadmodum in eo defecerit Lacedaemoniorum regnum, quum de Arati Sicyonii rebus gestis ageremus, affatim multa diximus. Neque illud omisimus, quonam mortis genere in Aegypto e vita excesserit. Ex Eurysthenis igitur gente regum eorum, qui Agidae sunt appellati, postremus Cleomenes Leonidae filius fuit.

Cap. VII. Quae vero de altera regum familia accepimus, ita se habent. Procles Aristodemi filius habuit filium,

Εὐρυπῶντα δὲ τὸν Σόου φασὶν ἐς τοσοῦτον ἀφικέσθαι
δόξης, ὡς καὶ τὴν οἰκίαν ταύτην Εὐρυπωντίδας ὄνομα
ἀπ' αὐτοῦ λαβεῖν, Προκλείδας ἐς ἐκεῖνον καλουμένους.
(2) Εὐρυπῶντος δὲ υἱὸς γίνεται Πρύτανις. ἐπὶ μὲν δὴ
Πρυτάνιδος τοῦ Εὐρυπῶντος τὸ ἔχθος τε Λακεδαιμονίοις
ἤρξατο τὸ ἐς Ἀργείους, καὶ ἔτι τοῦ ἐγκλήματος τούτου
πρότερον Κυνουρεῦσιν ἐπολέμησαν. τὰς δὲ ἐφεξῆς ταύτῃ
γενεὰς, Εὐνόμου τε τοῦ Πρυτάνιδος καὶ Πολυδέκτου τοῦ
Εὐνόμου βασιλευόντων, ἐν εἰρήνῃ διετέλεσεν οὖσα ἡ
Σπάρτη. (3) Χάριλλος δὲ ὁ Πολυδέκτου τήν τε γῆν
ἐδῄωσεν Ἀργείοις (οὗτος γὰρ καὶ ἐς τὴν Ἀργολίδα ἐσβα-
λὼν), καὶ ἔτεσιν οὐ πολλοῖς ὕστερον ὑπὸ ἡγεμόνι Χαρίλ-
220 λῳ γίνεται καὶ ἡ Σπαρτιατῶν ἐπὶ Τεγεάτας ἔξοδος, ὅτε οἱ
Λακεδαιμόνιοι Τεγεάτας αἱρήσειν ἤλπισαν καὶ ἀποτεμεῖ-
σθαι τῆς Ἀρκαδίας τὸ Τεγεατικὸν πεδίον, ὑπούλῳ μαν-
τεύματι ἐπελθόντες. (4) Μετὰ δὲ Χάριλλον τελευτήσαντα
Νίκανδρος ὁ Χαρίλλου διαδέχεται τὴν ἀρχήν· καὶ τὰ
Μεσσηνίων ἐς Τήλεκλον τὸν τῆς ἑτέρας βασιλέα οἰκίας ἐν

cui Soo nomen: Soo Eurypon genitus. Hic tantum est gloriae consecutus, ut ea *tota* familia, qui Proclidae ante sunt appellati, Eurypontidarum ab eo cognomentum acceperit. (2) Euryponte nascitur Prytanis. Eo regnante inter Lacedaemonios et Argivos inimicitiae ortae: et iam ante, quam Argivis quicquam crimini daretur, cum Cynurensibus bellatum fuerat. Ac proximas quidem deinceps aetates, Eunomo scilicet Prytanidis, et Polydecte Eunomi filio regnantibus, perpetua pax Spartanis fuit. (3) Charillus autem Polydectis filius Argivorum agrum igne ferroque vastavit: eodemque duce paucis post annis contra Tegeatas exiere Spartani, quum ambigui et perplexi oraculi auctoritatem secuti in spem venerunt, capturos se Tegeatas, Tegeatumque campos Arcadibus adempturos. (4) Charillo mortuo, Nicander filius in regnum successit. Hoc regnante, Teleclus ex altera familia rex a Messeniis in Limnadis *Dianae* fano

τῷ ἱερῷ τῆς Λιμνάδος συμβάντα ἐπὶ Νικάνδρου γίνεται βασιλεύοντος. ἐσέβαλε δὲ καὶ ἐς τὴν Ἀργολίδα ὁ Νίκανδρος στρατιᾷ, καὶ τὰ πολλὰ ἐκάκωσε τῆς χώρας. μετασχόντες δὲ Ἀσιναῖοι Λακεδαιμονίοις τοῦ ἔργου, δίκην μετ' οὐ πολὺ Ἀργείοις ἀπέδοσαν σὺν μεγάλῳ πατρίδος τε ὀλέθρῳ καὶ φυγῇ τῇ σφετέρᾳ. (5) Θεόπομπον δὲ τὸν Νικάνδρου, βασιλεύσαντα μετὰ Νίκανδρον, μέλλει καὶ αὖθίς μοι ὁ λόγος προσθήσειν προελθόντι ἐς τὴν Μεσσηνίαν συγγραφήν. Θεοπόμπου δὲ ἔτι ἔχοντος τὴν ἀρχὴν ἐν Σπάρτῃ, γίνεται καὶ ὁ περὶ τῆς Θυρεάτιδος καλουμένης χώρας Λακεδαιμονίοις ἀγὼν πρὸς Ἀργείους. Θεόπομπος δὲ αὐτὸς οὐ μετέσχε τοῦ ἔργου γήρᾳ καὶ ὑπὸ λύπης τὸ πλέον· Ἀρχίδαμον γὰρ Θεοπόμπου ζῶντος ἔτι ἐπιλαμβάνει τὸ χρεών. οὐ μὴν ἄπαις ἐτελεύτησεν ὁ Ἀρχίδαμος, Ζευξίδαμον δὲ ἀπολιπὼν υἱόν. Ζευξιδάμου δὲ Ἀναξίδαμος ὁ παῖς ἐκδέχεται τὴν ἀρχήν. (6) Ἐπὶ τούτου Μεσσήνιοι φεύγουσιν ἐκ Πελοποννήσου, πολέμῳ τὸ δεύτερον κρατηθέντες ὑπὸ Σπαρτιατῶν. Ἀναξιδάμου δὲ υἱὸς ἐγένετο Ἀρχίδαμος, Ἀρχιδάμου δὲ Ἀγασικλῆς. καὶ σφισιν ὑπῆρξεν ἀμφοτέροις τὸν βίον διατελέσαι πάντα ἐν ἡσυχίᾳ καὶ

interficitur. Idem vero Nicander Argivorum fines hostiliter ingressus, multis illos et magnis affecit calamitatibus. Eius facinoris quum participes fuissent Asinaei, graves Argivis poenas paulo post deleta patria profugi dedere. (5) De Theopompo vero Nicandri filio, qui post patrem regnavit, rursus erit mihi mentio facienda, quum ad res Messeniorum historia descenderit. Eo regnante inter Argivos et Lacedaemonios de Thyreatum quoque finibus dimicatum. Ei praelio Theopompus, senio et animi aegritudine implicitus, non interfuit. Nam eo vivente Archidamus filius moritur, Zeuxidamo tamen filio relicto, cui Anaxidamus item filius successit. (6) Eo imperante Lecedaemoniis, Messenii iterum bello victi e Peloponneso abierunt. Anaxidamo Archidamus, Archidamo Agasicles nascitur. Utriusque tempora omnibus belli molestiis vacua, perpetua tranquillitate insignia fuere.

πολέμων οὖσιν ἐκτός. (7) Ἀρίστωνι δὲ τῷ Ἀγασικλέους
ἀγαγομένῳ γυναῖκα, ἥντινα παρθένων μὲν τῶν ἐν Λακε-
δαίμονι εἶναί φασιν αἰσχίστην, γυναικῶν δὲ τὸ εἶδος καλ-
221 λίστην ὑπὸ Ἑλένης γενέσθαι, ταύτην ἀγαγομένῳ τῷ
Ἀρίστωνι ἐγένετο υἱὸς Δημάρατος ἐν μόνοις μησὶν ἑπτά.
καὶ αὐτῷ μετὰ τῶν ἐφόρων καθημένῳ τηνικαῦτα ἐν βουλῇ
ἦλθεν οἰκέτης ἀπαγγέλλων, τετέχθαι οἱ παῖδα. Ἀρίστων
δὲ ἐπῶν τῶν ἐν Ἰλιάδι ἐς τὴν Εὐρυσθέως γένεσιν πεποιη-
μένος λήθην, ἢ μηδὲ ἀρχὴν συνεὶς αὐτῶν, οὐκ ἔφη τῶν
μηνῶν εἶναι καὶ αὐτοῦ τὸν παῖδα. τούτου μὲν δὴ τῶν
εἰρημένων μετάνοια ἔλαβεν ὕστερον. Δημάρατον δὲ βα-
σιλεύοντα, καὶ τά τε ἄλλα εὐδοκιμοῦντα ἐν Σπάρτῃ, καὶ
ἀπὸ τῶν Πεισιστρατιδῶν Κλεομένει συνελευθερώσαντα
Ἀθηναίους, ἥ τε Ἀρίστωνος ἀγνωμοσύνη καὶ τὸ ἔχθος
τὸ Κλεομένους ἐποίησεν ἰδιώτην. καὶ τοῦ μὲν παρὰ βα-
σιλέα Δαρεῖον ἐλθόντος ἐς Πέρσας ἐπὶ πολὺν ἐν τῇ Ἀσίᾳ
χρόνον διαμεῖναι τοὺς ἀπογόνους φασί. (8) Λεωτυχίδης
δὲ ἀντὶ Δημαράτου γενόμενος βασιλεὺς μετέσχε μὲν
Ἀθηναίοις καὶ Ἀθηναίων τῷ στρατηγῷ Ξανθίππῳ τῷ

(7) Aristo vero Agasiclis filius uxorem duxit puellam, quam Spartanarum omnium virginum fuisse tradunt turpissimam, mulierum vero omnium post Helenam forma praestantissimam. Ex ea quum filius natus esset mense ipso VII, eique in consilio Ephororum sedenti servus nunciasset puerum natum, eorum, qui de Eurysthei natali sunt, versuum *Homericae* Iliadis oblitus, vel quod illos omnino non satis intellexisset, negavit puerum eum, qui non esset legitimo mensium numero natus, a se genitum. Cuius eum postea *temere* effusae vocis facile poenituit. Demaratum enim spectata virtute virum, qui cum Cleomene Athenienses Pisistrati liberum dominatu liberarat, Aristonis inconsiderata oratio, et suscepta cum Cleomene simultas regno privavit. Quum autem in Persas ad Darium *exulatum* abisset, in longum ibi tempus eius propagatam posteritatem ferunt. (8) Leotychides vero rex in Demarati locum creatus. Is Atheniensium ducem Xanthip-

'Αρίφρονος τοῦ ἔργου τοῦ πρὸς Μυκάλῃ, ἐστράτευσε δὲ ὕστερον τούτων ἐπὶ τοὺς 'Αλευάδας ἐς Θεσσαλίαν. καί οἱ καταστρέψασθαι Θεσσαλίαν πᾶσαν ἐξὸν, ἅτε ἀεὶ νικῶντι ἐν ταῖς μάχαις, δῶρα ἔλαβε παρὰ τῶν 'Αλευαδῶν. ὑπαγόμενος δὲ ἐν Λακεδαίμονι ἐς δίκην ἔφυγεν ἐθελοντὴς ἐς Τεγέαν. καὶ ὁ μὲν αὐτόθι τὴν 'Αθηνᾶν τὴν 'Αλέαν ἱκέτευε. Λεωτυχίδου δὲ ὁ μὲν παῖς Ζευξίδαμος, ζῶντος ἔτι Λεωτυχίδου, καὶ οὐ πεφευγότος πω, τελευτᾷ νόσῳ. (9) 'Αρχίδαμος δὲ ὁ Ζευξιδάμου μετὰ Λεωτυχίδην ἀπελθόντα ἐς Τεγέαν ἔσχε τὴν ἀρχήν. οὗτος 'Αρχίδαμος 'Αθηναίοις μάλιστα ἐκάκωσε τὴν χώραν, στρατῷ τε ἐσβάλλων ἐς γῆν τὴν 'Αττικὴν ἀνὰ πᾶν ἔτος, καὶ, ὁπότε ἐσβάλοι, διὰ πάσης ἐπεξῄει φθείρων, καὶ Πλαταιέων 'Αθη- 222
ναίοις ὄντων εὔνων πολιορκίᾳ τὸ ἄστυ εἷλεν. οὐ μὴν τὸν πόλεμόν γε τῶν Πελοποννησίων καὶ 'Αθηναίων γενέσθαι συνέσπευσεν, ἀλλὰ καὶ ἐς ὅσον δυνάμεως ἧκε, διαμεῖναί σφισιν ἔπρασσε τὰς σπονδάς. (10) Σθενελαΐδας δὲ ἔς τε ἄλλα ὢν οὐκ ἀδύνατος ἐν Λακεδαίμονι καὶ ἐφορεύων ἐν

pum Ariphronis filium ad Mycalen iuvit: idemque in Thessaliam contra Aleuadas profectus, facile totam Thessaliam armis subigere potuit, quum semper ei praeliis omnibus vincere contigisset. Sed quod ab Aleuadis fuisset donis corruptus, *de maiestate* postulatus, Tegean indicta causa ad aram Minervae Aleae supplex confugit. Leotychidae filius Zeuxidamus, patre adhuc vivo et incolumi, morbo absumtus est. (9) Zeuxidami vero Archidamus avo iam exulante imperavit. Hic Atheniensium agros vehementer vexavit, quum in Atticam quotannis excursiones faceret, et omnia populabundus ageret ac raperet. Idem etiam Plataeensium, qui socii et amici Atheniensium erant, urbem per obsidionem cepit, quum tamen Peloponnesiorum in Athenienses bellum neutiquam concitarit; quin, ut pax inter eos maneret, quantum eniti potuit, elaborarit. (10) Verum Sthenelaidas vir quum alias potens, tum vero de Ephoris unus, suscipiendi belli auctor

τῷ τότε τοῦ πολέμου μάλιστα ἐγένετο αἴτιος. καὶ ὁ πόλεμος οὗτος εὖ τὴν Ἑλλάδα ἔτι βεβηκυῖαν διέσεισεν ἐκ βάθρων, καὶ ὕστερον Φίλιππος ὁ Ἀμύντου σαθρὰν ἤδη καὶ οὐ παντάπασιν ὑγιῆ προσκατήριψεν αὐτήν.

CAPUT VIII.

De Cynisca, Archidami filia — Agide regnante Lacedaemonii ab Eleis Olympicis ludis prohibiti iis bellum inferunt, quod tertio anno componitur — Athenienses invadunt et ad Aegospotamos vincunt — Agis Leotychiden non agnoscit filium — Agesilaus regno privat Leotychiden.

Ἀρχιδάμου δέ, ὡς ἐτελεύτα, καταλιπόντος παῖδας, Ἆγίς τε πρεσβύτερος ἦν ἡλικίᾳ, καὶ παρέλαβεν ἀντὶ Ἀγησιλάου τὴν ἀρχήν. ἐγένετο δὲ Ἀρχιδάμῳ καὶ θυγάτηρ, ὄνομα μὲν Κυνίσκα, φιλοτιμότατα δὲ ἐς τὸν ἀγῶνα ἔσχε τὸν Ὀλυμπιακὸν, καὶ πρώτη τε ἱπποτρόφησε γυναικῶν, καὶ νίκην ἀνείλετο Ὀλυμπιακὴν πρώτη. Κυνίσκας δὲ ὕστερον γυναιξὶ καὶ ἄλλαις καὶ μάλιστα ταῖς ἐκ Μακεδονίας γεγόνασιν Ὀλυμπιακαὶ νῖκαι, ὧν ἡ ἐπιφανεστέρα ἐς τὰς νίκας ἐστὶν αὐτή. δοκοῦσι δὲ οἱ Σπαρτιᾶταί μοι ποίησιν

mis auctor fuit: quod sane bellum Graeciam satis adhuc firmo innixam fundamento de gradu excussit: nec multo post Philippus Amyntae filius ruinosam et plane aegram aggressus collabefecit.

Cap. VIII. Quum decessisset Archidamus, filiis duobus relictis, Agis, quod Agesilao maior natu erat, regnare coepit. Habuit Archidamus et filiam, Cyniscam nomine, quae ad Olympicas victorias virili propemodum animo adspiravit. Prima haec foeminarum omnium equos aluit, prima Olympicam palmam tulit. Post eam enim et aliae, in primis vero e Macedonia nonnullae, sunt victrices in Olympicis renunciatae: quibus tamen illa longe gloria praestitit. Spartani

καὶ ἔπαινον τὸν ἀπ' αὐτῆς ἥκιστα ἀνθρώπων θαυμάσαι. ὅτι γὰρ μὴ τῇ Κυνίσκᾳ τὸ ἐπίγραμμα ἐποίησεν ὅστις δὴ, καὶ ἔτι πρότερον Παυσανίᾳ τὸ ἐπὶ τρίποδι Σιμωνίδης τῷ ἀνατεθέντι ἐς Δελφοὺς, ἄλλο δή γε παρὰ ἀνδρὸς ποιητοῦ Λακεδαιμονίων τοῖς βασιλεῦσιν οὐδέν ἐστιν ἐς μνήμην. (2) Ἐπὶ δὲ Ἄγιδος τοῦ Ἀρχιδάμου βασιλεύοντος Λακεδαιμονίοις ἄλλα τε ἐγένετο ἐς Ἠλείους ἐγκλήματα, καὶ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιακοῦ καὶ ἱεροῦ τοῦ Ὀλυμπίασιν ὑπ' αὐτῶν εἰργόμενοι μάλιστα ἤχθοντο. ἀποστέλλουσιν οὖν 223
κήρυκα ἐπίταγμα φέροντα Ἠλείοις, Λεπρεάτας τε αὐτονόμους ἀφιέναι, καὶ ὅσοι τῶν περιοίκων ἄλλοι σφίσιν ἦσαν ὑπήκοοι. ἀποκριναμένων δὲ Ἠλείων, ὡς, ἐπειδὰν τὰς περιοικίδας τὰς παρὰ τῇ πόλει ἴδωσιν ἐλευθέρας, οὐδὲ αὐτοὶ μελλήσουσιν ἔτι ἀφιέναι τὰς ἑαυτῶν, οὕτω Λακεδαιμόνιοι καὶ ὁ βασιλεὺς Ἆγις ἐσβάλλουσιν ἐς τὴν Ἠλείαν. τότε μὲν δὴ τοῦ θεοῦ σείσαντος, ὀπίσω τὸ στράτευμα ἀπεχώρησεν ἄχρις Ὀλυμπίας καὶ τοῦ Ἀλφειοῦ προελθόντες· τῷ δὲ ἐφεξῆς ἔτει τήν τε χώραν ἐδῄωσεν ὁ

vero et poëticen, et omnem, quae ex ea hominibus contingere possit, gloriam omnium minime admirati mihi videntur. Nam nisi quod Cyniscae epigramma fecit nescio quis, et ante in Pausaniae tripodem Delphis dedicatum epigramma exaravit Simonides, aliud nihil a poeta quidem ullo de Laconicis regibus est memoriae proditum. (2) Agide Archidami filio regnante, et alia Eleis Lacedaemonii crimini dederunt, et illud in primis acriter expostularunt, quod Olympicis ludis et Iovis templo prohibiti fuissent. Fetiali itaque misso Eleis imperant, ut Lepreatas, et alios finitimos, qui ipsis parerent, suis uti sinerent legibus. Qui quum respondissent, simulac finitimas Spartae civitates liberas vidissent, nihil sibi causae fore, quin et ipsi sociis suis libertatem redderent: eo responso commoti Lacedaemonii, cum Agide rege in Eleorum fines invaserunt: verum in Olympiam usque, et ad Alpheum amnem progressi, terrae *crebris* motibus conterriti, retro agmen egere. Anno insequenti Eleorum agrum Agis popula-

Ἆγις καὶ ἤλασε τῆς λείας τὴν πολλήν. Ξενίας δὲ ἀνὴρ Ἠλεῖος Ἄγιδί τε ἰδίᾳ ξένος καὶ Λακεδαιμονίων τοῦ κοινοῦ πρόξενος ἐπανέστη τῷ δήμῳ σὺν τοῖς τὰ χρήματα ἔχουσι· πρὶν δὲ Ἆγιν καὶ τὸν στρατὸν ἀφῖχθαί σφισιν ἀμύνοντας, Θρασυδαῖος προεστηκὼς τότε τοῦ Ἠλείων δήμου, μάχῃ Ξενίαν καὶ τοὺς σὺν αὐτῷ κρατήσας, ἐξέβαλεν ἐκ τῆς πόλεως. Ἆγις δὲ ὡς ἀπήγαγεν ὀπίσω τὴν στρατιὰν, Λυσίστρατον Σπαρτιάτην καὶ μοῖράν τε τῆς δυνάμεως καὶ Ἠλείων καταλείπει τοὺς φυγάδας, κακουργεῖν σφᾶς ὁμοῦ Λεπρεάταις τὴν χώραν. τρίτῳ δὲ ἔτει τοῦ πολέμου Λακεδαιμόνιοι μὲν καὶ Ἆγις παρεσκευάζοντο ὡς ἐς τὴν Ἠλείαν καὶ τότε ἐσβαλοῦντες· οἱ δὲ Ἠλεῖοι καὶ Θρασυδαῖος (κεκακωμένοι γὰρ ἐς τὸ ἔσχατον ἦσαν) συγχωροῦσι, μήτε τῶν περιοίκων ἔτι ἄρχειν, καὶ τοῦ ἄστεως καταῤῥίψαι τὸ τεῖχος, Λακεδαιμονίους τε ἐν Ὀλυμπίᾳ καὶ θύειν τῷ θεῷ, καὶ τὸν ἀγῶνα ἐξεῖναί σφισιν ἀγωνίσασθαι. (3) Ἐνέβαλε δὲ καὶ ἐς τὴν Ἀττικὴν συνεχῶς ὁ Ἆγις στρατιᾷ, καὶ ἐπετεί-

tus, magnam ex eo praedam egit. Tum Xenias Eleus, et privatim Agidis, et publice Lacedaemoniorum hospes, adversus populum insurrexit una cum ditioribus, id est, iis sibi adiunctis populum opprimere ac Lacedaemoniis urbem dedere conatus est. Verum priusquam cum exercitu Agis praesto esset, Thrasydrus, cui rerum summa a populo commissa fuerat, Xeniam totamque eius manum pugna superatos urbe pellit. Agis vero domum cum exercitu reversus, Lysistratum Spartanum cum parte copiarum, et Eleorum exules relinquit, qui cum Lepreatis agrum *quotidianis* populationibus vexarent. Tertio demum eius belli anno, quum Agis exercitu comparato denuo esset in Eleorum fines invasurus, Thrasydrus de populi sententia, affecta iam malorum diuturnitate, et prope consumta civitate, pacem his conditionibus accepit: In posterum finitimis non imperaturos: urbis muros demolituros: Lacedaemoniis Olympiae Iovis sacrum sacrosque ludos celebrare, et in eorum ludorum certamina descendere liciturum. (3) Inde Agis in Atticam bellum continuo intulit: idemque ad

χισε φρούριον Ἀθηναίοις τὸ ἐν Δεκελείᾳ· καταλυθέντος δὲ ἐν Αἰγὸς ποταμοῖς τοῦ Ἀθηναίων ναυτικοῦ, Λύσανδρος ὁ Ἀριστοκρίτου καὶ Ἆγις ὅρκους μὲν θεῶν ὑπερέβη- 224
σαν, οὓς ὤμοσαν Ἀθηναίοις ἐν κοινῷ Λακεδαιμόνιοι· κατὰ σφᾶς δὲ αὐτοὶ καὶ οὐ μετὰ Σπαρτιατῶν τοῦ κοινοῦ τὸ βούλευμα ἐς τοὺς συμμάχους ἐξήνεγκαν, ἐκκόψαι προῤῥίζους τὰς Ἀθήνας. τὰ μὲν οὖν ἐς πόλεμον μάλιστα ἐπίσημα τοιαῦτα ὑπῆρχε τῷ Ἄγιδι. (4) Προπέτειαν δὲ τὴν Ἀρίστωνος ἐς Δημάρατον καὶ Ἆγις ἐς τὸν παῖδα ἔσχε Λεωτυχίδην, καί οἱ κατά τινα οὐκ ἀγαθὸν δαίμονα ἐσῆλθεν ἐς ἐπήκοον τῶν ἐφόρων εἰπεῖν, ὡς οὐχ αὑτοῦ νομίζοι Λεωτυχίδην. ἐπέλαβε μέν τοι καὶ Ἆγιν μετάνοια ὕστερον, καὶ (ἔφερον γὰρ τηνικαῦτα οἴκαδε ἐξ Ἀρκαδίας αὐτὸν νοσοῦντα) ὡς ἐγίνετο ἐν Ἡραίᾳ, καὶ τὸ πλῆθος μάρτυρας ἐποιεῖτο, ἦ μὴν Λεωτυχίδην ἑαυτοῦ παῖδα ἡγεῖσθαι, καὶ σφισι σὺν ἱκεσίᾳ τε καὶ δακρύοις ἐπέσκηπτε πρὸς Λακεδαιμονίους ταῦτα ἀπαγγέλλειν. (5) Μετὰ δὲ Ἆγιν ἀπο-

Decelean contra Athenienses castellum munivit. Deleta vero ad Aegospotamos Atheniensium classe, Agis cum Lysandro (Aristocriti filio) foederis, quod inter Athenienses et Lacedaemonios sancitum fuerat, quum id tamen Spartani non iussissent, religionem violavit. Illi enim suis duntaxat ipsorum auspiciis scitum cum sociis fecerant de Atheniensium civitate radicitus exscindenda. Hae fuere Agidis res bellicae maxime illustres. (4) Cuius non alia fuit de Leotychide filio quam Aristonis de Demarato futilitas: siquidem et hic audientibus Ephoris, fortunae quadam malignitate impulsus, non putare se dixit, ex se Leotychiden natum. Cuius eum *levitatis* facile postea poenituisse constitit. Quum enim morbo implicitus ex Arcadia domum reportaretur, apud Heraean testes fecit, qui cum eo erant, omnes, nihil se dubitare, Leotychiden ex se genitum esse: totique isti multitudini multis cum precibus et lacrymis iniunxit, ut hoc apud Lacedaemonios testimonium dicerent. (5) Verum Agide mortuo Leotychiden

θανόντα ἀπήλαυνεν Ἀγησίλαος τῆς βασιλείας Λεωτυχίδην, ἐς μνήμην ἄγων Λακεδαιμονίοις τὰ ὑπὸ Ἄγιδός ποτε λεχθέντα ἐς τὸν Λεωτυχίδην. ἀφίκοντο δὲ καὶ οἱ ἐξ Ἡραίας Ἀρκάδες, καὶ ἦσαν τῷ Λεωτυχίδῃ μάρτυρες, ὁπόσα Ἄγιδος τελευτῶντος ἤκουσαν. τῷ δὲ Ἀγησιλάῳ καὶ Λεωτυχίδῃ παρέσχεν ἐς πλέον τὸ μάντευμα ἀντιλογίαν τὸ ἐκ Δελφῶν, γεγονὸς μὲν ἐκεῖ, ἔχον δὲ οὕτω·

Φράζεο δή, Σπάρτη, καί περ μεγάλαυχος ἐοῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάστῃ χωλὴ βασιλεία.
Δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι,
Φθερσίβροτόν τ' ἐπὶ κῦμα κυκωομένου πολέμοιο.

225 τότε οὖν Λεωτυχίδης μὲν ἐς Ἀγησίλαον ταῦτα ἔφασκεν εἰρῆσθαι· τὸν γὰρ δὴ ἕτερον τῶν ποδῶν ἐπεπήρωτο ὁ Ἀγησίλαος. Ἀγησίλαος δὲ ἐς Λεωτυχίδην αὐτὰ ἔτρεπεν οὐ γνήσιον ὄντα Ἄγιδος. Λακεδαιμόνιοι δέ, καί περ ἐνὶ σφίσιν ὄν, οὐκ ἐπανήγαγον τὸ ἀμφισβήτημα ἐς Δελφούς· αἴτιος δ', ἐμοὶ δοκεῖ, Λύσανδρος ἐγένετο ὁ Ἀριστοκρίτου συσπεύδων ἐξάπαντος τὴν βασιλείαν οἱ γενέσθαι.

Agesilaus regno *facile* expulit, quum ea populo in memoriam redegisset, quae de eo aliquando Agis dixisset. Praesto tamen et Leotychidae ipsi ab Heraea Arcades fuere, qui morientis iam Agidis verba renunciarunt. Auxit inter Agesilaum et Leotychiden disceptationem Delphicum oraculum his versibus editum:

Sparta cave, quamvis te maxima gloria tollat,
Heu tibi ne claudus recti cruris noceat rex:
Tunc inopinatos longum patiere labores,
Letiferique undam miscentem cuncta duelli.

Haec in Agesilaum dixisse Apollinem, contendebat Leotychides, quod altero ille pede claudicaret. At Agesilaus in Leotychiden retorquebat, quod neque legitimus, neque ab Agide esset genitus. Eam disceptationem Lacedaemonii ad oraculum, quum id arbitratu suo facere possent, non retulerunt tamen; auctoritatem scilicet Lysandri Aristocriti filii secuti, qui vehementer, ut Agesilao regnum decerneretur, contendebat.

CAPUT IX.

Agesilao regnante Lacedaemonii in Asiam contra Artaxerxem trajicere decernunt, et ceteras Graeciae civitates in societatem belli vocant — Agesilaus Aulidem devehitur, dein Lydiam invadit, ac Persas proelio vincit — Artaxerxes Timocratem in Graeciam cum pecunia mittit, ut Graecos ad bellum contra Lacedaemonios suscipiendum sollicitet. — Lacedaem. bellum contra Thebanos decernunt — bellum Corinthiacum geritur et Agesilaus exercitum ex Asia reducit — Thebanos ad Coroneam vincit.

Βασιλεύει τε δὴ Ἀγησίλαος ὁ Ἀρχιδάμου, καὶ Λακεδαιμονίοις ἤρεσε διαβῆναι ναυσὶν ἐς τὴν Ἀσίαν Ἀρταξέρξην τὸν Δαρείου αἱρήσοντας. ἐδιδάσκοντο γὰρ ὑπό τε ἄλλων τῶν ἐν τέλει, καὶ μάλιστα ὑπὸ Λυσάνδρου, μὴ τὸν Ἀρταξέρξην σφίσιν ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, Κῦρον δὲ εἶναι τὸν τὰ χρήματα διδόντα ἐς τὰς ναῦς. Ἀγησίλαος δὲ (ἀπεδείχθη γὰρ διαβιβάσαι τε ἐς τὴν Ἀσίαν τὸν στρατὸν, καὶ δυνάμεως ἡγεμὼν τῆς πεζῆς) περιέπεμπεν ἔς τε Πελοπόννησον, πλὴν Ἄργους, καὶ ἐς τοὺς Ἕλληνας τοὺς ἐκτὸς Ἰσθμοῦ, συμμαχεῖν σφισιν ἐπαγγέλλων. Κορίνθιοι μὲν οὖν, καί περ ἐς τὰ μάλιστα ἔχοντες προθύμως μετασχεῖν τοῦ ἐς τὴν Ἀσίαν στόλου, κατακλυσθέντος σφίσιν ἐξαί-

Cap. IX. Regnum ubi adeptus est Agesilaus Archidami filius, classem Lacedaemoniis placuit in Asiam transmitti, qua bellum contra Artaxerxem Darii filium transportaretur. Cognoverant enim, quum a ceteris civitatis principibus, tum in primis a Lysandro, in bello adversus Athenienses non ab Artaxerxe, sed a Cyro se fuisse pecunia adiutos. Agesilaus exercitum in Asiam traducere iussus, ac terrestrium copiarum imperator declaratus, dimisit legatos, qui Peloponnesi populos omnes, praeter Argivos, Graecos item ceteros, qui extra Isthmum sunt, ad belli eius societatem adhortarentur. Corinthii quidem tunc, etsi nihil cupiebant impensius, quam sius transmissionis esse participes, everso tamen repentina

φνης ναοῦ Διὸς ἐπίκλησιν Ὀλυμπίου, ποιησάμενοι πονηρὸν οἰωνὸν, καταμένουσιν ἄκοντες. Ἀθηναίοις δὲ ἦν μὲν πρόφασις, ἐκ τοῦ Πελοποννησίων πολέμου καὶ ἐκ νόσου τῆς λοιμώδους ἐπανήκειν τὴν πόλιν ἐς τὴν πρότερόν ποτε οὖσαν εὐδαιμονίαν· πυνθανόμενοι δὲ δι' ἀγγέλων, ὡς Κόνων ὁ Τιμοθέου παρὰ βασιλέα ἀναβεβηκὼς εἴη, κατὰ τοῦτο ἡσύχαζον μάλιστα. ἀπεστάλη δὲ καὶ ἐς Θήβας πρεσβεύειν Ἀριστομηνίδας, μητρὸς μὲν τῆς Ἀγησιλάου πατὴρ, Θηβαίοις δὲ εἶχεν ἐπιτηδείως, καὶ ἐγεγόνει τῶν δικαστῶν, οἳ Πλαταιεῦσιν ἁλόντος τοῦ τείχους ἀποθανεῖν
226 τοὺς ἐγκαταλειφθέντας ἔγνωσαν. Θηβαῖοι μὲν οὖν κατὰ τὰ αὐτὰ Ἀθηναίοις ἀπεῖπαντο, οὐ φάμενοι βοηθήσειν. (2) Ἀγησίλαος δὲ, ὡς αὐτῷ τά τε οἴκοθεν καὶ παρὰ τῶν συμμάχων τὸ στράτευμα ἤθροιστο, καὶ ἅμα αἱ νῆες εὐτρεπεῖς ἦσαν, ἀφίκετο ἐς Αὐλίδα τῇ Ἀρτέμιδι θύσων, ὅτι καὶ Ἀγαμέμνων ἐνταῦθα ἱλασάμενος τὴν θεὸν τὸν ἐς Τροίαν στόλον ἤγαγεν. ἠξίου δὲ ἄρα ὁ Ἀγησίλαος πόλεώς τε εὐδαιμονεστέρας, ἢ Ἀγαμέμνων, βασιλεὺς εἶναι, καὶ

maris eluvione Iovis templo, cui apud ipsos Olympii cognomen fuit, tanquam prodigio perterrefacti, inviti illi quidem se domi continuere. Athenienses Peloponnesiaci belli calamitates reliquas, et in primis pestilentiam causati, quod scilicet a spe pristinae fortunae longissime abessent, re vero ipsa, quod nuncium acceperant, Cononem Timothei filium ad regem venisse, plane cessarunt. Missus est etiam ad Thebanos Aristomenides, quod et Agesilai maternus avus erat, et ipsis Thebanis minime alienus: siquidem eorum iudicum unus fuerat, qui, capto Plataeensium castello, cui Tichos nomen, eos, qui intus deprehensi fuerat, occidendos censuerant. At illi non aliter, quam Athenienses, auxilia se missuros negarunt. (2) Agesilaus statim domi habito delectu, sociorum auxiliis in unum contractis, classeque aedificata et instructa, Aulidem rem divinam Dianae facturus venit, quod illinc Agamemnon etiam dea placata ad Troiam solvisset. Se certe intelligebat beatioris, quam Agamemnon olim fuisset, civitatis

ἄρχειν τῆς Ἑλλάδος πάσης ὁμοίως ἐκείνῳ, τό τε κατόρθωμα ἐπιφανέστερον ἔσεσθαι, βασιλέα κρατήσαντα Ἀρταξέρξην εὐδαιμονίαν κτήσασθαι τὴν Περσῶν, ἢ ἀρχὴν καθελεῖν τὴν Πριάμου. θύοντος δὲ αὐτοῦ, Θηβαῖοι σὺν ὅπλοις ἐπελθόντες τῶν τε ἱερείων καιόμενα ἤδη τὰ μηρία ἀποῤῥίπτουσιν ἀπὸ τοῦ βωμοῦ, καὶ αὐτὸν ἐξελαύνουσιν ἐκ τοῦ ἱεροῦ. Ἀγησίλαον δὲ ἐλύπει μὲν ἡ θυσία μὴ τελεσθεῖσα, διέβαινε δὲ ὅμως ἐς τὴν Ἀσίαν, καὶ ἤλαυνεν ἐπὶ τὰς Σάρδεις. (3) Ἦν γὰρ δὴ τῆς Ἀσίας τῆς κάτω μέγιστον μέρος τηνικαῦτα ἡ Λυδία, καὶ αἱ Σάρδεις πλούτῳ τε καὶ παρασκευῇ προεῖχον· τῷ τε σατραπεύοντι ἐπὶ θαλάσσῃ τοῦτο οἰκητήριον ἀπεδέδεικτο, καθάπερ γε αὐτῷ βασιλεῖ τὰ Σοῦσα. γενομένης δὲ πρὸς Τισσαφέρνην σατράπην τῶν περὶ Ἰωνίαν μάχης ἐν Ἕρμου πεδίῳ, τήν τε ἵππον τὴν Περσῶν ἐνίκησεν ὁ Ἀγησίλαος καὶ τὸ πεζὸν τότε πλεῖστον ἀθροισθὲν μετά γε τὸν Ξέρξου καὶ πρότερον ἔτι ἐπὶ Σκύθας Δαρείου καὶ ἐπὶ Ἀθήνας στρατόν.

regem esse, neque minus, quam olim ille, cunctae Graeciae imperare. Quod si Artaxerxem vinceret, et Persarum opibus potiretur, multo maius et clarius facinus hoc videri posse sperabat, quam fuisse Priami regnum evertere. Rei divinae operam dantem Thebani cum armis adorti, accensa iam super aris femora disiiciunt, ipsum e templo expellunt. Hic ille, etsi disturbatum sacrum, priusquam litatum esset, molestissime ferebat, in Asiam tamen transmisit, ac Sardeis primum appulit. (3) Erat enim tunc inferioris Asiae pars maxima Lydia, et *in ea urbs nobilissima* Sardeis; *quae praeterquam quod* opibus et omni copiarum genere ceteras longe anteibat, eius, qui maritimam praefecturam obtinebat, *ita* regia erat, uti Susa regis ipsius. Congressus vero cum Tissapherne, Ioniae satrapa, in Hermi campis, vicit Persarum non modo equitatum, sed etiam peditatum; qui tanto tum numero erat collectus, ut post eum exercitum, quem Xerxes adversus Athenas duxit, et ante illum Darius contra Scythas, esset

Λακεδαιμόνιοι δὲ ἀγασθέντες τὸ ἐς τὰ πράγματα τοῦ Ἀγη-
σιλάου πρόθυμον, διδόασιν ἄρχοντα εἶναι καὶ τῶν νεῶν
αὐτόν. ὁ δὲ ταῖς μὲν τριήρεσιν ἐπέστησεν ἡγεμόνα Πείσαν-
δρον (τοῦ Πεισάνδρου δὲ ἐτύγχανε συνοικῶν ἀδελφῇ),
227 τῷ πολέμῳ δὲ αὐτὸς κατὰ γῆν προσεῖχεν ἐῤῥωμένως. καί
οἱ θεῶν τις ἐβάσκηνε, μὴ ἀγαγεῖν τὰ βουλεύματα ἐς τέλος.
(4) Ὡς γὰρ δὴ ἐπύθετο Ἀρταξέρξης μάχας τε, ἃς ἐνίκησεν
Ἀγησίλαος, καὶ ὡς τὸ πρόσω χειρούμενος τὰ ἐν ποσὶ πρό-
εισιν ἀεὶ σὺν τῷ στρατῷ, Τισσαφέρνην μὲν, καί περ τὰ
πρότερα εὐεργέτην ὄντα, ζημιοῖ θανάτῳ, Τιθραύστην δὲ
κατέπεμψεν ἐπὶ θάλασσαν, καὶ φρονῆσαί τε δεινὸν, καί
τι καὶ ἐς τοὺς Λακεδαιμονίους ἔχοντα δυσνοίας. οὗτος
ὡς ἀφίκετο ἐς Σάρδεις, αὐτίκα ἐπενόει τρόπον, ᾧ τινι
ἀναγκάσει Λακεδαιμονίους τὴν ἐκ τῆς Ἀσίας ἀνακαλέσα-
σθαι στρατιάν. ἄνδρα οὖν Ῥόδιον Τιμοκράτην ἐς τὴν
Ἑλλάδα πέμπει χρήματα ἄγοντα, ἐντειλάμενος πόλεμον

maximus. Hominis itaque in bellicis rebus alacritatem admirati Lacedaemonii, classis etiam imperium ei detulerunt. At ille quum studium curamque omnem ad res magnas terrestribus copiis gerendas contulisset, rebus navalibus Pisandrum uxoris suae fratrem praefecit. Verum quo minus voti fieret compos, deorum nescio quis invidit. (4) Ubi enim primum audivit Artaxerxes, Agesilaum, aliquot iam praeliis prospere factis, quae ante pedes (ut aiunt) sunt, praetermittere, ac novos semper rerum progressus quaerentem ulteriora appetere, Tissaphernem apud se prius illustri gratia hominem, capitis damnatum, occidendum curat, eique successorem, qui orae maritimae praeesset, Tithrausten mittit, hominem quum in rebus gerendis sollertem, tum vero odio in Lacedaemonios nonnihil laborantem. Hic ut primum Sardeis attigit, rationem excogitavit, per quam efficeret, ut Lacedaemonii imperatorem suum cum exercitu ex Asia revocare cogerentur. Rhodium enim Timocratem cum pecunia in Graeciam mittit, qui, *corruptis civitatum principibus,*

ἐν τῇ Ἑλλάδι ἐργάσασθαι Λακεδαιμονίοις. οἱ δὲ τῶν χρημάτων μεταλαβόντες Ἀργείων μὲν Κύλων τε εἶναι λέγονται καὶ Σωδάμας, ἐν Θήβαις δὲ Ἀνδροκλείδης καὶ Ἰσμηνίας καὶ Ἀμφίθεμις· μετέσχε δὲ καὶ Ἀθηναῖος Κέφαλος καὶ Ἐπικράτης, καὶ ὅσοι Κορινθίων ἐφρόνουν τὰ Ἀργείων, Πολυάνθης τε καὶ Τιμόλαος. οἱ δὲ ἐς τὸ φανερὸν τοῦ πολέμου παρασχόντες τὴν ἀρχὴν ἐγένοντο οἱ ἐξ Ἀμφίσσης Λοκροί. τοῖς γὰρ δὴ Λοκροῖς γῆ πρὸς τοὺς Φωκέας ἐτύγχανεν οὖσα ἀμφισβητήσιμος. ἐκ ταύτης ὑπὸ Θηβαίων ἐπαρθέντες τῶν περὶ Ἰσμηνίαν τόν τε σῖτον ἀκμάζοντα ἔτεμον καὶ ἤλασαν λείαν ἄγοντες. ἐνέβαλον δὲ πανδημεὶ καὶ οἱ Φωκεῖς ἐς τὴν Λοκρίδα, καὶ ἐδῄωσαν τὴν χώραν. ἐπηγάγοντο οὖν οἱ Λοκροὶ συμμάχους Θηβαίους, καὶ τὴν Φωκίδα ἐπόρθησαν. (5) Ἐς δὲ τὴν Λακεδαίμονα ἐλθόντες οἱ Φωκεῖς τοῖς Θηβαίοις ἐπέκειντο, καὶ ἐδίδασκον, οἷα ἐπεπόνθεσαν ὑπ' αὐτῶν· Λακεδαιμονίοις δὲ πόλεμον πρὸς Θηβαίους ἔδοξεν ἄρασθαι. ἐποιοῦντο δὲ

Graeciae populos ad bellum contra Lacedaemonios suscipiendum concitet. Qui pecuniam cepere, fuisse dicuntur ex Argivis Cylon et Sodamas: e Thebanis Androclides, Ismenias et Amphithemis. *Eius* etiam *largitionis* participes Athenis fuere Cephalus et Epicrates: et simul e Corinthiis quotcunque cum Argivis faciebant. *sed ipsi in primis eius factionis duces* Polyanthes et Timolaus. Bellum aperte geri coeptum est a Locris ex Amphissa. Nam quum inter ipsos et Phocenses de agri finibus esset controversia, Thebanorum, et in primis Ismeniae impulsu frumenta, appropinquante iam messis tempore, succiderunt, et cum reliqua praeda asportarunt. Excursiones etiam in Locrorum agrum Phocenses cum subitariorum militum manu populabundi fecere: quos, adscitis in societatem Thebanis, *probe ulti sunt Locri. Nam* et ipsi vicissim Phocensium agros vastarunt. (5) Quare Phocenses, missis Lacedaemonem legatis, Thebanos acerbissime insectati sunt. Eorum commoti expostulationibus Spartani bellum in Thebanos sciverunt. Inter alia crimina et

ἐς αὐτοὺς καὶ ἄλλα ἐγκλήματα, καὶ τὴν ἐν Αὐλίδι αὐτῶν ὕβριν ἐς τὴν Ἀγησιλάου θυσίαν. Ἀθηναῖοι δὲ τὴν διά-
228 νοιαν τῶν Λακεδαιμονίων προπεπυσμένοι πέμπουσιν ἐς Σπάρτην, ὅπλα μὲν σφᾶς ἐπὶ Θήβας δεόμενοι μὴ κινῆσαι, δίκῃ δὲ ὑπὲρ ὧν ἐγκαλοῦσι διακρίνεσθαι· Λακεδαιμόνιοι δὲ πρὸς ὀργὴν ἀποπέμπουσι τὴν πρεσβείαν. τὰ δὲ ἐπὶ τούτοις ἔς τε τὴν Λακεδαιμονίων ἔξοδον καὶ τὰ ἐς τὴν Λυσάνδρου τελευτὴν ἐδήλωσέ μοι τοῦ λόγου τὰ ἐς Παυσανίαν. (6) Καὶ ὁ κληθεὶς Κορινθιακὸς πόλεμος ἐς πλέον ἀεὶ προῆλθεν ἀπὸ τῆς Λακεδαιμονίων ἀρξάμενος ἐς Βοιωτίαν ἐξόδου. κατὰ ταύτην μὲν δὴ τὴν ἀνάγκην ὀπίσω τὸ στράτευμα ἐκ τῆς Ἀσίας ἀπῆγεν Ἀγησίλαος. ἐπεὶ δὲ ἐξ Ἀβύδου περαιωθεὶς ναυσὶν ἐς Σηστὸν, καὶ διεξελθὼν τὴν Θρᾴκην ἀφίκετο ἐς Θεσσαλίαν, ἐνταῦθα οἱ Θεσσαλοὶ χάριτι τῇ ἐς Θηβαίους τοῦ πρόσω τὸν Ἀγησίλαον ἐπειρῶντο εἴργειν· ἦν δέ τι εὐνοίας ἐκ παλαιοῦ καὶ ἐς τὴν πόλιν αὐτοῖς τὴν Ἀθηναίων. (7) Ἀγησίλαος δὲ Θεσσαλίαν τε διεξῆλθε,

illud querebantur, quod per summam contumeliam in Agesilaum rei divinae operam dantem Aulide impetum fecissent. Cognito Lacedaemoniorum decreto, Athenienses per legatos rogant Spartanos, armis abstineant, iure et disceptatione res repetant. At illi eam legationem infestis atque iratis animis acceptam statim remiserunt. Quae deinde sunt consecuta, Lacedaemoniorum expeditio, et Lysandri mors, exposuimus, quum de Pausaniae rebus gestis ageremus. (6) Et sane bellum illud, quod est Corinthiacum appellatum, a Lacedaemoniorum in Boeotiam expeditione sumto initio, maiores in dies et graviores habuit progressus. Atque haec quidem causa Agesilaum perpulit, ut exercitum ex Asia reportaret. Quum itaque navibus ex Abydo Seston transmisisset, atque inde per Thraciam in Thessaliam contenderet, Thessali, ut eam a Thebanis gratiam inirent, viam ei intercludere conati sunt: quod pro veteri etiam cum Atheniensibus amicitia sibi faciendum putarunt. (7) At ille, fuso hostium equitatu,

τρεψάμενος αὐτῶν τὸ ἱππικὸν, καὶ αὖθις διὰ Βοιωτῶν διώδευσε, Θηβαίους ἐν Κορωνείᾳ καὶ τὸ ἄλλο νικήσας συμμαχικόν. ὡς δὲ ἐτράποντο οἱ Βοιωτοὶ, καταφεύγουσιν ἄνδρες ἐξ αὐτῶν ἐς ἱερὸν Ἀθηνᾶς ἐπίκλησιν Ἰτωνίας. Ἀγησίλαος δὲ εἶχε μὲν τραῦμα ἐκ τῆς μάχης· ἐς δὲ τοὺς ἱκέτας παρενόμησεν οὐδ' οὕτως.

CAPUT X.

Agesilaus denuo cum exercitu Corinthum venit, et Amyclaeenses dimissi ad Hyacinthia celebranda ab Iphicrate opprimuntur in itinere — Agesilaus Aetolis opem fert — in Aegyptum trajicit et in itinere moritur — Archidamo regnante Phocenses Delphici Apollinis templum occupant et a Lacedaemoniis contra Thebanos adjuvantur — Archidamus Tarentinis auxilio proficiscitur et ibi in pugna interficitur — Agis, rex, contra Antipatrum pugnans occumbit — Laconici agri descriptio incipit a regione Scotitas dicta — de vico Caryae dicto et Dianae Caryatidis cultu — reliquiis Selasiae — Apollinis Pythaëi signo in monte Thornace.

Οὐ πολλῷ δὲ ὕστερον τὸν ἀγῶνα ἔθηκαν τῶν Ἰσθμίων οἱ ἐπὶ Λακωνισμῷ φεύγοντες Κορίνθιοι· οἱ δὲ ἐν τῇ πόλει τότε μὲν τῷ Ἀγησιλάου δείματι ἡσύχαζον· ἀναζεύξαντος δὲ ἐς τὴν Σπάρτην, οὕτω καὶ αὐτοὶ μετὰ Ἀργεί-

iter sibi aperuit: ac mox Thebanis et eorum auxiliis ad Coroneam superatis, per Boeotios sibi viam fecit. Ipsi quidem Boeotii e praelio in Minervae cognomento Itoniae confugerunt. Agesilaus vero, etsi vulnus in pugna acceperat, neutiquam sibi tamen in supplicibus violandis religionem contemnendam censuit.

Cap. X. Non ita multo post Isthmicos ludos fecerunt, qui domo eo nomine effugerant, quod Spartanorum partes secuti essent. Corinthii quidem tunc Agesilai metu intra urbem se continuere. At ubi ille castra movit Spartam red-

ων τὰ Ἴσθμια ἄγουσιν. ἀφίκετο δὲ καὶ αὖθις ἐπὶ Κόρινθον στρατιᾷ· καὶ (ἐπῄει γὰρ Ὑακίνθια) ἀφίησι τοὺς Ἀμυκλαιεῖς οἴκαδε ἀπελθόντας τὰ καθεστηκότα τῷ τε
229 Ἀπόλλωνι καὶ Ὑακίνθῳ δρᾶσαι. ταύτην τὴν μοῖραν ἐπιθέμενοι καθ' ὁδὸν Ἀθηναῖοι καὶ Ἰφικράτης διέφθειραν. (2) Ἀγησίλαος δὲ καὶ ἐς Αἰτωλίαν ἐπικουρήσων ἀφίκετο Αἰτωλοῖς ὑπὸ Ἀκαρνάνων πολέμῳ πιεζομένοις, καὶ Ἀκαρνᾶνας ἠνάγκασε καταλύσασθαι τὸν πόλεμον, οὐ πολὺ ἀποδέοντας Καλυδῶνα καὶ τὰ ἄλλα Αἰτωλῶν πολίσματα ᾑρηκέναι. (3) Χρόνῳ δὲ ὕστερον ἔπλευσε καὶ ἐς Αἴγυπτον, ἀφεστηκότων ἀπὸ βασιλέως τῶν Αἰγυπτίων, βοηθήσων. καὶ ἔστιν Ἀγησιλάῳ πολλά τε εἰργασμένα καὶ μνήμης ἄξια ἐν Αἰγύπτῳ· καὶ (ἦν γὰρ ἤδη γέρων) τὸν μὲν κατὰ τὴν πορείαν ἐπέλαβεν ἡ μοῖρα· Λακεδαιμόνιοι δὲ, ὡς ἐκομίσθη σφίσιν ὁ νεκρὸς, θάπτουσιν αὐτὸν βασιλέων τιμήσαντες μάλιστα. (4) Ἀρχιδάμου δὲ τοῦ Ἀγησιλάου βασιλεύοντος, κατέλαβον τὸ ἱερὸν Φωκεῖς τὸ ἐν

iturus, una cum Argivis et ipsi Isthmia agitarunt. Sed Corinthum rursus cum exercitu Agesilaus rediit. Quod tamen Hyacinthia adventarent, Amyclaeenses Agesilaus domum dimisit, quo ludos Apollini et Hyacintho patrio ritu facerent. Eam manum Athenienses Iphicrate duce in via adorti trucidarunt. (2) Agesilaus in Aetoliam deinde venit, Aetolis contra Acarnanas, a quibus bello premebantur, auxilium laturus; et Acarnanas quidem ipsos ab armis discedere coëgit, quum iam parum tamen abesset, quin et Calydona et alia Aetolorum oppida expugnarent. (3) Insequenti postea tempore in Aegyptum navigavit, ut eos armis persequeretur, qui a rege defecerant. Ac multae quidem res et praeclarae ab eo in Aegypto gestae possunt commemorari. Erat iam *admodum* senex Agesilaus: quare in ipso itinere fatum illum oppressit suum. Cadaver eius in patriam reportatum Lacedaemonii maiore multo, quam aliorum regum, sepulturae et funeris honore decorarunt. (4) Archidamo deinde Agesilai filio regnante Phocenses Delphici Apollinis fanum occu-

Δελφοῖς. Θηβαίοις μὲν δὴ πολεμεῖν τοῖς Φωκεῦσιν ἀφίκετο μὲν καὶ ἰδίᾳ συμμαχικὰ ἐπὶ χρήμασιν, ἀπὸ δὲ κοινοῦ λόγου Λακεδαιμόνιοί τε καὶ Ἀθηναῖοί σφισιν ἤμυνον· οἱ μὲν, ἀρχαίαν δή τινα ἐκ τῶν Φωκέων μνημονεύοντες εὐεργεσίαν· Λακεδαιμόνιοι δὲ, προφάσει μὲν καὶ οὗτοι φιλίας, κατὰ ἔχθος δὲ, ἐμοὶ δοκεῖν, τὸ Θηβαίων. Θεόπομπος δὲ ὁ Δαμασιστράτου, τόν τε Ἀρχίδαμον μετασχεῖν τῶν χρημάτων αὐτὸν, καὶ ἔτι Δεινίχαν τὴν Ἀρχιδάμου γυναῖκα παρὰ τῶν δυναστευόντων ἐν Φωκεῦσιν ἔφη λαμβάνουσαν δωρεὰν ἑτοιμότερον ποιεῖν σφισιν ἐς τὴν συμμαχίαν Ἀρχίδαμον. τὸ μὲν δὴ χρήματα ἱερὰ δέξασθαι, καὶ ἀνδράσιν ἀμῦναι μαντεῖον πορθήσασι τὸ ἐπιφανέστατον, οὐκ εἰς ἔπαινον τίθεμαι· τοσοῦτον δέ οἱ πρόσεστιν εἰς ἔπαινον. Δελφῶν γὰρ τούς τε ἡβῶντας ἀποκτεῖναι, καὶ γυναῖκας καὶ τέκνα ἐξανδραποδίσασθαι, καταβαλεῖν δὲ καὶ αὐτὴν ἐς ἔδαφος τὴν πόλιν ἐτόλμων οἱ Φωκεῖς·
ταῦτα οὖν μὴ παθεῖν ὑπὸ τῶν Φωκέων αὐτοὺς, παρῃτή- 230

paverunt. Ad bellum igitur contra Thebanos gerendum Phocensibus tum privatis pecuniis conducta auxilia venerunt, tum illis Lacedaemonii et Athenienses publico decreto auxilia misere: hi quidem veterum erga se meritorum recordatione adducti; Lacedaemonii vero, Thebanorum odio, Phocensium (ut mea fert opinio) societatem praetendentes. At Theopompus Damasistrati filius, Archidamum, scriptum reliquit, eius belli gerendi socium fuisse; atque adeo Dinicham, Archidami uxorem, ab iis, qui rerum apud Phocenses potiebantur, corruptam muneribus, Archidamum ad opem illis ferendam effecisse promtiorem. Enimvero et sacram pecuniam cepisse, et auxilio iis venisse, a quibus est orbis terrae clarissimum oraculum vastatum, nunquam ego in laude posuerim. At illud merito in Archidamo collaudarim, quod, quum Phocenses Delphorum militarem aetatem omnem trucidare, liberos et uxores in servitutem abducere, ipsam denique urbem funditus evertere in animo haberent, unus tam insignem est

σατο Ἀρχίδαμος. (5) Διέβη δὲ καὶ ἐς Ἰταλίαν ὕστερον Ταραντίνοις βαρβάρων πόλεμον συνδιοίσων σφίσιν ὁμόρων· καὶ ἀπέθανέ τε αὐτόθι ὑπὸ τῶν βαρβάρων. καὶ αὐτοῦ τὸν νεκρὸν ἁμαρτεῖν τάφου, τὸ μήνιμα ἐγένετο ἐμποδὼν τὸ ἐκ τοῦ Ἀπόλλωνος. (6) Τοῦ δὲ Ἀρχιδάμου τούτου τὸν μὲν πρεσβύτερον παῖδα Ἆγιν κατέλαβεν ἀποθανεῖν Μακεδόσιν ἐναντία καὶ Ἀντιπάτρῳ μαχεσάμενον· Εὐδαμίδας δὲ ὁ νεώτερος Λακεδαιμονίοις ἐβασίλευσεν ἄγουσιν εἰρήνην. τὰ δὲ ἐς Ἆγιν τὸν Εὐδαμίδου καὶ ἐς Εὐρυδαμίδαν τὸν Ἄγιδος ὡς ἔσχεν, ἤδη μοι καὶ τάδε ἡ Σικυωνία συγγραφὴ διεξήει.

(7) Ἰοῦσι δὲ ἀπὸ τῶν Ἑρμῶν ἐστιν ὁ τόπος οὗτος ἅπας δρυῶν πλήρης· τὸ δὲ ὄνομα τῷ χωρίῳ Σκοτίτας. τὸ δὲ [σκότος] οὐ τὸ συνεχὲς τῶν δένδρων ἐποίησεν, ἀλλὰ Ζεὺς ἐπίκλησιν ἔσχε Σκοτίταν, καὶ ἔστιν ἐν ἀριστερᾷ τῆς ὁδοῦ δέκα μάλιστά που στάδια ἐκτραπομένοις ἱερὸν Σκοτίτα Διός. ἐπανελθόντων δὲ ἐντεῦθεν προελθοῦσιν ὀλίγον, καὶ τραπεῖσιν αὖθις ἐς ἀριστερὰν, ἄγαλμά ἐστιν Ἡρακλέους καὶ τρόπαιον· ἀναστῆσαι δὲ ἐλέγετο Ἡρακλῆς

cladem deprecatus. (5) Idem postea in Italiam traiecit, quo tempore Tarentinos in bello contra finitimos barbaros auxiliis iuvit. Ibi vero quum in pugna interfectus fuisset, quod sepulturae honore caruerit, Apollinis *(nempe cuius numen laeserat)* ira factum est. (6) Huius Archidami natu maior filius Agis contra Macedoniae regem Antipatrum pugnans occubuit. Minor Eudamidas rebus maxime pacatis Spartae regnavit. Agidis vero Eudamidae, et Eurydamidae Agidis filiorum res gestas pridem persecuti sumus, quum in Sicyoniorum rebus nostra versaretur oratio. (7) Ab Hermis descendentibus locus occurrit quercetis condensus: Scotitas ei nomen, *quasi Tenebricosum dicas.* Illud quidem non ab arborum continenti umbra, sed a Iove cognomento Scotita, cuius templum a *recta* via ad laevam abest decem ferme stadia. In ipsa via paulo longius progressis ad laevam itidem ostendit se Herculis signum et tropaeum. Erectum ab ipso,

ἀποκτείνας Ἱπποκόωντα καὶ τοὺς παῖδας. (8) Τρίτη δὲ
ἐκ τῆς ὁδοῦ τῆς εὐθείας ἐκβολὴ κατὰ τὰ δεξιὰ ἐς Καρύας
ἄγει, καὶ ἐς τὸ ἱερὸν τῆς Ἀρτέμιδος. τὸ γὰρ χωρίον
Ἀρτέμιδος καὶ Νυμφῶν ἐστιν αἱ Κάρυαι, καὶ ἄγαλμα
ἕστηκεν Ἀρτέμιδος ἐν ὑπαίθρῳ Καρυάτιδος. χοροὺς δὲ
ἐνταῦθα αἱ Λακεδαιμονίων παρθένοι κατὰ ἔτος ἱστᾶσι,
καὶ ἐπιχώριος αὐταῖς καθέστηκεν ὄρχησις. (9) Ἀναστρέ-
ψαντι δὲ καὶ κατὰ τὴν λεωφόρον ἰόντι, ἐρείπια Σελλασίας
ἐστί. ταύτην, καθὰ καὶ πρότερον ἔγραψα, ἠνδραποδί-
σαντο Ἀχαιοὶ, Λακεδαιμονίους καὶ τὸν βασιλέα Κλεομέ-
νην τὸν Λεωνίδου μάχῃ νικήσαντες. (10) Ἐν δὲ Θόρνακι 231
(ἐς γὰρ τοῦτον ἀφίξῃ προϊὼν) ἄγαλμά ἐστι Πυθαέως
Ἀπόλλωνος, κατὰ τὰ αὐτὰ τῷ ἐν Ἀμύκλαις πεποιημένον·
τὸ δὲ σχῆμα ὁποῖόν ἐστιν, ἐπ' ἐκείνῳ γράψω. Λακεδαι-
μονίοις γὰρ ἐπιφανέστερά ἐστι τὰ ἐς τὸν Ἀμυκλαῖον,
ὥστε καὶ τὸν χρυσὸν, ὃν Κροῖσος ὁ Λυδὸς τῷ Ἀπόλλωνι
ἔπεμψε τῷ Πυθαεῖ τούτῳ, ἐς κόσμον τοῦ ἐν Ἀμύκλαις κα-
τεχρήσαντο ἀγάλματος.

proditum est memoriae, quum Hippocoontem eiusque filios occidisset. (8) Tertium a recta via diverticulum ad dextram Caryas et ad Dianae perducit: siquidem vicus ille Dianae est, et Nymphis sacer. Et Caryatidis Dianae sub divo signum est: quo in loco Lacedaemoniorum virgines anniversarium festum obeunt, patrioque ritu saltationem celebrant. (9) Reversus in viam militarem, ac aliquantulum progressus, Selasiae ruinas videas: quam victis Lacedaemoniis, eorumque rege Cleomene Leonidae filio, captam ab Achaeis ante scripsimus. In Thornace, quo hinc profectus non multo post pervenies, Pythaei Apollinis signum visitur, eadem figura, qua Amyclis est; quod cuiusmodi sit, suo loco exponam. Est autem Lacedaemoniis clarior multo, et ipsa religione insignior Amyclaeus ille Apollo: siquidem aurum illud omne, quod Apollini huic Pythaeo dono miserat Croesus Lydorum rex, ad Amyclaei Apollinis ornatum transtulerunt.

CAPUT XI.

De urbe Sparta seu Lacedaemone — memorandis in foro Spartae, aedibus senatorum et magistratuum in eo, senatu, Ephoris et Bidiaeis — porticu Persica — templo Caesaris et Augusti imperator. — Agia vate et Tisameno ejusque de quinque victoriis vaticinio — regione fori Choro dicta — reliquis templis, signis ac memorandis in foro.

Ἀπὸ δὲ Θόρνακος προελθόντι ἐστὶν ἡ πόλις, Σπάρτη μὲν ὀνομασθεῖσα ἐξαρχῆς, προσλαβοῦσα δὲ ἀνὰ χρόνον καὶ Λακεδαίμων ἡ αὐτὴ καλεῖσθαι· τέως δὲ τὸ ὄνομα τοῦτο ἔκειτο τῇ γῇ. ὃ δὲ ἐν τῇ συγγραφῇ μοι τῇ Ἀτθίδι ἐπανόρθωμα ἐγένετο, μὴ τὰ πάντα με ἐφεξῆς, ἀλλὰ τὰ μάλιστα ἄξια μνήμης ἐπιλεξάμενον ἀπ' αὐτῶν εἰρηκέναι, δηλώσω δὴ πρὸ τοῦ λόγου τοῦ ἐς Σπαρτιάτας· ἐμοὶ γὰρ ἐξ ἀρχῆς ἠθέλησεν ὁ λόγος ἀπὸ πολλῶν καὶ οὐκ ἀξίων ἀφηγήσεως, ὧν ἕκαστοι παρὰ σφίσι λέγουσιν, ἀποκρῖναι τὰ ἀξιολογώτατα. ὡς οὖν εὖ βεβουλευμένος, οὐκ ἔστιν ὅπου παραβήσομαι. (2) Λακεδαιμονίων τοῖς Σπάρτην ἔχουσίν ἐστιν ἀγορὰ θέας ἀξία, καὶ τῆς τε γερουσίας βου-

Cap. XI. A Thornace descendentibus urbs ipsa se ostendit, initio Sparta, posteris deinde temporibus etiam Lacedaemon nuncupata, quum antea regionis nomen hoc esset. Quod autem in Attica historia professus sum, me non omnia persecuturum, sed, habito delectu, ea duntaxat, quae memoria digna visa essent, literis mandaturum: idem nunc mihi, antequam ad eorum, quae de Sparta dicenda sunt, commemorationem aggredior, profitendum: siquidem instituti operis initio e multis, quae populi ipsi de se fama vulgarunt, ea mihi seligenda duxi, quae maxime memoratu digna visa essent: cuius certe minime improbandi consilii, nihil profecto est, quamobrem fines transgrediar. (2) Apud Lacedaemonios, qui Spartam tenent, digna, quae spectentur, sunt. Forum primum: in eo curia, quo seniorum ordo ille convenit, quam ipsi Gerusian vocant: Ephororum deinde, et

λευτήριον, καὶ τῶν ἐφόρων, καὶ νομοφυλάκων, [καὶ]
καλουμένων Βιδιαίων ἀρχεῖά ἐστιν ἐπὶ τῆς ἀγορᾶς. ἡ μὲν
δὴ γερουσία συνέδριον Λακεδαιμονίοις κυριώτατον τῆς
πολιτείας, οἱ λοιποὶ δέ εἰσιν ἄρχοντες. τοῖς δὲ ἐφόροις
καὶ Βιδιαίοις πέντε ἀριθμὸν ἑκατέροις οὖσι, τοῖς μὲν
τοὺς ἐπὶ τῷ Πλατανιστᾷ καλουμένῳ καὶ ἄλλους τῶν ἐφή-
βων ἀγῶνας τιθέναι καθέστηκεν, ἔφοροι δὲ τά τε ἄλλα 232
διοικοῦσι τὰ σπουδῆς μάλιστα ἄξια, καὶ παρέχονται τὸν
ἐπώνυμον, καθὰ δὴ καὶ Ἀθηναίοις τῶν καλουμένων ἐννέα
ἐπώνυμός ἐστιν εἷς ἄρχων. (3) Ἐπιφανέστατον δὲ τῆς
ἀγορᾶς ἐστιν, ἣν στοὰν Περσικὴν ὀνομάζουσιν ἀπὸ λαφύ-
ρων ποιηθεῖσαν τῶν Μηδικῶν· ἀνὰ χρόνον δὲ αὐτὴν
ἐς μέγεθος τὸ νῦν καὶ ἐς κόσμον τὸν παρόντα μεταβεβλή-
κασιν. εἰσὶ δὲ ἐπὶ τῶν κιόνων Πέρσαι λίθου λευκοῦ καὶ
ἄλλοι, καὶ Μαρδόνιος ὁ Γωβρύου. πεποίηται δὲ καὶ
Ἀρτεμισία, θυγάτηρ μὲν Λυγδάμιδος, ἐβασίλευσε δὲ
Ἁλικαρνασσοῦ. ταύτην φασὶν ἑκουσίως ἐπὶ τὴν Ἑλλάδα

Nomophylacum, (*legum his tutela commissa est*) [et eorum,] qui Bidiaei appellantur, basilicae. Ac Gerusia quidem consessus est, penes quem apud Lacedaemonios summa civilis administrationis est auctoritas, reliqui vero sunt et dicuntur Archontes. Ephori et Bidiaei magistratus sunt, quini utrique. Atque inter hos Bidiaei quidem in Platanista tum alia tum epheborum certamina curant. Ephori autem gravioribus praesunt negotiis: atque hi de suo numero Eponymum designant, perinde atque Athenienses etiam de eius nomine, qui IX primus praesidet, annos distinguunt suos. (3) In foro *omnium est operum* nobilissimum porticus ea, quam Persicam appellant, quod de Persarum manubiis est aedificata. In sequentibus deinde temporibus ad eam, quam nunc prae se fert, magnitudinem et ornamentorum speciem illam traduxerunt. Insistunt columnis et alia Persarum duces, et inter eos Mardonius Gobryae filius, candido lapide facti. Est etiam illic statua Artemisiae, Lygdamidis filiae, Halicarnassi reginae.

συστρατεῦσαι Ξέρξῃ, καὶ ἔργα ἐν τῇ ναυμαχίᾳ ἐν Σαλαμῖνι ἀποδείξασθαι. (4) Ναοὶ δέ εἰσιν ἐπὶ τῆς ἀγορᾶς, Καίσαρος, ὃς μοναρχίας πρῶτος ἐν Ῥωμαίοις ἐπεθύμησε, καὶ ἀρχὴν τὴν καθεστηκυῖαν πρῶτος ἐκτήσατο· ὁ δὲ Αὐγούστῳ πεποίηται παιδὶ ἐκείνου, τήν τε βασιλείαν βεβαιωσαμένῳ μᾶλλον, καὶ ἀξιώματος καὶ δυνάμεως ἐς πλέον ἢ πατήρ οἱ προελθόντι. τὸ δὲ ὄνομα εἶναι τούτῳ Αὔγουστος, ὃ κατὰ γλῶτταν δύναται τὴν Ἑλλήνων σεβαστός. (5) Τοῦ δὲ Αὐγούστου δεικνύουσι πρὸς τῷ βωμῷ χαλκῆν εἰκόνα Ἁγίου. τοῦτον τὸν Ἁγίαν μαντευσάμενόν φασι Λυσάνδρῳ τὸ Ἀθηναίων ἑλεῖν ναυτικὸν περὶ Αἰγὸς ποταμοὺς πλὴν τριήρων δέκα· αὗται δὲ ἀποφεύγουσιν ἐς Κύπρον, τὰς δὲ ἄλλας οἱ Λακεδαιμόνιοι καὶ αὐτὰς καὶ τοὺς ἄνδρας αἱροῦσιν. ὁ δὲ Ἁγίας Ἀγελόχου παῖς ἦν τοῦ Τισαμενοῦ. (6) Τισαμενῷ δὲ ὄντι Ἠλείῳ τῶν Ἰαμιδῶν λόγιον ἐγένετο, ἀγῶνας ἀναιρήσεσθαι πέντε ἐπιφανεστά-

Hanc aiunt ultro contra Graecos Xerxi auxilium tulisse, et praeclara bellicae virtutis navali ad Salamina praelio documenta dedisse. (4) In eodem foro templa sunt duo; Caesari alterum, ei nempe, qui primus apud Romanos solus imperare concupivit, et novam hanc constituit reipublicae formam: alterum eius filio Augusto dicatum, qui et imperium confirmavit, et *in eo* quum dignitate, tum vero opibus *augendo*, paternam gloriam facile superavit. Cognomen vero Augusti idem plane voce ipsa pollet, quod Graecorum lingua σεβαστὸς, i. e. *sanctus, ac ipsa quasi numinis cuiusdam maiestate colendus.* (5) Ad Augusti aram aenea est Agiae effigies. Agian hunc divinasse ferunt Lysandro, classe Atheniensium apud Aegos potamos esse potiturum, praeter triremes X, quae e fuga se in Cyprum recepere, quum Lacedaemonii ceteras una cum militibus cepissent. Fuit Agias Agelochi filius, Tisameni nepos. (6) Tisameno patria Eleo, ex Iamidarum familia, oraculum redditum est, e quinque ipsum maxime illustribus certaminibus victorem discessurum. Sed enim, quum

τους αὐτόν. οὕτω πένταθλον Ὀλυμπίασιν ἀσκήσας, ἀπῆλθεν ἡττηθεὶς, καί τοι τὰ δύο γε ἦν πρῶτος· καὶ γὰρ δρόμῳ τε ἐκράτει, καὶ πηδήματι Ἱερώνυμον τὸν Ἄνδριον. καταπαλαισθεὶς δὲ ὑπ' αὐτοῦ, καὶ ἁμαρτὼν τῆς νίκης, συνίησι τοῦ χρησμοῦ, διδόναι οἱ τὸν θεὸν μαντευομένῳ πέντε ἀγῶνας πολέμῳ κρατῆσαι. Λακεδαιμόνιοι δὲ (οὐ γὰρ εἶχον ἀνηκόως, ὧν Τισαμενῷ προεῖπεν 233 ἡ Πυθία) πείθουσι μετοικήσαντα ἐξ Ἤλιδος μαντεύεσθαι Σπαρτιατῶν τῷ κοινῷ· καὶ σφισιν ὁ Τισαμενὸς ἀγῶνας πολέμου πέντε ἐνίκησε. πρῶτον μὲν Πλαταίασιν ἐναντία Περσῶν, δεύτερον δὲ ἐν Τεγέᾳ, πρὸς Τεγεάτας καὶ Ἀργείους μάχης Λακεδαιμονίοις συνεστώσης, ἐπὶ τούτοις δὲ ἐν Διπαιεῦσιν, Ἀρκάδων πάντων πλὴν Μαντινέων ἀντιτεταγμένων· (οἱ δὲ Διπαιεῖς ἐν τῇ Μαιναλίᾳ πόλισμα Ἀρκάδων ἦσαν) τέταρτον δὲ ἠγωνίσατο πρὸς τοὺς [ἐξ Ἰσθμοῦ] ἐς Ἰθώμην ἀποστάντας τῶν εἱλώτων· ἀπέστη-

ab Olympicis ludis de quinquertio victus abiisset, quippe qui in duobus quidem Andrium Hieronymum (cursu scilicet et saltu) superasset, in lucta vero eidem succubuisset, intellexit oraculum, dari videlicet a numine in quinque certaminibus bellicis victoriam sibi obtinere vaticinanti: *praedictionem suam eventu ipso comprobatum iri.* Lacedaemonii enimvero, quibus ignotum non erat, quid ex oraculo Tisameno promissum fuisset, homini persuadent, ad se ex Elide migret, et in vaticinando Spartanorum reipublicae operam navet. Id quum ille fecisset, praeliorum quinque ei victoriam acceptam Spartani retulerunt. Primum fuit ad Plataeas contra Persas. Alterum in Tegea, quum adversum Tegeatas et Argivos pugnatum est a Lacedaemoniis. Tertium in Dipaeensibus, quo tempore Arcades omnes, Mantineensibus exceptis, signa cum Lacedaemoniis contulerunt. (Sunt autem Dipaeenses Arcadum parva in Maenalia civitas.) Iam vero quartum eiusdem auspiciis factum est praelium contra eos Hilotas, qui in Ithomen secesserant. Ipsi quidem Hilotae non universi defecerant,

σαν δὲ οὐχ ἅπαντες οἱ εἵλωτες, ἀλλὰ τῶν Μεσσηνιακῶν ἀπὸ τῶν ἀρχαίων εἱλώτων ἀποσχισθέντες· καί μοι καὶ τάδε ὁ λόγος αὐτίκα ἐπέξεισι· τότε δὲ οἱ Λακεδαιμόνιοι τοὺς ἀποστάντας ἀπελθεῖν ὑποσπόνδους εἴασαν, Τισαμενῷ καὶ τῷ ἐν Δελφοῖς χρηστηρίῳ πειθόμενοι. τελευταῖον δὲ ὁ Τισαμενὸς ἐμαντεύσατο ἐν Τανάγρᾳ σφίσι πρὸς Ἀργείους καὶ Ἀθηναίους γινομένης συμβολῆς. τὰ μὲν Τισαμενοῦ τοιαῦτα ἐπυνθανόμην ὄντα. (7) *Σπαρτιάταις δὲ ἐπὶ τῆς ἀγορᾶς Πυθαέως τέ ἐστι καὶ Ἀπόλλωνος καὶ Ἀρτέμιδος καὶ Λητοῦς ἀγάλματα. Χορὸς δὲ οὗτος ὁ τόπος καλεῖται πᾶς, ὅτι ἐν ταῖς γυμνοπαιδίαις (ἑορτὴ δὲ εἴ τις ἄλλη καὶ αἱ γυμνοπαιδίαι διὰ σπουδῆς Λακεδαιμονίοις εἰσὶν) ἐν ταύταις οὖν οἱ ἔφηβοι χοροὺς ἱστᾶσι τῷ Ἀπόλ-*
234 *λωνι.* (8) *Τούτων δὲ οὐ πόῤῥω Γῆς ἱερὸν καὶ Διός ἐστιν ἀγοραίου, τὸ δὲ Ἀθηνᾶς ἀγοραίας καὶ Ποσειδῶνος, ὃν ἐπονομάζουσιν Ἀσφάλιον· καὶ Ἀπόλλωνος αὖθις καὶ Ἥρας. ἀνάκειται δὲ καὶ Δήμου τοῦ Σπαρτιατῶν ἀνδριάς, μεγέθει μέγας. καὶ Μοιρῶν Λακεδαιμονίοις ἐστὶν ἱερόν·*

sed Messenici tantum, qui se a priscis Hilotis abiunxerant. Verum non multo post, quae huc pertinent, exponam. Tunc quidem Lacedaemonii eos, a quibus facta fuerat defectio, Delphici Apollinis oraculo et Tisameni monitis adducti, icto cum illis foedere, incolumes dimisere. Postremo *quintam victoriam* praedixit Tisamenus, quum ad Tanagram Lacedaemonii cum Argivis et Atheniensibus conflixerunt. Haec de Tisameno audita habeo. (7) Spartanis in foro Pythaei Apollinis, Dianae et Latonae signa sunt. Chorus autem tota ea fori pars dicitur ob eam causam, quod Gymnicis puerorum ludis, *Gymnopaedias ipsi vocant* (quod festum, si ullum aliud, magno studio celebrant) puberes Apollini choros agitant. (8) Non longe Telluris aedes, et Agoraei Iovis: Agoraeae item Minervae, et Neptuni, quem cognominant Asphalium. Apollinis aliud ibidem est, et Iunonis. Visitur et Spartanorum populi virili habitu signum ingenti magnitudine. Est item apud Lacedaemonios Parcarum fanum: cui proxi-

Ὀρέστου δὲ τοῦ Ἀγαμέμνονος πρὸς αὐτῷ τάφος. κομισθέντα γὰρ ἐκ Τεγέας τοῦ Ὀρέστου τὰ ὀστᾶ κατὰ μαντείαν θάπτουσιν ἐνταῦθα. παρὰ δὲ τοῦ Ὀρέστου τὸν τάφον ἐστὶν εἰκὼν Πολυδώρου τοῦ Ἀλκαμένους, ὃν βασιλέων ἐς τοσοῦτον τιμῆς προήχασιν, ὥστε οἱ τὰς ἀρχὰς ἔχοντες, ὁπόσα δεῖ σημαίνεσθαι, τοῦ Πολυδώρου σημαίνονται τῇ εἰκόνι. ἔστι δὲ καὶ Ἑρμῆς ἀγοραῖος Διόνυσον φέρων παῖδα, καὶ τὰ ἀρχαῖα καλούμενα Ἐφορεῖα, ἐν δὲ αὐτοῖς Ἐπιμενίδου τοῦ Κρητὸς μνῆμα, καὶ Ἀφαρέως τοῦ Περιήρους. καὶ τά γε ἐς Ἐπιμενίδην, Λακεδαιμονίους δοξάζω μᾶλλον Ἀργείων λέγειν εἰκότα. ἐνταῦθα, ἔνθα αἱ Μοῖραι * καὶ ἔστιν ἃ καὶ Λακεδαιμονίοις. ἔστι καὶ Ζεὺς ξένιος καὶ Ἀθηνᾶ ξενία.

mum est Orestis Agamemnonis filii sepulcrum. Ex Tegea enim *huc* deportata Orestis ossa oraculi iussu eo in loco sepeliere. Prope Orestis sepulcrum est Polydori regis Alcamenis filii effigies: cui prae cunctis regibus aliis tantum honoris Lacedaemonii tribuerunt, ut, quae *publice* obsignari necesse sit, ea Polydori imagine magistratus obsignent. Est ibidem forensis Mercurius Liberum Patrem portans. Sunt ibidem archiva, quae Ephorea nominant. In iis est Epimenidis Cretensis monumentum, et Apharei Perieris filii. Veriora autem existimo, quae a Lacedaemoniis, quam quae ab Argivis de Epimenide commemorantur. Quo in loco Parcae sunt, *ibidem* est Hospitalis Iupiter, et Hospitalis item Minerva.

CAPUT XII.

De via Aphetaïs dicta — Icarii et Danai cursus certamine filiarum procis proposito — domo Polydori Booneta dicta — templo et signo Dianae Celeutheae et memorandis herois — luco Neptuni Taenarii, Dianae signo et regione Hellenium dicta — Talthybii monumento — aliis memorandis sepulcris et templis etc. in hac urbis regione — Sciade, ubi conciones habentur — signis Jovis et Veneris Olympiae.

235 *Ἰόντι δὲ ἐκ τῆς ἀγορᾶς κατὰ τὴν ὁδὸν, ἣν Ἀφέτας ὀνομάζουσι, τὰ καλούμενα Βοώνητά ἐστι· καί με ὁ λόγος ἀπαιτεῖ πρότερα εἰπεῖν τὰ ἐς τὴν ἐπίκλησιν τῆς ὁδοῦ. (2) Τοῖς μνηστῆρσιν Ἰκάριον τῆς Πηνελόπης φασὶν ἀγῶνα προθεῖναι δρόμου· καὶ ὅτι μὲν Ὀδυσσεὺς ἐκράτει, δῆλά ἐστιν. ἀφεθῆναι δὲ αὐτοὺς λέγουσιν ἐς τὸν δρόμον διὰ τῆς ὁδοῦ τῆς Ἀφεταΐδος. δοκεῖν δ' ἐμοὶ, δρόμου Ἰκάριος τὸ ἀγώνισμα ἐποίησε, μιμούμενος Δαναόν. Δαναῷ γὰρ τοῦτο ἐπὶ ταῖς θυγατράσιν εὑρέθη, καὶ ὡς γυναῖκα οὐδεὶς ἤθελεν ἐξ αὐτῶν διὰ τὸ μίασμα ἀγαγέσθαι, διέπεμπε δὴ ὁ Δαναὸς ἕδνων ἄνευ δώσειν, ᾗ ἂν ἕκαστος κατὰ κάλλος ἀρέσκηται. ἀφικομένοις δὲ ἀνδρά-*

CAP. XII. E foro quum discedas per eam viam, cui nomen Aphetae, (*idem prope est, quod Curriculi carceres*) ad eum locum venias, quae Booneta (*hoc idem est, ac si Bobus empta dicas*) nuncupant. Res postulare videtur, ut, quare fuerit via ita appellata, prius exponam. (2) Icarium aiunt Penelopes patrem cursus certamen procis proposuisse. In iis ludis Ulyssem victorem fuisse, dubitari nihil potest. Missi vero in curriculum dicuntur per Aphetaidem viam. Icarium quidem ipsum cursorios istos ludos exemplo Danai celebrasse crediderim: siquidem Danaus, quum nancisci non posset, qui ipsius filias duceret *parricidio* pollutas, dimisit, *qui nunciarent*, nullum se a viris sponsalium nomine munus poscere, *verum optionem puellis daturum, ut earum quaelibet sibi eum deligeret*, cuius maxime esset forma complacita. Verum *hu-*

σιν οὐ πολλοῖς ἀγῶνα δρόμου κατέστησε, καὶ πρώτῳ τε ἐλθόντι ἐγένετο ἑλέσθαι πρώτῳ τῶν ἄλλων, καὶ μετ' ἐκεῖνον τῷ δευτέρῳ, καὶ ἤδη κατὰ τὰ αὐτὰ ἄχρι τοῦ τελευταίου· τὰς δὲ ὑπολειφθείσας μένειν ἔφοδον ἄλλην μνηστήρων ἔδει, καὶ ἀγῶνα ἄλλον δρόμου. (3) Λακεδαιμονίοις δὲ κατὰ τὴν ὁδὸν ταύτην ἐστὶν, ὡς ἤδη λέλεκταί μοι, τὰ ὀνομαζόμενα Βοώνητα, Πολυδώρου ποτὲ οἰκία τοῦ βασιλέως· ἀποθανόντος δὲ, παρὰ τοῦ Πολυδώρου τῆς γυναικὸς ἐπρίαντο ἀντιδόντες βοῦς. ἀργύρου γὰρ οὐκ ἦν πω τότε οὐδὲ χρυσοῦ νόμισμα, κατὰ τρόπον δὲ ἔτι τὸν ἀρχαῖον ἀντεδίδοσαν βοῦς, καὶ ἀνδράποδα, καὶ ἀργὸν τὸν ἄργυρον καὶ χρυσόν. οἱ δὲ ἐς τὴν Ἰνδικὴν ἐσπλέοντες φορτίων φασὶν Ἑλληνικῶν τοὺς Ἰνδοὺς ἀγώγιμα ἄλλα ἀνταλλάσσεσθαι, νόμισμα δὲ οὐκ ἐπίστασθαι, καὶ ταῦτα χρυσοῦ τε ἀφθόνου καὶ χαλκοῦ παρόντος σφίσι. (4) Τὸ δὲ τῶν Βιδιαίων ἀρχεῖον πέραν ἐστὶν Ἀθηνᾶς ἱε-

iusmodi ille eas locandi rationem iniit. Quum *ad eam famam* non sane multi convenissent, cursus certamine proposito, ei, qui ceteros praevenisset, quam ille maluisset, secundo alteram, eodemque modo ceteras usque ad extremum locavit. Iam vero quae viros nactae non essent, exspectare iubebat, usquedum novi proci in cursus certamen descenderent. (3) In hac ipsa via (uti iam dictum est) sunt apud Lacedaemonios, quae Booneta vocantur. Domus ea fuit Polydori regis: quae, eo mortuo, de eius uxore empta est. Boves pretium fuere. Nondum enim tunc erat nummus argento aurove signatus: sed priscus fuit mos, uti sibi, quae quisque vellet, per commutationem, bubus, servitiis, rudi argento et auro ultro citroque datis et acceptis, compararet. Quin et *hoc ipso tempore* ab Indis, referunt, qui ad ea loca navigarunt, pro Graecorum, quae illuc comportatae fuerint, rebus reponi Indicas merces: nummum vero illos plane ignorare, etsi abundat ea orbis terrae pars auro et aere. (4) Supra Bidiaeorum praetorium Minervae aedes est. *In ea*

ρόν· Ὀδυσσεὺς δὲ ἱδρύσασθαι τὸ ἄγαλμα λέγεται, καὶ
236 ὀνομάσαι Κελεύθειαν, τοὺς Πηνελόπης μνηστῆρας τῷ δρόμῳ νικήσας. ἱδρύσατο δὲ τῆς Κελευθείας ἱερὰ ἀριθμῷ τρία, διεστηκότα ἀπ' ἀλλήλων. Προϊόντων δὲ κατὰ τὴν Ἀφεταΐδα, ἡρῷά ἐστιν, Ἴοπός τε κατὰ Λέλεγα ἢ Μύλητα γενέσθαι δοκοῦντος, καὶ Ἀμφιαράου τοῦ Οἰκλέους. τοῦτο δὲ τοὺς Τυνδάρεω παῖδας νομίζουσιν ἅτε ἀνεψιῷ τῷ Ἀμφιαράῳ ποιῆσαι. καὶ αὐτοῦ Λέλεγός ἐστιν ἡρῷον. (5) Τούτων δὲ οὐ πόῤῥω τέμενος Ποσειδῶνος [Ταιναρίου]· Ταινάριον δὲ ἐπονομάζουσιν. οὐ μακρὰν δὲ Ἀθηνᾶς ἄγαλμα, ὃ τοὺς ἐς Ἰταλίαν τε καὶ Τάραντα ἀποικισθέντας ἀναθεῖναι λέγουσι. τὸ δὲ χωρίον, ὃ καλοῦσιν Ἑλλήνιόν, ἐστὶν εἰρημένον, ὡς οἱ τῶν Ἑλλήνων Ξέρξην διαβαίνοντα ἐς τὴν Εὐρώπην παρεσκευάζοντο ἀμυνούμενοι, κατὰ τοῦτο τὸ χωρίον βουλευσάμενοι, τρόπον ὅντινα ἀνθέξουσιν. ὁ δὲ ἕτερος τῶν λόγων τοὺς Μενελάου χάριτι στρατεύσαντας ἐπὶ Ἴλιον βουλεύσασθαί φησιν ἐνταῦθα, ὅπως ἀναπλεύσασθαι ἐς Τροίαν καὶ δίκας δυνήσονται παρὰ Ἀλεξάνδρου

dedicasse Ulysses dicitur *deae* signum, et Celeuthean appellasse, victis cursu *ceteris* Penelopes procis. Ternas vero idem aedes Celeutheae diversis locis dedicavit. In ulteriore Aphetaidis parte heroum monumenta sunt: Iopis, quem fuisse conici potest circa Lelegis vel Myletis tempora: Amphiarai Oiclei filii, quod Tyndari filios ei velut patrueli fecisse existimant: ipsius etiam Lelegis. (5) Nec procul hinc Neptuni Taenarii fanum; Taenarium nuncupant. Nec paulo longius Minervae signum, quod dedicatum ferunt ab iis, qui in Italiam, et Tarentum *maxime*, in coloniam deducti sunt. Vicum vero eum, quod Hellenium appellant, ex eo alii nominatum tradunt, quod in eo loco, quo tempore Xerxes in Europam traiecit, eae Graecorum civitates, quae contra illum arma ceperunt, qua maxime ratione obsisterent, consultarunt. Alii vero *duces* eos, qui Menelaum ad Troiam secuti sunt, ibi memorant de tota transmissionis ratione, deque

λαβεῖν τῆς Ἑλένης αρπαγῆς. (6) Τοῦ δὲ Ἑλληνίου πλησίον Ταλθυβίου μνῆμα ἀποφαίνουσι· δεικνύουσι δὲ καὶ Ἀχαιῶν Αἰγιεῖς ἐπὶ τῆς ἀγορᾶς, Ταλθυβίου καὶ οὗτοι φάμενοι μνῆμα εἶναι. Ταλθυβίου δὲ τούτου μήνιμα ἐπὶ τῷ φόνῳ τῶν κηρύκων, οἳ παρὰ βασιλέως Δαρείου γῆν τε καὶ ὕδωρ αἰτήσοντες ἐς τὴν Ἑλλάδα ἐπέμφθησαν, Λακεδαιμονίοις μὲν ἐπεσήμαινεν ἐς τὸ δημόσιον, ἐν Ἀθήναις δὲ ἰδίᾳ τε καὶ ἐς ἑνὸς οἶκον ἀνδρὸς κατέσκηψε Μιλτιάδου τοῦ Κίμωνος. ἐγεγόνει δὲ καὶ τῶν κηρύκων τοῖς ἐλθοῦσιν ἐς τὴν Ἀττικὴν ὁ Μιλτιάδης ἀποθανεῖν αἴτιος ὑπὸ Ἀθη- 237
ναίων. (7) Λακεδαιμονίοις δὲ ἔστι μὲν Ἀπόλλωνος Ἀκρείτα βωμὸς, ἔστι δ' ἐπονομαζόμενον Γάσηπτον, ἱερὸν Γῆς· Ἀπόλλων δὲ ὑπὲρ αὐτὸ ἵδρυται Μαλεάτης. ἐπὶ δὲ τῷ πέρατι Ἀφεταΐδος, ἐγγύτατα ἤδη τοῦ τείχους, Δικτύννης ἐστὶν ἱερὸν, καὶ βασίλειοι τάφοι τῶν καλουμένων Εὐρυπωντιδῶν. παρὰ δὲ τὸ Ἑλλήνιον Ἀρσινόης ἱερὸν, Λευκίππου τε θυγατρὸς, καὶ γυναικῶν τῶν Πολυδεύκους καὶ Κάστορος ἀδελφῆς. πρὸς δὲ τοῖς Φρουρίοις καλουμένοις

Helenae raptu vindicando consilia inisse. (6) Prope Hellenium Talthybii monumentum ostenditur. Monstrant et Aegienses in Achivis monumentum in foro, quod esse Talthybii affirmant. Et Talthybius quidem iram ob violatos Darii caduceatores, qui terram et aquam petitum venerant, in Lacedaemonios publico, in Athenienses privato malo exercuit, quum male scilicet Miltiadae Cimonis filii domum multasset, quod is auctor Atheniensibus fuisset, ut caduceatores, qui in Atticam venerant, interficerentur. (7) Est etiam Lacedaemoniis Acritae Apollinis ara: est item Telluris aedes, Gaseptum nomine. Supraque eam dicatus est Apollo Maleatas. In extrema Aphetaide, iam prope muros est Dictynnae aedes, et regia sepulcra eorum, qui sunt Eurypontidae nuncupati. Proximum Hellenio est Arsinoës templum, Leucippi filiae, Pollucis et Castoris uxorum sororis. Qua vero in parte sunt, quae Propugnacula appellantur, Dianae delubrum, pauloque

ναός ἐστιν Ἀρτέμιδος· καὶ προελθοῦσιν ὀλίγον πεποίηται μνῆμα τοῖς ἐξ Ἤλιδος μάντεσι, καλουμένοις δὲ Ἰαμίδαις. καὶ Μάρωνός ἐστιν ἱερὸν καὶ Ἀλφειοῦ· Λακεδαιμονίων δὲ τῶν ἐς Θερμοπύλας στρατευσαμένων λόγου μάλιστα ἀξίως μαχέσασθαι μετὰ δὴ αὐτὸν δοκοῦσι Λεωνίδην. τοῦ δὲ Τροπαίου Διὸς τὸ ἱερὸν ἐποίησαν οἱ Δωριεῖς, πολέμῳ τούς τε ἄλλους Ἀχαιοὺς, οἳ γῆν τὴν Λακωνικὴν τηνικαῦτα εἶχον, καὶ τοὺς Ἀμυκλαιεῖς κρατήσαντες. τὸ δὲ ἱερὸν τῆς μεγάλης μητρὸς τιμᾶται περισσῶς δή τι. μετὰ δὲ αὐτὸ ἡρῷα Ἱππολύτου τέ ἐστι τοῦ Θησέως, καὶ Αὐλῶνος Ἀρκάδος, υἱοῦ δὲ Τλησιμένους. Τλησιμένη δὲ Παρθενοπαίου τοῦ Μελανίωνος ἀδελφὸν, οἱ δὲ παῖδα εἶναι λέγουσιν. (8) Ἑτέρα δὲ ἐκ τῆς ἀγορᾶς ἐστιν ἔξοδος, καθ' ἣν πεποίηταί σφισιν ἡ καλουμένη Σκιὰς, ἔνθα καὶ νῦν ἔτι ἐκκλησιάζουσι. ταύτην τὴν Σκιάδα Θεοδώρου τοῦ Σαμίου φασὶν εἶναι ποίημα, ὃς πρῶτος διαχέαι σίδηρον εὗρε καὶ ἀγάλματα ἀπ' αὐτοῦ πλάσαι. ἐνταῦθα ἐκρέμασαν οἱ Λακεδαιμόνιοι τὴν Τιμοθέου τοῦ Μιλησίου κιθά-

longius progressus monumentum videas, quod iis erectum est vatibus, qui ex Elide venerunt, et Iamidae sunt appellati. Maronis praeterea et Alphei templum: quorum virtus in praelio ad Thermopylas post Leoniden maxime enituit. Tropaei vero Iovis aedem fecerunt Dorienses, bello superatis quum aliis Achaeis, qui tunc Laconicum solum tenebant, tum ipsis etiam Amyclaeensibus. Magnae quidem matris fanum praecipua colitur religione. Post ipsum Hippolyti Thesei, et Aulonis Arcadis, Tlesimenis filii, heroica sunt monumenta. At Tlesimenem Parthenopaei (Melanionis filii) fratrem nonnulli, filium alii fuisse dixerunt. (8) Alter est e foro exitus; circa quem locum aedificata est, quae Scias vocatur, *quod est, ac si Umbraculum dixeris:* in quo hac ipsa etiam aetate conciones habent. Hanc Sciadem opus esse memorant Theodori Samii, qui et ferrum fundere primus docuit, et ex eo signa fingere. Eodem in loco Timothei Milesii citharam sus-

ραν, καταγνόντες, ὅτι χορδαῖς ἑπτὰ ταῖς ἀρχαίαις ἐφεῦρεν ἐν τῇ κιθαρῳδίᾳ τέσσαρας χορδάς. (9) Πρὸς δὲ τῇ Σκιάδι οἰκοδόμημά ἐστι περιφερὲς, ἐν δὲ αὐτῷ Διὸς καὶ Ἀφροδίτης ἀγάλματα ἐπίκλησιν Ὀλυμπίων· τοῦτο Ἐπιμενίδην κατασκευάσαι λέγουσιν, οὐχ ὁμολογοῦντες τὰ ἐς αὐτὸν Ἀργείοις, ὅπου μηδὲ πολεμῆσαί φασι πρὸς Κνωσίους.

CAPUT XIII.

De memorandis prope Sciadem — templo Proserpinae Sospitae et Carneo domestico dicto — Apolline Carneo — signo Aphetaei et aris deorum Ambuliorum — templis Jovis Coloniatae et Euanemi ac Pleuronis heroo — templis Junonis Argivae et Hyperchiriae ac signo Junonis Veneris — Hetoemocle et Hipposthene.

Πλησίον δὲ ἔστι μὲν Κυνόρτου τοῦ Ἀμύκλα τάφος, ἔστι 238 δὲ καὶ Κάστορος μνῆμα, ἐπὶ δὲ αὐτῷ καὶ ἱερὸν πεποίηται. τεσσαρακοστῷ γὰρ ὕστερον ἔτει τῆς μάχης τῆς πρὸς Ἴδαν καὶ Λυγκέα θεοὺς τοὺς Τυνδάρεω παῖδας καὶ οὐ πρότερον νομισθῆναί φασι. δείκνυται δὲ πρὸς τῇ Σκιάδι καὶ Ἴδα καὶ Λυγκέως τάφος. κατὰ μὲν δὴ τοῦ λόγου τὸ εἰκὸς ἐτά-

pendere Lacedaemonii, quum ei multam eo crimine irrogassent, quod septem veterum nervis quatuor ipse in citharae cantu addidisset. (9) Adiuncta Sciadi aedes est rotunda, in qua Iovis et Veneris signa, utrumque Olympii cognomento. Eam aedem erexisse ferunt Epimenidem, de quo quae ab Argivis memorantur, neutiquam ipsi comprobant, nempe qui neque cum Gnosiis bellum unquam se gessisse dicant.

Cap. XIII. Prope est Cynortae Amyclae filii sepulcrum. Castoris etiam monumentum, et cum eo proxima aedes. Quadragesimo enim post pugnam adversus Idan et Lynceum anno Castores, nihilo omnino maturius, in deos relatos asserunt. Monstratur ad Sciadem Idae etiam et Lyncei sepul-

φησαν ἐν τῇ Μεσσηνίᾳ, καὶ οὐ ταύτῃ. Μεσσηνίων δὲ αἱ συμφοραὶ καὶ ὁ χρόνος, ὅσον ἔφυγον ἐκ Πελοποννήσου, πολλὰ τῶν ἀρχαίων καὶ κατελθοῦσιν ἐποίησεν ἄγνωστα· ἅτε δὲ ἐκείνων οὐκ εἰδότων ἔστιν ἤδη τοῖς ἐθέλουσιν ἀμφισβητεῖν. (2) Λακεδαιμονίοις δὲ ἀπαντικρὺ τῆς Ὀλυμπίας Ἀφροδίτης ἐστὶ ναὸς Κόρης Σωτείρας· ποιῆσαι δὲ τὸν Θρᾷκα Ὀρφέα λέγουσιν, οἱ δὲ Ἄβαριν ἀφικόμενον ἐξ Ὑπερβορέων. Ὁ δὲ Κάρνειος, ὃν Οἰκέταν ἐπονομάζουσι, τιμὰς εἶχεν ἐν Σπάρτῃ καὶ πρὶν Ἡρακλείδας κατελθεῖν, ἵδρυτο δὲ ἐν οἰκίᾳ Κρίου τοῦ Θεοκλέους ἀνδρος μάντεως. τούτου δὲ τοῦ Κρίου γεμιζούσῃ τῇ θυγατρὶ ὕδωρ συντυχόντες κατάσκοποι τῶν Δωριέων, αὐτῇ τε ἀφίκοντο ἐς λόγους, καὶ παρὰ τὸν Κρῖον ἐλθόντες διδάσκονται τὴν ἅλωσιν τῆς Σπάρτης. (3) Κάρνειον δὲ Ἀπόλλωνα Δωριεῦσι μὲν τοῖς πᾶσι σέβεσθαι καθέστηκεν ἀπὸ Κάρνου γένος ἐξ Ἀκαρνανίας, μαντευομένου δὲ ἐξ Ἀπόλλωνος. τοῦτον γὰρ τὸν Κάρνον ἀποκτείναντος

crum. Verisimilius tamen traditur, illos in Messenia, non autem hoc in loco sepultos. Verum magnitudo calamitatum et diuturnitas temporis, quo extra Peloponnesum Messenii exularunt, effecit, ut multa antiquitatis monumenta reversis essent prorsus ignota: quumque illi haec ignorent, controversari de hisce licet quibuslibet. (2) Iam vero contra Olympiae Veneris aedes est Sospitae Proserpinae, quam Thracem Orpheum condidisse ferunt: alii Abarin eum, qui venit ex Hyperboreis. At Carneus, quem appellant cognomento Domesticum, coli est coeptus apud Spartanos, antequam Herculis liberi *ab exilio* redirent. *Delubrum* vero *ei* erectum in Crii (Theoclis filii) vatis domo. Quum enim huius Crii filiam offendissent Doriensium speculatores, ut forte aquam haustum ibat, cum ea in colloquium venerunt: *moxque* quum ad Crium venissent, ab eo capiendae Spartae rationem didicerunt. (3) Habuit quidem Carnei Apollinis religio, quae apud Dorienses universes obtinuit, a Carno originem: qui, patria fuit Acarnan, ab Apolline vero divinandi artem acce-

Ἱππότου τοῦ Φύλαντος, ἐνέπεσεν εἰς τὸ στρατόπεδον τοῖς Δωριεῦσι μήνιμα Ἀπόλλωνος, καὶ Ἱππότης τε ἔφυγεν ἐπὶ τῷ φόνῳ, καὶ Δωριεῦσιν ἀπὸ τούτου τὸν Ἀκαρνᾶνα μάντιν καθέστηκεν ἱλάσκεσθαι. ἀλλὰ καὶ Λακεδαιμονίοις 239
οὐχ οὗτος ὁ Οἰκέτας ἐστὶ Κάρνειος, ὁ δὲ ἐν τοῦ μάντεως Κρίου τιμώμενος, Ἀχαιῶν ἔτι ἐχόντων τὴν Σπάρτην. Πραξίλλῃ μὲν δὴ πεποιημένα ἐστὶν, ὡς Εὐρώπης εἴη Κάρνειος, καὶ αὐτὸν ἀνεθρέψατο Ἀπόλλων καὶ Λητώ. λέγεται δὲ καὶ ἄλλος ἐπ' αὐτῷ λόγος· ἐν τῇ Ἴδῃ τῇ Τρωϊκῇ κρανείας ἐν Ἀπόλλωνος ἄλσει πεφυκυίας τοὺς Ἕλληνας ἐκτεμεῖν ἐς τοῦ ἵππου τοῦ δουρίου τὴν ποίησιν· μαθόντες δὲ ὀργήν σφισιν ἔχειν τὸν θεὸν, θυσίαις ἱλάσκονται καὶ Ἀπόλλωνα ὀνομάζουσι Κάρνειον ὑπὲρ τῶν κρανειῶν, μεταθέντες τὸ ῥῶ κατὰ δή τι ἀρχαῖον. (4) Τοῦ Καρνείου δὲ οὐ πόῤῥω καλούμενόν ἐστιν ἄγαλμα Ἀφεταίου· τοῖς δὲ Πηνελόπης μνηστῆρσί φασιν ἐντεῦθεν γενέσθαι τοῦ

pit. Hunc enim Carnum quum interfecisset Hippotes Phylantis filius, iratus Apollo Doriensium castra male mulctavit. Quumque Hippotes ob eam caedem exulatum profugisset, Dorienses Acarnanem vatem ex eo tempore statuerunt sacris et caeremoniis placandum. Sed enim hic praedictus Apollo Carneus Lacedaemoniis non est ille Carneus cognomento Domesticus, verum Carneus cognomento Domesticus est is, qui in Crii vatis aedibus colebatur, quum Achaei adhuc Spartam tenerent. Praxilla quidem versibus prodidit, Europae filium Carneum fuisse, educatum vero ab Apolline et Latona. Alius etiam de cognominis huius causa sermo vulgatus est: cornos a Graecis in Ida Troiae monte ex Apollinis luco ad Durateum equum fabricandum excisas: quumque dei numen laesum scirent, ad eius iram leniendam sacra instituisse, et ab arboris nomine (*κρανείαν Graeci vocant*) litera R transposita, prisca quadam consuetudine, Carneum Apollinem nuncupasse. (4) Non longe a Carnéo est signum, quod Aphetaei dicitur: a quo loco in cursum missos e carceribus tradunt Penelopes procos. Prope vicus est, in quo aliquot

δρόμου τὴν ἀρχήν. ἔστι δέ τι χωρίον ἔχον στοὰς ἐν τετραγώνῳ τῷ σχήματι, ἔνθα σφίσιν ἐπιπράσκετο ὁ ῥῶπος τὸ ἀρχαῖον· πρὸς τούτῳ Διὸς Ἀμβουλίου καὶ Ἀθηνᾶς ἐστιν Ἀμβουλίας βωμὸς, καὶ Διοσκούρων καὶ τούτων Ἀμβουλίων. (5) Ἀπαντικρὺ δὲ ἥ τε ὀνομαζομένη Κολώνα καὶ Διονύσου Κολωνάτα ναός. πρὸς αὐτῷ δὲ τέμενός ἐστιν ἥρωος, ὃν τῆς ὁδοῦ τῆς ἐς Σπάρτην Διονύσῳ φασὶ γενέσθαι ἡγεμόνα. τῷ δὲ ἥρωϊ τούτῳ πρὶν ἢ τῷ θεῷ θύουσιν αἱ Διονυσιάδες καὶ αἱ Λευκιππίδες. τὰς δὲ ἄλλας ἕνδεκα, ἃς καὶ αὐτὰς Διονυσιάδας ὀνομάζουσι, ταύταις δρόμου προτιθέασιν ἀγῶνα· δρᾶν δὲ οὕτω σφίσιν ἦλθεν ἐκ Δελφῶν. τοῦ Διονύσου δὲ οὐ μακρὰν Διὸς ἱερόν ἐστιν Εὐανέμου, τούτου δὲ ἐν δεξιᾷ Πλευρῶνος ἡρῷον. γεγόνασι δὲ οἱ Τυνδάρεω παῖδες τὰ πρὸς μητρὸς ἀπὸ τοῦ Πλευρῶνος. Θέστιον γὰρ τὸν Λήδας πατέρα Ἄρειός φησιν ἐν τοῖς ἔπεσιν Ἀγήνορος παῖδα εἶναι τοῦ Πλευρῶνος. (6) Τοῦ δὲ ἡρῴου λόφος ἐστὶν οὐ πόῤῥω, καὶ Ἥρας ἐπὶ τῷ λόφῳ ναὸς Ἀργείας· ἱδρύσασθαι δὲ Εὐρυδίκην φασὶ

sunt porticus forma quadrata, ubi priscis temporibus scruta venibant. Proxima ara est Iovis Ambulii, Minervae Ambuliae, Castorum item Ambuliorum. (5) E regione est *locus,* quae Colona (i. e. *Iugum*) dicitur, et Bacchi Colonatae (*ac si Iugalis dicas*) aedes. Iuxta eam lucus est illi heroi sacer, quem viae ducem Libero Patri Spartam contendenti fuisse perhibent. Heroi huic prius, quam deo ipsi, sacra faciunt eae, quae Dionysiades, quaeque Leucippides nuncupantur. Foeminis vero aliis undecim, quae et ipsae nominantur Dionysiades, cursus certamen proponunt: quod ex Delphico quodam responso facere iussi sunt. Non longe a Liberi est Iovis delubrum Euanemi. Ad eius dexteram est Pleuronis heroicum monumentum. Fuit Tyndarei filiis maternum genus a Pleurone. Thestium etenim Ledae patrem Areus carminibus prodidit Agenore Pleuronis filio genitum. (6) Ab eo monumento non longe abest tumulus, in quo est Iunonis Argivae aedes. Dedicatam aiunt ab Eurydice Lacedaemonis

Λακεδαίμονος θυγατέρα, γυναῖκα δὲ Ἀκρισίου τοῦ Ἄβαντος. Ἥρας δὲ ἱερὸν Ὑπερχειρίας κατὰ μαντείαν ἐποιήθη,
τοῦ Εὐρώτα πολὺ τῆς γῆς σφισιν ἐπικλύζοντος. ξόανον 240
δὲ ἀρχαῖον καλοῦσιν Ἀφροδίτης Ἥρας· ἐπὶ δὲ θυγατρὶ γαμουμένῃ νενομίκασι τὰς μητέρας τῇ θεῷ θύειν. (7) Τοῦ λόφου δὲ κατὰ τὴν ἐς δεξιὰν ὁδὸν Ἑτοιμοκλέους ἐστὶν εἰκών. τῷ δὲ Ἑτοιμοκλεῖ καὶ αὐτῷ Ἱπποσθένει τῷ πατρὶ πάλης εἰσὶν Ὀλυμπικαὶ νῖκαι· καὶ συναμφοτέροις μὲν μία τε καὶ δέκα, τῷ δὲ Ἱπποσθένει μιᾷ νίκῃ τὸν υἱὸν παρελθεῖν ὑπῆρξεν.

CAPUT XIV.

De memorandis in via a foro solis occasum versus, theatro ac Pausaniae et Leonidae sepulcris — regione Theomelida dicta et memorandis ad eam — Anchione — templo Thetidis — Cerere Chthonia — loco Dromo dicto et memorandis ad eum — templo Aesculapii Agnitae, et Dioscurorum Apheteriorum signis — de loco Platanista dicto et certaminibus epheborum ibi institutis — Phoebaeo et sacris, quae ibi sunt.

Ἐκ δὲ τῆς ἀγορᾶς πρὸς ἥλιον ἰόντι δυόμενον, τάφος κενὸς Βρασίδᾳ τῷ Τέλλιδος πεποίηται. ἀπέχει δὲ οὐ πολὺ

filia, Acrisii (Abantis filii) uxore. Hyperchiriae vero Iunonis delubrum ex oraculo aedificatum, quum agrum Eurotas late diluisset. Operis antiqui signum ligneum Veneris Iunonis appellant. *Ad eam* pro filiarum nuptiis sacra facere matronas solenne est. (7) In vita tumuli, quae dextrorsum fert, Hetoemoclis est effigies. Huic et eius patri Hippostheni evenit, ut victores de lucta in Olympicis ludis declararentur, ad palmam undecimam uterque: una tamen fuit pater filio superior.

Cap. XIV. E foro in eam partem, quae ad solis occasum est, contendentibus ostendit se Brasidae Tellidis filii ho-

τοῦ τάφου τὸ θέατρον λίθου λευκοῦ θέας ἄξιον. τοῦ θεάτρου δὲ ἀπαντικρὺ Παυσανίου τοῦ Πλαταίασιν ἡγησαμένου μνῆμά ἐστι, τὸ δὲ ἕτερον Λεωνίδου· (καὶ λόγους κατὰ ἔτος ἕκαστον ἐπ' αὐτοῖς λέγουσι, καὶ τιθέασιν ἀγῶνα, ἐν ᾧ πλὴν Σπαρτιατῶν ἄλλῳ γε οὐκ ἔστιν ἀγωνίζεσθαι.) τὰ δὲ ὀστᾶ τοῦ Λεωνίδου τεσσαράκοντα ἔτεσιν ὕστερον ἀνελομένου ἐκ Θερμοπυλῶν τοῦ Παυσανίου. κεῖται δὲ καὶ στήλη πατρόθεν τὰ ὀνόματα ἔχουσα, οἳ πρὸς Μήδους τὸν ἐν Θερμοπύλαις ἀγῶνα ὑπέμειναν. (2) Καλεῖται δὲ ἐν τῇ Σπάρτῃ Θεομηλίδα χωρίον. κατὰ τοῦτο τῆς πόλεως τάφοι τῶν Ἀγιαδῶν βασιλέων εἰσὶ, καὶ πλησίον ὀνομαζομένη λέσχη Κροτανῶν. εἰσὶ δὲ οἱ Κροτανοὶ Πιτανατῶν μοῖρα. Ἀσκληπιοῦ δὲ οὐ πόῤῥω τῆς λέσχης ἐστὶν ἱερὸν, ἐν Ἀγιαδῶν καλούμενον. προελθοῦσι δὲ, Ταινάρου μνῆμά ἐστι, καὶ τὴν ἄκραν τὴν ἐς θάλασσαν ἀνέχουσαν ἀπὸ τούτου φασὶν ὀνομασθῆναι. θεῶν δὲ ἱερὰ Ποσειδῶνός ἐστιν Ἱπποκουρίου, καὶ Ἀρτέμιδος Αἰγιναίας.

norarius tumulus. Prope abest theatrum e candido lapide erectum, insigni valde et spectando opere. Ex adverso theatri est Pausaniae, qui Plataeensi praelio imperator fuit, sepulcrum; et ei proximum Leonidae. Ad ea quotannis *in ipsorum laudem* orationes habentur; et ludi fiunt, in quibus est solis certandi locus Lacedaemoniis. Et Leonidae quidem ossa XL post eius caedem annis a Pausania e Thermopylis deportata, *et in hoc loco condita sunt.* Erecta etiam pila est, in qua nomina incisa sunt, et paterna item nomina eorum, qui ad Thermopylas Persarum impetum sustinuerunt. (2) Est Spartae vicus, qui Theomelidae dicitur. In eo sepulcra regum sunt, qui Agidae appellantur: et proxime, quae Lesche (*id est conciliabulum, sive comitium*) Crotanorum dicitur. Sunt autem Crotani Pitanatarum curia. In ea vicinia est Aesculapii templum, quod Enapadon dicitur. Paulo hinc longius Taenari visitur monumentum; a quo promontorium in mare prominens appellatum fama vulgavit. Deorum ibidem aedes, Neptuni Hippocurii, et Dianae Aeginaeae.

ἐπανελθοῦσι δὲ ὀπίσω πρὸς τὴν λέσχην ἐστὶν Ἀρτέμιδος Ἰσσωρίας ἱερόν· ἐπονομάζουσι δὲ αὐτὴν καὶ Λιμναίαν, οὖσαν οὐκ Ἄρτεμιν, Βριτόμαρτιν δὲ τὴν Κρητῶν. τὰ δὲ 241
ἐς αὐτὴν ὁ Αἰγιναῖος ἔχει μοι λόγος. (3) Ἐγγυτάτω δὲ τῶν μνημάτων, ἃ τοῖς Ἀγιάδαις πεποίηται, στήλην ὄψει, γεγραμμέναι δέ εἰσιν, ἃς Ἀγχιόνις ἀνὴρ Λακεδαιμόνιος δρόμου νίκας ἀνείλετο, ἄλλας τε καὶ Ὀλυμπίασιν. ἐνταῦθα δὲ ἑπτὰ ἐγένοντο νῖκαι, τέσσαρες μὲν σταδίου, διαύλου δὲ αἱ λοιπαί· τὸν δὲ σὺν τῇ ἀσπίδι δρόμον ἐπὶ ἀγῶνι λήγοντι οὐ συνέβαινεν εἶναί πω. Ἀγχιόνιν δὲ καὶ τοῦ στόλου μετασχεῖν τῷ Θηραίῳ Βάττῳ, καὶ Κυρήνην οἰκίσαι σὺν ἐκείνῳ, καὶ Λιβύων καταστρέψασθαι τοὺς προσχώρους λέγουσιν. (4) Τὸ δὲ ἱερὸν τῆς Θέτιδος κατασκευασθῆναί φασιν ἐπ' αἰτίᾳ τοιαύτῃ· πολεμεῖν μὲν πρὸς Μεσσηνίους ἀφεστηκότας, τὸν δὲ βασιλέα σφῶν Ἀνάξανδρον ἐσβαλόντα ἐς τὴν Μεσσηνίαν λαβεῖν αἰχμαλώτους γυναῖκας, ἐν δὲ αὐταῖς εἶναι Κλεώ, Θέτιδος δὲ αὐτὴν ἱέρειαν εἶναι. ταύτην ἡ τοῦ Ἀναξάνδρου γυνὴ

Verum si ad Leschen pedem referas, ad Isorae Dianae venias. Eandem vero et Limnaean vocant. Non est illa quidem Diana, sed Britomartis Cretensium; cuius est a me facta mentio, qua in parte res Aeginetarum exposui. (3) Proxime ea monumenta, quae Agidis posita sunt, pilam aspicias, in qua inscriptae sunt, quas de *iterato* curriculo tulit palmas Anchionis vir Lacedaemonius, tum aliae, tum vero Olympicae, quae septem numerantur, de stadio scilicet quatuor, reliquae de iterato curriculo. At cum scuto currere, peractis iam prope ludis, nondum invaluerat. Hunc Anchionin cum Batto Theraeo in Africam classe profectum coloniam Cyrenen deduxisse, eique in eiiciendis finitimis socium fuisse tradunt. (4) Thetidis vero templum hanc memorant erigendi causam fuisse. Quum armis ulciscerentur Messeniorum defectionem, regem suum Anaxandrum in hostilem agrum invasisse, multas inde foeminas, et inter eas Cleo, quae Thetidis fuit sacerdos, in servitutem abduxisse: eam Anaxan-

τὴν Κλεὼ παρὰ τοῦ Ἀναξάνδρου αἰτεῖ, καὶ τό τε ξόανον τῆς Θέτιδος ἀνεῦρεν ἔχουσαν, καὶ ναὸν μετ' αὐτῆς ἱδρύσατο τῇ θεῷ· ἐποίει δὲ ταῦτα ἡ Λαιανδρὶς κατὰ ὄψιν ὀνείρατος. τὸ μὲν δὴ ξόανον τῆς Θέτιδος ἐν ἀποῤῥήτῳ φυλάσσουσιν. (5) Δήμητρα δὲ Χθονίαν Λακεδαιμόνιοι μὲν σέβειν φασὶ, παραδόντος σφίσιν Ὀρφέως· δόξῃ δὲ ἐμῇ διὰ τὸ ἱερὸν τὸ ἐν Ἑρμιόνῃ κατέστη καὶ τούτοις Χθονίαν νομίζειν Δήμητρα. ἔστι δὲ καὶ Σαράπιδος νεώτατον τοῦτο Σπαρτιάταις ἱερὸν, καὶ Διὸς ἐπίκλησιν Ὀλυμπίου. (6) Καλοῦσι δὲ Λακεδαιμόνιοι Δρόμον, ἔνθα τοῖς νέοις καὶ ἐφ' ἡμῶν ἔτι δρόμου μελέτη καθέστηκεν. ἐς τοῦτον τὸν Δρόμον ἰόντι ἀπὸ τοῦ τάφου τῶν Ἀγιδῶν ἐστιν ἐν ἀριστερᾷ μνῆμα Εὐμήδους· Ἱπποκόωντος δὲ καὶ οὗτος ἦν ὁ Εὐμήδης. ἔστι δὲ ἄγαλμα ἀρχαῖον Ἡρακλέους, ᾧ θύουσιν οἱ Σφαιρεῖς· οἱ δέ εἰσιν οἱ ἐκ τῶν ἐφήβων ἐς ἄνδρας ἀρχόμενοι συντελεῖν. πεποίηται δὲ καὶ γυμνάσια ἐν τῷ Δρόμῳ, τὸ ἕτερον Εὐρυκλέους ἀνάθημα ἀνδρὸς

dri uxorem Laeandridem a viro poposcisse: quumque signum illam *antiqui operis* habere deae comperisset, templum illi dedicasse quodam monitam somnio. Signum quidem ipsum e ligno factum in operto diligenter et religiose servant. (5) At Cererem Terrestrem (*Chthoniam Graeci vocant*) colere se accepta ab Orpheo religione affirmant. Ego huius deae cultum ab Hermionensibus sumtum arbitror, apud quos Terrestris Cereris nobile visitur fanum. Est apud eosdem Lacedaemonios recentissimum Serapidis delubrum; et fanum Iovis cognomento Olympii. (6) Est apud eosdem Dromus dictus: qui locus mea quoque aetate adolescentibus ad cursus meditationes est attributus. Dromum ab ea parte, in qua est Agidarum sepulcrum, ingressis ad laevam Eumedis monumentum se ostendit. Fuit et hic Eumedes unus de Hippocoontis filiis. Est ibi pervetus Herculis signum, ad quod sacra Sphaerei faciunt. Sic enim appellantur apud Spartanos, qui, quum ex ephebis excesserint, inter viros iam censeri coepti fuerint. Sunt in ipso Dromo gymnasia, quo-

Σπαρτιάτου. τοῦ Δρόμου δὲ ἐκτὸς κατὰ τοῦ Ἡρακλέους 242
τὸ ἄγαλμά ἐστιν οἰκία τὰ ἐφ' ἡμῶν ἰδιώτου, Μενελάου τὸ ἀρχαῖον. προελθοῦσι δὲ ἀπὸ τοῦ Δρόμου, Διοσκούρων ἱερὸν καὶ Χαρίτων, τὸ δὲ Εἰληθυίας ἐστὶν, Ἀπόλλωνός τε Καρνείου καὶ Ἀρτέμιδος Ἡγεμόνης. (7) Τὸ δὲ τοῦ Ἀγνίτα πεποίηται μὲν ἐν δεξιᾷ τοῦ Δρόμου, Ἀσκληπιοῦ δὲ ἐστιν ἐπίκλησις ὁ Ἀγνίτας, ὅτι ἦν ἄγνου τῷ θεῷ ξόανον. ἡ δὲ ἄγνος λύγος, καὶ αὐτὴ κατὰ ταὐτά ἐστι τῇ ῥάμνῳ. τοῦ Ἀσκληπιοῦ δὲ οὐ πόῤῥω τρόπαιον ἕστηκε· Πολυδεύκην δὲ ἀναστῆσαί φασιν ἐπὶ Λυγκεῖ. [καὶ δὴ] κἀμοὶ καὶ τοῦτο ἀποφαίνει τὸν λόγον εἰκότα, οὐ ταφῆναι τοὺς Ἀφαρέως παῖδας ἐν Σπάρτῃ. πρὸς δὲ τοῦ Δρόμου τῇ ἀρχῇ Διόσκουροί τέ εἰσιν Ἀφετήριοι, καὶ ὀλίγον προελθόντι ἡρῷον Ἄλκωνος. τὸν δὲ Ἄλκωνα λέγουσιν Ἱπποκόωντος παῖδα εἶναι. παρὰ δὲ τοῦ Ἄλκωνος τὸ ἡρῷον Ποσειδῶνός ἐστιν ἱερὸν, Δωματίτην δὲ ὀνομάζουσιν. (8) Καὶ χωρίον Πλατανιστᾶς ἐστιν ἀπὸ τῶν δένδρων· αἱ

rum alterum fuit a Spartano Eurycle dedicatum. Extra Dromum prope Herculis signum domus est, nunc privati hominis, olim Menelai. Paulo longius a Dromo progressus templa videas Castorum, Gratiarum, Lucinae, Apollinis Carnei, Dianae Hegemaches, *quod est, ac si Ductricis in praeliis dixeris.* (7) Ad dexteram Dromi Agnitae templum est. Aesculapii hoc est cognomentum, quod simulacrum eius ex agno. Agnus vero vitex est e viminum genere perinde ut rhamnus. Non longe ab Aesculapii tropaeum exstat, quod a Polluce de Lynceo *victo* erectum memorant. Id ipsum facile eorum mihi opinionem probat, qui Apharei filios negant Spartae sepultos. Circa ipsa Dromi principia Castores sunt Apheterii, *quasi Dimissarios dicas.* Paululum progressis offert se Alconis heroicum monumentum. Hunc Alconem Hippocoontis dicunt filium fuisse. Proxime est Neptuni templum, quem Domatitam nominant. (8) Vicina regiuncula ab arboribus appellata Platanistas: proceris enim

δὴ ὑψηλαὶ καὶ συνεχεῖς περὶ αὐτὸ αἱ πλάτανοι πεφύκασιν. αὐτὸ δὲ τὸ χωρίον, ἔνθα τοῖς ἐφήβοις μάχεσθαι καθέστηκε, κύκλῳ μὲν εὔριπος περιέχει κατὰ ταὐτὰ δὴ καὶ εἰ νῆσον θάλασσα, ἔσοδοι δὲ ἐπὶ γεφυρῶν εἰσι. γεφυρῶν δὲ ἐφ' ἑκάτερα, τῇ μὲν ἔστιν ἄγαλμα Ἡρακλέους, τῇ δὲ εἰκὼν Λυκούργου· νόμους δὲ ἔς τε τὴν ἄλλην πολιτείαν καὶ ἐς τὴν μάχην τῶν ἐφήβων ἔθηκεν ὁ Λυκοῦργος. (9) Καὶ τάδε ἄλλα τοῖς ἐφήβοις δρώμενά ἐστι· θύουσι
243 πρὸ τῆς μάχης ἐν τῷ Φοιβαίῳ. τὸ δὲ Φοιβαῖόν ἐστι καὶ ἐκ τῆς πόλεως, Θεράπνης οὐ πολὺ ἀφεστηκός. ἐνταῦθα ἑκατέρα μοῖρα τῶν ἐφήβων σκύλακα κυνὸς τῷ Ἐνυαλίῳ θύουσι, θεῶν τῷ ἀλκιμωτάτῳ κρίνοντες ἱερεῖον κατὰ γνώμην εἶναι τὸ ἀλκιμώτατον ζῶον τῶν ἡμέρων. κυνὸς δὲ σκύλακας οὐδένας ἄλλους οἶδα Ἑλλήνων νομίζοντας θύειν ὅτι μὴ Κολοφωνίους· θύουσι γὰρ καὶ Κολοφώνιοι μέλαιναν τῇ Ἐνοδίῳ σκύλακα. νυκτεριναὶ δὲ αἵ τε Κολοφωνίων θυσίαι, καὶ τῶν ἐν Λακεδαίμονι ἐφήβων καθε-

platanis condensa est. Campus is, in quo suas committunt ephebi pugnas, Euripo circumquaque, non aliter quam mari insula, cingitur. Ad eum per pontes aditus patent. In eorum pontium parte altera est Herculis signum, in altera vero Lycurgi effigies: leges siquidem Lycurgus tulit quum ad universam rempublicam pertinentes, tum etiam ad epheborum exercitationes et pugnas. (9) Atqui et alia quaedam *ex vetere instituto* ephebi faciunt. In Ephebeo enim ante pugnam sacrificant. Est autem Ephebeum extra urbem non procul a Therapne. Eo in loco utraque epheborum classis caninum catulum *Marti* Enyalio mactant, fortissimo scilicet deorum, victimam ex eo animalium genere illi acceptam existimantes, quod mansuetis omnibus fortitudine praestat. Catulos quidem caninos haud scio an alii Graecorum ulli immolare soleant praeter Colophonios. Mactant etenim et Colophonii deae, quam Enodion (*Compitalitiam quasi dixeris*) appellant, nigrum catulum. Fiunt autem quum apud ipsos Colophonios, tum Spartae inter ephebos nocturna de more sacra. Commit-

στήκασιν. ἐπὶ δὲ τῇ θυσίᾳ κάπρους ἠθάδας οἱ ἔφηβοι συμβάλλουσι μαχουμένους· ὁποτέρων δ' ἂν ὁ κάπρος τέχνῃ νικῶν ἐστιν, ἐν τῷ Πλατανιστᾷ κρατῆσαι τούτους ὡς τὰ πλείω συμβαίνει. τοσάδε μὲν δρῶσιν ἐν τῷ Φοιβαίῳ. ἐς δὲ τὴν ἐπιοῦσαν ὀλίγον πρὸ μεσούσης ἡμέρας ἐσίασι κατὰ τὰς γεφύρας εἰς τὸ εἰρημένον χωρίον. τὴν μὲν δὴ ἔσοδον, καθ' ἣν ἐσελθεῖν δεῦρό ἐστιν ἑκατέραν τάξιν, προεδήλωσε κλῆρός σφισιν ἐν τῇ νυκτί. μάχονται δὲ καὶ ἐν χερσὶ καὶ ἐμπηδῶντες λὰξ, δάκνουσί τε καὶ τοὺς ὀφθαλμοὺς ἀντορύσσουσιν. ἀνὴρ μὲν δὴ πρὸς ἄνδρα τὸν εἰρημένον τρόπον μάχεται· ἀθρόοι δὲ ἐμπίπτουσι βιαίως, καὶ ἐς τὸ ὕδωρ ὠθοῦσιν ἀλλήλους.

tunt ii ad pugnam in illis sacris apros cicures duos. Solet vero usu evenire, ut, utrius classis aper victor discesserit, eà *de iuvenum ludis in plataneto* palmam auferat. Haec ab illis in Ephebeo peraguntur. Postero vero die *paulo* ante meridiem transeunt *pueri* per pontes in eum circum, quem *Euripo circumdatum* diximus. Nocte superiore, qua aditus parte alterum agmen ingrediatur, sorti permittitur. Ita pugnant, ut infestis manibus et calcibus insultent, morsibus etiam corpora foedent, et oculos hi plerumque illis eruant. Ac bini quidem ad hunc modum congrediuntur: sed totis etiam agminibus impressionem faciunt, atque una acies alteram in aquam detrudere omni nisu contendit.

CAPUT XV.

De Cyniscae heroo ad Platanetum — aliis herois, fonte Dorcea, Sebrio vico et Alcmanis, poëtae, monumento — templo Helenae et Herculis ejusque odii in Hippocoontis domum causis — memorandis in viis a Dromo (vid. C. 14.) ducentibus, templo Minervae Axiopoenae — Hipposthenis, luctatoris, templo, et Martis signo compedibus vincto — lesche, Poecile dicta, et memorandis ad eam — Junonis Aegophagae et Neptuni Genethlii templo — Veneris Morpho dictae templo, ejusque signo compedibus vincto.

Πρὸς δὲ τῷ Πλατανιστᾷ καὶ Κυνίσκας ἐστὶν ἡρῷόν, θυγατρὸς Ἀρχιδάμου βασιλεύοντος Σπαρτιατῶν· πρώτη δὲ ἱπποτρόφησε γυναικῶν, καὶ Ὀλυμπίασι πρώτη νίκην ἀνείλετο ἅρματι. (2) Ἔστι δὲ τῆς στοᾶς, ἣ παρὰ τὸν Πλατανιστᾶν πεποίηται, ταύτης ὄπισθεν ἡρῷα, τὸ μὲν Ἀλκίμου,
244 τὸ δὲ Ἐναραφόρου, καὶ ἀφεστηκὸς οὐ πολὺ Δορκέως, τὸ δὲ ἐπὶ τούτῳ Σεβροῦ· παῖδας δὲ Ἱπποκόωντος εἶναι λέγουσιν. ἀπὸ δὲ τοῦ Δορκέως κρήνην τὴν πλησίον τοῦ ἡρῴου Δορκείαν, τὸ δὲ χωρίον τὸ Σέβριον καλοῦσιν ἀπὸ τοῦ Σεβροῦ. τοῦ Σεβρίου δέ ἐστιν ἐν δεξιᾷ μνῆμα Ἀλκμᾶνος, ᾧ ποιήσαντι ᾄσματα οὐδὲν ἐς ἡδονὴν αὐτῶν ἐλυμήνατο τῶν Λακώνων ἡ γλῶσσα, ἥκιστα παρεχομένη τὸ

Cap. XV. Ad platanetum est etiam Cyniscae Archidami regis filiae monumentum heroicum. Ea prima foeminarum omnium equos alere instituit, et prima ludis Olympicis de quadrigis palmam meruit. (2) A tergo porticus, quae prope platanetum erecta est, monumenta *item* heroica sunt Alcimi et Enaraephori: neque magno intervallo Dorcei; supraque hoc Sebri. Filios eos fuisse aiunt Hippocoontis. A Dorceo quidem proximum monumento fontem Dorcean nuncupant: a Sebro Sebrium vicum. Ad Sebrii dexteram est Alcmanis tumulus, cui in canticis pangendis nihil gratiae detrivit Laconica lingua, cuius alioqui voces perexiguam auribus afferunt

εὔφωνον. (8) Ἑλένης δὲ ἱερὰ καὶ Ἡρακλέους, τῆς μὲν πλησίον τοῦ τάφου τοῦ Ἀλκμᾶνος, τοῦ δὲ ἐγγυτάτω τοῦ τείχους, ἐν αὐτῷ δὲ ἄγαλμα Ἡρακλέους ἐστὶν ὡπλισμένον· τὸ δὲ σχῆμα τοῦ ἀγάλματος διὰ τὴν πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας μάχην γενέσθαι λέγουσι. τὸ δὲ ἔχθος Ἡρακλεῖ φασιν ἐς οἶκον ὑπάρξαι τὸν Ἱπποκόωντος, ὅτι μετὰ τὸν Ἰφίτου θάνατον καθαρσίων εἵνεκα ἐλθόντα αὐτὸν ἐν Σπάρτῃ ἀπηξίωσαν καθῆραι. προσεγένετο δὲ ἐς τοῦ πολέμου τὴν ἀρχὴν καὶ ἄλλο τοιόνδε. Οἰώνος, ἡλικίαν μὲν μειράκιον, ἀνεψιὸς δὲ Ἡρακλεῖ (Λικυμνίου γὰρ παῖς ἦν, τοῦ ἀδελφοῦ τοῦ Ἀλκμήνης), ἀφίκετο ἐς Σπάρτην ἅμα Ἡρακλεῖ. περιϊόντι δὲ καὶ θεωμένῳ τὴν πόλιν, ὡς ἐγένετο κατὰ τοῦ Ἱπποκόωντος τὴν οἰκίαν, ἐνταῦθά οἱ κύων ἐπεφέρετο οἰκουρός· ὁ δὲ τυγχάνει τε ἀφεὶς λίθον ὁ Οἰώνος, καὶ καταβάλλει τὴν κύνα· ἐπεκθέουσιν οὖν τοῦ Ἱπποκόωντος οἱ παῖδες, καὶ ῥοπάλοις τύπτοντες κατεργάζονται τὸν Οἰώνον. τοῦτο Ἡρακλέα μάλιστα ἐξηγρίωσεν ἐς Ἱπποκόωντα καὶ τοὺς παῖδας· αὐτίκα δὲ ὡς ὀργῆς εἶχε, χωρεῖ σφισιν ἐς μάχην. τότε μὲν δὴ τιτρώ-

suavitatem. (8) Sunt ibi Helenae etiam et Herculis aedes: illa prope Alcmanis sepulcrum: haec sub ipsis urbis muris, in qua est Herculis armati signum. Esse eo habitu Herculem aiunt propter pugnam cum Hippocoonte et eius liberis. Et Herculi quidem odii causam in Hippocoontis domum exstitisse, quod, quum, ut de Iphiti caede purgaretur, Spartam venisset, indignum putarint, quem voti compotem facerent. Illud praeterea, quod ad arma rem deduxit, fuit huiusmodi. Oeonus Herculis consobrinus, Licymnii Alcmenae fratris filius, quum adolescentulus adhuc esset, cum Hercule Spartam venit: quumque visendae urbis causa obambulans ad Hippocoontis aedes forte accessisset, in eum canis domus custos invasit: at ille lapide canem percussit. Hippocoontis filii cursim egressi puerum fustibus conficiunt. Ea res Herculem vehementer commovit. Subito itaque animi impetu impulsus, Hippocoontis filios est armis adortus. Verum in

σκεται, καὶ λαθὼν ἀπεχώρησεν· ὕστερον δὲ ἐξεγένετό οἱ στρατεύσαντι ἐς Σπάρτην, τιμωρήσασθαι μὲν Ἱπποκόωντα, τιμωρήσασθαι δὲ καὶ τοὺς παῖδας τοῦ Οἰώνου φόνου. τὸ δὲ μνῆμα τῷ Οἰώνῳ πεποίηται παρὰ τὸ Ἡρακλεῖον. (4) Ἰόντι δὲ ἐκ τοῦ Δρόμου πρὸς ἀνίσχοντα ἥλιον, ἀτραπός ἐστιν ἐν δεξιᾷ καὶ Ἀθηνᾶς Ἀξιοποίνου καλουμένης
245 ἱερόν. ὡς γὰρ δὴ ἀμυνόμενος Ἡρακλῆς Ἱπποκόωντα καὶ τοὺς παῖδας μετῆλθε κατ' ἀξίαν, ὧν προϋπῆρξαν, ἱερὸν Ἀθηνᾶς ἵδρυται, Ἀξιοποίνου δὲ ἐπίκλησιν, ὅτι τὰς τιμωρίας οἱ παλαιοὶ τῶν ἀνθρώπων ὠνόμαζον ποινάς. ἔστι δὲ καὶ ἄλλο ἱερὸν Ἀθηνᾶς ἰόντι ἑτέραν ὁδὸν ἀπὸ τοῦ Δρόμου. Θήραν δὲ ἀναθεῖναι τὸν Αὐτεσίωνος τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου φασίν, ἡνίκα ἀποικίαν ἔστελλεν ἐπὶ τὴν νῆσον, ἣ νῦν ἀπὸ Θήρα τούτου τὸ ὄνομα ἔσχηκε, τὸ δὲ ἀρχαῖον ἐκαλεῖτο Καλλίστη. (5) Πλησίον δέ ἐστιν Ἱπποσθένους ναός, ᾧ γεγόνασιν αἱ πολλαὶ νῖκαι πάλης. σέβουσι δὲ ἐκ μαντεύματος τὸν Ἱπποσθένην, ἅτε Ποσει-

ea dimicatione vulnere accepto, se clam *periculo* subduxit. Mox vero copiis comparatis, patre et filio male mulctatis, probe Oeoni caedem ultus est. Et Oeoni quidem sepulcrum iuxta Herculis templum visitur. (4) E Dromo ad solis ortum progressus ad dexteram in diverticulum venias, in quo Minervae Axiopoenae (*quod est, ac si Vindicem commeritae noxae dicas*) cognomento aedes est. Dedicasse Herculem ferunt, quum Hippocoontem et eius liberos pro iis, quibus lacessitus fuerat, iniuriis ultus esset. Cognomen inde sumtum, quod hominum supplicia veteres poenas appellarunt. Est eiusdem Minervae aedes altera in via, quae e Dromo ad laevam fert. Dicatum tradunt a Thera Autesionis filio, Tisameni nepote, pronepote Thersandri, quo tempore coloniam deduxit in eam insulam, quae de ipsius nunc nomine Thera nuncupatur, priscis vero temporibus Calliste fuit. (5) Proximum Hippesthenis templum, qui multas de lucta palmas tulit. Ei oraculi monitu divinos habent honores, Neptuno

δῶνι τιμὰς νέμοντες. τοῦ ναοῦ δὲ ἀπαντικρὺ πέδας ἔστιν ἔχων Ἐνυάλιος, ἄγαλμα ἀρχαῖον. γνώμη δὲ Λακεδαιμονίων τε ἐς τοῦτό ἐστιν ἄγαλμα, καὶ Ἀθηναίων ἐς τὴν ἄπτερον καλουμένην Νίκην, τῶν μὲν οὔποτε τὸν Ἐνυάλιον φεύγοντα οἰχήσεσθαί σφισιν ἐνεχόμενον ταῖς πέδαις, Ἀθηναίων δὲ τὴν Νίκην αὐτόθι ἀεὶ μένειν οὐκ ὄντων πτερῶν. τόνδε μέν εἰσιν αἱ πόλεις αὗται τὰ ξόανα τὸν τρόπον ἱδρυμέναι καὶ ἐπὶ δόξῃ τοιαύτῃ. (6) Ἐν Σπάρτῃ δὲ λέσχη τέ ἐστι καλουμένη Ποικίλη, καὶ ἡρῷα πρὸς αὐτῇ, Κάδμου τοῦ Ἀγήνορος, τῶν τε ἀπογόνων Οἰολύκου τοῦ Θήρα, καὶ Αἰγέως τοῦ Οἰολύκου. ποιῆσαι δὲ τὰ ἡρῷα λέγουσι Μαῖσιν καὶ Λαίαν τε καὶ Εὐρώπαν, εἶναι δὲ αὐτοὺς Ὑραίου παῖδας τοῦ Αἰγέως. ἐποίησαν δὲ καὶ τῷ Ἀμφιλόχῳ τὸ ἡρῷον, ὅτι σφίσιν ὁ πρόγονος Τισαμενὸς μητρὸς ἦν Δημωνάσσης, ἀδελφῆς Ἀμφιλόχου. (7) Μό- 246
νοις δὲ Ἑλλήνων Λακεδαιμονίοις καθέστηκεν Ἥραν ἐπονομάζειν αἰγοφάγον, καὶ αἶγας τῇ θεῷ θύειν. Ἡρακλέα

eos haberi censentes. Ex adverso huius templi visitur prisci operis signum Enyalii in compedibus. Eadem vero est ratio in hoc simulacro Lacedaemoniis, quae Atheniensibus in ea Victoria, quam Involucrem appellant. Hi enim vinculis impeditum a se nunquam Martem aufugiturum: illi semper mansuram secum, quae pinnis careat, Victoriam interpretantur. Has secuta rationes urbs utraque, quo diximus habitu, signa statuit. (6) Est praeterea Spartae Comitium, quod Varium nuncupant: et proxima illi heroica monumenta, Cadmi Agenoris filii, et Oiolyci Therae filii posterorum, ipsiusque *in primis* Aegei Oiolyci filii. Fecisse vero illa memorant Maesin, Laean, et Europan: quos Hyraei filios, Aegei nepotes fuisse ferunt. Iidem et Amphilocho heroicum item fecere monumentum, quod horum atavus maior Tisamenus matre ortus est Demonassa Amphilochi sorore. (7) Soli e Graecis omnibus Lacedaemonii solenne habent, Iunonem colere, quam Aegophagam nominant, eidemque capras immo-

δὲ λέγουσιν ἱδρύσασθαι τὸ ἱερὸν καὶ αἶγας θῦσαι πρῶτον, ὅτι μαχομένῳ οἱ πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας οὐδὲν ἐκ τῆς Ἥρας ἀπήντησεν ἐμπόδιον, ὥσπερ γε ἐπὶ τῶν ἄλλων ἐδόξαζεν ἐναντιοῦσθαί οἱ τὴν θεόν. αἶγας δὲ αὐτὸν θῦσαί φασιν, ἱερείων ἀπορήσαντα ἀλλοίων. τοῦ θεάτρου δὲ οὐ πόῤῥω Ποσειδῶνός τε ἱερόν ἐστι Γενεθλίου, καὶ ἡρῷα Κλεοδαίου τοῦ Ὕλλου, καὶ Οἰβάλου. τῶν δὲ Ἀσκληπιείων τὸ ἐπιφανέστατον πεποίηταί σφισι πρὸς τοῖς Βοωνήτοις, ἐν ἀριστερᾷ δὲ ἡρῷον Τηλέκλου· τούτου δὲ καὶ ὕστερον ποιήσομαι μνήμην ἐν τῇ Μεσσηνίᾳ συγγραφῇ. (8) Προελθοῦσι δὲ οὐ πολὺ λόφος ἐστὶν οὐ μέγας, ἐπὶ δὲ αὐτῷ ναὸς ἀρχαῖος, καὶ Ἀφροδίτης ξόανον ὡπλισμένης. ναῶν δὲ, ὧν οἶδα, μόνῳ τούτῳ καὶ ὑπερῷον ἄλλο ἐπῳκοδόμηται Μορφοῦς ἱερόν. ἐπίκλησις μὲν δὴ τῆς Ἀφροδίτης ἐστὶν ἡ Μορφὼ, κάθηται δὲ καλύπτραν τε ἔχουσα καὶ πέδας περὶ τοῖς ποσί· περιθεῖναι δέ οἱ Τυνδάρεων τὰς πέδας φασὶν, ἀφομοιοῦντα τοῖς δεσμοῖς

lare. Herculem quidem produnt templum dedicasse, et deae capram mactasse primum. *Id illum fecisse*, quod contra Hippocoontis filios pugnanti nihil Iuno adversi obiecerit, quum proinde atque in aliis certaminibus contra pugnaturam putasset. Capra vero fecisse, quod alius generis victimae non suppeterent. Non procul a theatro aedes est Neptuni Natalitii, et heroica monumenta Cleodaei Hylli filii, et Oebali. De Aesculapii fanis nobilissimum est apud Lacedaemonios ad Booneta: ad cuius laevam Telecli monumentum heroicum. De hoc etiam post agam, quum ad Messeniorum res oratio pervenerit. (8) Non longe progressis collis est non utique magnus. In eo pervetus aedes, et signum armatae Veneris. Unum hoc ex omnibus, quae viderim, templis alteram habet superstructam aedem, tanquam tabulatum alterum; et in ea est Morphus cella. Veneris hoc est cognomen. Sedere ea videtur cum galericulo et compedibus. Addidisse aiunt Tyndareum compedes, quo innueret vinculorum similitudine, quam firma

τὸ ἐς τοὺς συνοικοῦντας τῶν γυναικῶν βέβαιον. τὸν γὰρ δὴ ἕτερον λόγον, ὡς τὴν θεὸν πέδαις ἐτιμωρεῖτο ὁ Τυνδάρεως, γενέσθαι ταῖς θυγατράσιν ἐξ Ἀφροδίτης ἡγούμενος τὰ ὀνείδη, τοῦτον οὐδὲ ἀρχὴν προσίεμαι· ἦ γὰρ δὴ παντάπασιν εὔηθες, κέδρου ποιησάμενον ζώδιον καὶ ὄνομα Ἀφροδίτην θέμενον ἐλπίζειν ἀμύνεσθαι τὴν θεόν.

CAPUT XVI.

De templo ac signis Hilaïrae et Phoebes, earumque sacerdotibus, quae Leucippides dicuntur — ovo, quod Leda peperit, ibi servato, atque aedificio Chitone — domo Tyndari filiorum — herois nonnullis et Herculis lucta cum Eryce — Lycurgi legislatoris templo et sepulcris quibusdam — vico Limnaeo, templo Dianae Orthiae ac signo Dianae Tauricae — Dianae cultu sanguineo et puberum Lacedaem. flagellatione.

Πλησίον δὲ Ἱλαείρας καὶ Φοίβης ἐστὶν ἱερόν· ὁ ποιήσας τὰ ἔπη τὰ Κύπρια θυγατέρας αὐτὰς Ἀπόλλωνός φησιν εἶναι. κόραι δὲ ἱερῶνται σφισιν παρθένοι, καλούμεναι κατὰ ταὐτὰ ταῖς θεαῖς καὶ αὗται Λευκιππίδες. τὸ μὲν δὴ 247
ἕτερον τῶν ἀγαλμάτων ἱερωσαμένη τις ταῖς θεαῖς Λευκιπ-

esse fide erga viros suos foeminas oporteret. Nam deam ulcisci voluisse compedibus (sunt enim, qui hoc etiam memoriae prodiderint) exprobrantem illi filiarum adulteria, ut credam, adduci non possum. Quam enim ridiculum, si putasset ab effigie, quam e cedro fecisset Veneris nomine, iniectis compedibus poenas expeti posse!

Cap. XVI. Proxime est Hilairae et Phoebes delubrum. Eas Apollinis fuisse filias, Cypriorum carminum auctor scriptum reliquit. Sacerdotes earum sunt virgines, quae eodem, quo deae, nomine Leucippides appellantur. Et alterum quidem signum quum e sacris virginibus una exornandum susce-

πίς ἐπεκόσμησε, πρόσωπον ἀντὶ τοῦ ἀρχαίου ποιησαμένη τῆς ἐφ' ἡμῶν τέχνης· τὸ δὲ ἕτερον μὴ καὶ τοῦτο ἐπικοσμεῖν αὐτὴν ἀπεῖπεν ὄνειρον. (2) Ἐνταῦθα ἀπήρτηται ᾠὸν τοῦ ὀρόφου κατειλημμένον ταινίαις· εἶναι δὲ φασιν ᾠὸν ἐκεῖνο, ὃ τεκεῖν Λήδαν ἔχει λόγος. ὑφαίνουσι δὲ κατὰ ἔτος αἱ γυναῖκες τῷ Ἀπόλλωνι χιτῶνα τῷ ἐν Ἀμύκλαις, καὶ τὸ οἴκημα, ἔνθα ὑφαίνουσι, Χιτῶνα ὀνομάζουσιν. (3) Οἰκία δὲ αὐτοῦ πεποίηται πλησίον· τὸ δὲ ἐξαρχῆς φασιν αὐτὴν οἰκῆσαι τοὺς Τυνδάρεω παῖδας, χρόνῳ δὲ ὕστερον ἐκτήσατο Φορμίων Σπαρτιάτης. παρὰ τοῦτον ἀφίκοντο οἱ Διόσκουροι, ξένοις ἀνδράσιν ἐοικότες· ἥκειν δὲ ἐκ Κυρήνης φήσαντες καταχθῆναί τε ἠξίουν παρ' αὐτῷ, καὶ οἴκημα ᾐτοῦντο, ᾧ μάλιστα ἔχαιρον, ἡνίκα μετὰ ἀνθρώπων ἦσαν. ὁ δὲ οἰκίας μὲν τῆς ἄλλης ἐκέλευεν αὐτοὺς, ἔνθα ἂν ἐθέλωσιν, οἰκῆσαι, τὸ δὲ οἴκημα οὐκ ἔφη δώσειν· θυγάτηρ γὰρ ἐτύγχανεν οἱ παρθένος ἔχουσα ἐν αὐτῷ δίαιταν. ἐς δὲ τὴν ὑστεραίαν παρθένος μὲν ἐκείνη καὶ θεραπεία πᾶσα ἡ περὶ τὴν παῖδα ἠφάνιστο, Διοσκούρων δὲ ἀγάλματα ἐν τῷ οἰκήματι εὑρέθη, καὶ

pisset, pro vetere facie reposuit aliam, eo artificio factam, quo nunc simulacra fieri solent. Idem vero factura etiam in altero per visum in quiete deterrita est. (2) E templi lacunari pendet ovum taeniis religatum: illud esse memorant, quod Leda peperit. Intexunt ei, qui Amyclis est, Apollini quotannis mulieres tunicam: quoque intexunt loco, eam officinam Tunicam appellant. (3) Prope domus est, quam initio inhabitasse tradunt Tyndari filios. Interiecto dein tempore, eam Spartanus tenuit Phormio. Ad hunc hospitum ornatu Castores venisse dicuntur; ac e Cyrene se venire simulantes rogasse, ut hospitio se acciperet: eam vero sibi cellam depoposcisse, qua maxime delectabantur, dum inter homines aetatem agerent. At illum, in quam mallent aedium partem, divertere eos iussisse, cellam illam unam excepisse, quod filia virgo in ea habitaret. Postero die et virginem, et eius famulatum omnem evanuisse. In cubiculo tantum signa

τράπεζά τε καὶ σίλφιον ἐπ' αὐτῇ. τάδε μὲν οὕτω γενέσθαι
λέγουσιν. (4) Ἰόντι δὲ ὡς ἐπὶ τὰς πύλας ἀπὸ τοῦ Χιτῶ-
νος, Χείλωνός ἐστιν ἡρῷον τοῦ σοφοῦ νομιζομένου, καὶ
Ἀθηναίῳ, ἥρωϊ, τῶν ὁμοῦ Δωριεῖ τῷ Ἀναξανδρίδου στα-
λέντων ἐς Σικελίαν· ἐστάλησαν δὲ, τὴν Ἐρυκίνην χώραν
νομίζοντες τῶν ἀπογόνων τῶν Ἡρακλέους εἶναι, καὶ οὐ
βαρβάρων τῶν ἐχόντων. Ἡρακλέα γὰρ ἔχει λόγος παλαῖ-
σαι πρὸς Ἔρυκα ἐπὶ τοῖσδε εἰρημένοις· ἢν μὲν Ἡρακλῆς
νικήσῃ, γῆν τὴν Ἔρυκος Ἡρακλέους εἶναι, κρατηθέντος 248
δὲ τῇ πάλῃ, βοῦς τὰς Γηρυόνου (ταύτας γὰρ τότε ἤλαυ-
νεν Ἡρακλῆς, διανηξαμένας δὲ ἐπὶ Σικελίαν κατὰ τὸν
Ἔλεον τὸν κῦφον ἀνευρήσων ἐπιδιέβη) τὰς οὖν βοῦς ἔδει
κρατηθέντος Ἡρακλέους τὸν Ἔρυκα ἄγοντα οἴχεσθαι. τὸ
δὲ εὐμενὲς ἐκ τῶν θεῶν οὐ κατὰ ταὐτὰ Ἡρακλεῖ καὶ ὕστε-
ρον Δωριεῖ τῷ Ἀναξανδρίδου παρεγένετο· ἀλλὰ Ἡρακλῆς
μὲν ἀποκτίννυσιν Ἔρυκα, Δωριέα δὲ καὶ τῆς στρατιᾶς
διέφθειραν τὸ πολὺ Ἐγεσταῖοι. (5) Λακεδαιμόνιοι δὲ καὶ

Castorum, et mensam, ac super ea laserpitii fruticem repererunt. Haec ita evenisse memorant. (4) A Tunica fere ad portas eunti heroum est Chilonis, sapientiae nomine clari hominis: et Atheniensis herois, unius de illis, qui cum Dorieo Anaxandridae filio in Siciliensem coloniam classe traiecerunt. Deducendae vero coloniae ea fuit causa, quod Erycinum agrum ad Herculis posteros, non ad eos, a quibus tenebatur, barbaros, pertinere putabant. Herculem enim aiunt cum Eryce luctatum, propositis certaminis conditionibus, ut, si ipse vicisset, Erycis regione potiretur, sin victus esset, Geryonae boves illi concederet: eas enim tum prae se agebat Hercules: quumque in Siciliam tranassent, ad Eleum Cyphum, transiit etiam ipse, ut eas repeteret. Verum non eadem, qua Herculem, multo post Dorieum Anaxandridae filium dii sunt benevolentia prosecuti. Erycem enim Hercules occidit, Dorieus ab Egestanis est cum exercitu prope ad internecionem deletus. (5) Lycurgo etiam legum

Λυκούργῳ τῷ θεμένῳ τοὺς νόμους, οἷα δὴ θεῷ, πεποιήκασι καὶ τούτῳ ἱερόν. τάφος δέ ἐστιν ὄπισθεν μὲν τοῦ ναοῦ τῷ Λυκούργου παιδὶ Εὐκόσμῳ, πρὸς δὲ τῷ βωμῷ Λαθρίας καὶ Ἀναξάνδρας· αἱ δὲ αὐταί τε ἦσαν δίδυμοι, καὶ ἐπὶ τούτῳ σφᾶς οἵ τ' Ἀριστοδήμου παῖδες, ἅτε ὄντες καὶ αὐτοὶ δίδυμοι, λαμβάνουσι· θυγατέρες δὲ ἦσαν Θερσάνδρου τοῦ Ἀγαμίδιδα, βασιλεύοντος μὲν Κλεεστωναίων, τετάρτου δὲ ἀπογόνου Κτησίππου τοῦ Ἡρακλέους. τοῦ ναοῦ δὲ ἀπαντικρὺ μνῆμα Θεοπόμπου τοῦ Νικάνδρου, τὸ δὲ Εὐρυβιάδου, Λακεδαιμονίων τριήρεσιν ἐπ' Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυμαχήσαντος πρὸς Μήδους. πλησίον δὲ Ἀστραβάκου καλούμενόν ἐστιν ἡρῷον. (6) Τὸ δὲ χωρίον, τὸ ἐπονομαζόμενον Λιμναῖον, Ὀρθίας ἱερόν ἐστιν Ἀρτέμιδος. τὸ δὲ ξόανον ἐκεῖνο εἶναι λέγουσιν, ὅ
249 ποτε Ὀρέστης καὶ Ἰφιγένεια ἐκ τῆς Ταυρικῆς ἐκκλέπτουσιν· ἐς δὲ τὴν σφετέραν Λακεδαιμόνιοι κομισθῆναί φασιν, Ὀρέστου καὶ ἐνταῦθα βασιλεύοντος. καί μοι εἰκότα λέγειν μᾶλλόν τι δοκοῦσιν, ἢ Ἀθηναῖοι. ποίῳ γὰρ δὴ

suarum latori tanquam deo templum Lacedaemonii erexerunt. Est in postica templi parte Eucosmi Lycurgi filii sepulcrum, iuxta aram Lathriae et Anaxandrae. Fuerunt hae sorores geminae, (quas uxores duxere Aristodemi filii, quum ipsi itidem gemini essent) Thersandri filiae, neptes Agamididae, qui regnavit in Cleestonaeis, quique ex Ctesippo Herculis atnepote genitus est. Ex adverso templi monumentum est Theopompi Nicandri filii: Eurybiadae etiam eius, qui Lacedaemoniorum triremibus praefuit, quum ad Artemisium et Salamina classe cum Persis pugnatum est. Proximum his Astrabaci (sic enim appellatur) heroicum monumentum. (6) At vicus is, quod Limnaeum dicitur, Orthiae Dianae sacer est. Deae signum aiunt id esse, quod olim e Taurica Orestes et Iphigenia sustulerunt. Deportatum illud intra fines suos Lacedaemonii affirmant, quippe qui et regem suum agnoscunt Oresten. Atque id mea sententia multo est probabilius, quam quod Athenienses vulgarunt. Qua enim de

λόγῳ κατέλιπεν ἂν ἐν Βραυρῶνι Ἰφιγένεια τὸ ἄγαλμα; ἢ πῶς, ἡνίκα Ἀθηναῖοι τὴν χώραν ἐκλιπεῖν παρεσκευάζοντο, οὐκ ἐσέθεντο καὶ τοῦτο ἐς τὰς ναῦς; καί τοι διαμεμένηκεν ἔτι καὶ νῦν τηλικοῦτο ὄνομα τῇ Ταυρικῇ θεῷ, ὥστε ἀμφισβητοῦσι μὲν Καππάδοκες καὶ οἱ τὸν Εὔξεινον οἰκοῦντες τὸ ἄγαλμα εἶναι παρὰ σφίσιν· ἀμφισβητοῦσι δὲ καὶ Λυδῶν οἷς ἐστιν Ἀρτέμιδος ἱερὸν Ἀναΐτιδος. Ἀθηναίοις δὲ ἄρα παρώφθη γενόμενον λάφυρον τῷ Μήδῳ· τὸ γὰρ ἐκ Βραυρῶνος ἐκομίσθη τε ἐς Σοῦσα, καὶ ὕστερον Σελεύκου δόντος Σύριοι Λαοδικεῖς ἐφ' ἡμῶν ἔχουσι. μαρτύρια δέ μοι καὶ τάδε, τὴν ἐν Λακεδαίμονι Ὀρθίαν τὸ ἐκ τῶν βαρβάρων εἶναι ξόανον· τοῦτο μὲν γὰρ Ἀστράβακος καὶ Ἀλώπεκος οἱ Ἴρβου τοῦ Ἀμφισθένους τοῦ Ἀμφικλέους τοῦ Ἄγιδος, τὸ ἄγαλμα εὑρόντες, αὐτίκα παρεφρόνησαν· τοῦτο δὲ οἱ Λιμνᾶται Σπαρτιατῶν καὶ Κυνοσουρεῖς καὶ ἐκ Μεσόας τε καὶ Πιτάνης θύοντες τῇ Ἀρτέμιδι ἐς διαφορὰν, ἀπὸ δὲ αὐτῆς καὶ ἐς φόνους προήχθησαν, ἀπο-

causa Braurone Dianam reliquisset Iphigenia? vel quum moenibus excedere pararent Athenienses, cur et ipsam in naves non imposuissent? An, quum adhuc adeo illustre sit Tauricae Dianae nomen, ut Cappadoces cum Euxini accolis, penes utram sit gentem eius deae signum, inter se certent, et Lydi etiam illi, apud quos Anaitidis Dianae *nobile* fanum est, rem controversam faciant, *signum tam celebre*, Athenienses commissuri fuerint, Persis ut praedae esset? Quod enim Braurone fuit, Susa prius asportatum, Seleuci deinde concessu hac aetate habent Laodicenses e Syria. Et Dianae quidem Orthiae signum, quod apud Lacedaemonios est, esse illud ipsum, quod barbaris ademptum est, satis perspicua sunt indicia. Primum quod Astrabacus et Alopecus Irbi filii, Amphisthenis nepotes, pronepotes Amphiclis, Agidis abnepotes, simulacro reperto statim mente capti sunt. Deinde, quod Limnatae in Spartanis, et Cynosurenses, quique Mesoa et Pitane venerant, dum sacrum deae facerent, ad iurgium et rixam, mox etiam ad caedes conversi sunt: quumque ad ipsam aram

θανόντων δὲ ἐπὶ τῷ βωμῷ πολλῶν, νόσος ἔφθειρε τοὺς λοιπούς. (7) Καί σφισιν ἐπὶ τούτῳ γίνεται λόγιον, αἵματι ἀνθρώπων τὸν βωμὸν αἱμάσσειν· θυομένου δὲ, ὅντινα ὁ κλῆρος ἐπελάμβανε, Λυκοῦργος μετέβαλεν ἐς τὰς ἐπὶ τοῖς ἐφήβοις μάστιγας, ἐμπίπλαταί τε οὕτως ἀνθρώπων αἵματι ὁ βωμός. ἡ δὲ ἱέρεια τὸ ξόανον ἔχουσά σφισιν ἐφέστηκε. τὸ δέ ἐστιν ἄλλως μὲν κοῦφον ὑπὸ σμικρότητος, ἢν δὲ οἱ μαστιγοῦντές ποτε ὑποφειδόμενοι παίωσι κατὰ ἐφήβου κάλλος ἢ ἀξίωμα, τότε ἤδη τῇ γυναικὶ τὸ ξόανον γίνεται βαρὺ, καὶ οὐκ ἔτι εὔφορον. ἡ δὲ ἐν αἰτίᾳ τοὺς μαστιγοῦντας ποιεῖται, καὶ πιέζεσθαι δι' αὐτούς φησιν. οὕτω τῷ ἀγάλματι ἀπὸ τῶν ἐν τῇ Ταυρικῇ θυσιῶν ἐμμεμένηκεν ἀνθρώπων αἵματι ἥδεσθαι. καλοῦσι δὲ οὐκ Ὀρθίαν μόνον, ἀλλὰ καὶ Λυγοδέσμαν τὴν αὐτὴν, ὅτι ἐν θάμνῳ λύγων εὑρέθη, περιειληθεῖσα δὲ ἡ λύγος ἐποίησε τὸ ἄγαλμα ὀρθόν.

multi occubuissent, reliquos *subita* morbi vis absumsit. (7) Inde oraculum acceptum est, aram eam humano sanguine aspergi oportere. Quare quum *ante* sorte duceretur immolandus, sacri ritum Lycurgus ad puberum plagas transtulit. Quo fit, ut hoc etiam ritu nihilo fere minus sanguine humano ara imbuatur. Sacris praeest foemina. Ea tantisper, dum caeduntur pueri, signum praefert, quod est alioqui propter brevitatem levissimum. Verum si, quibus caedendi negotium datum est, cum quopiam eorum qui caeduntur ephebornm, vel ob speciem, vel ob natalium claritatem, agant parcius, tunc eousque signum aiunt grave fieri, ut sacerdos illud sustinere nequeat. *Quod ubi animadvertit*, in caedentes scilicet causam confert, seque eorum culpa queritur onere opprimi. Adeo est ei signo e Taurica tralatitium, hominum sanguine laetari. Eandem sane deam non Orthiam modo, sed Lygodesmam etiam nominant, quod in lygorum (*viticis id genus*) fruticeto reperta sit. Sic erat autem vitice undecunque involuta, ut nihil a recto statu declinaret; *unde Orthiae nomen inditum.*

CAPUT XVII.

De templo Lucinae — arce Lacedaemoniorum — templo Minervae Poliuchi seu Chalcioeci ejusque signo in arce — templo Minervae Erganes ibidem, ac Jovis Cosmetae — Musarum et Veneris Areae templis — Jovis antiquissimo signo aeneo — Pausaniae binis signis, ejus proditione ac Cleonices caede ab eo facta.

Οὐ πόῤῥω δὲ τῆς Ὀρθίας ἐστὶν Εἰλειθυίας ἱερόν· οἰκοδομῆσαι δέ φασιν αὐτὸ καὶ Εἰλείθυιαν νομίσαι θεὸν, γενομένου σφίσιν ἐκ Δελφῶν μαντεύματος. (2) Λακεδαιμονίοις δὲ ἡ ἀκρόπολις μὲν ἐς ὕψος περιφανὲς ἐξίσχουσα οὐκ ἔστι, καθὰ δὴ Θηβαίοις τε ἡ Καδμεία, καὶ ἡ Λάρισσα Ἀργείοις· ὄντων δὲ ἐν τῇ πόλει λόφων καὶ ἄλλων, τὸ μάλιστά ἐς μετέωρον ἀνῆκον ὀνομάζουσιν ἀκρόπολιν. (3) Ἐνταῦθα Ἀθηνᾶς ἱερὸν πεποίηται, Πολιούχου καλουμένης καὶ Χαλκιοίκου τῆς αὐτῆς. τοῦ δὲ ἱεροῦ τῆς κατασκευῆς Τυνδάρεως, καθὰ λέγουσιν, ἤρξατο· ἀποθανόντος δὲ ἐκείνου, δεύτερα οἱ παῖδες ἐξεργάσασθαι τὸ οἰκοδόμημα ἤθελον. ἀφορμὴ δέ σφισιν ἔμελλε τὰ ἐξ Ἀφιδναίων ἔσεσθαι λάφυρα. προαπολιπόντων δὲ καὶ τούτων, Λακεδαιμόνιοι πολλοῖς ἔτεσιν ὕστερον τόν τε ναὸν ὁμοίως καὶ τὸ ἄγαλμα ἐποιήσαντο Ἀθηνᾶς χαλκοῦν· Γιτιάδας δὲ εἰρ-

Cap. XVII. A Dianio non longe abest Lucinae: aedificatum fanum illud, et Lucinam pro dea coli coeptam ex oraculo Delphico memorant. (2) Lacedaemonii arcem in excelso exstructam loco, uti Cadmeam Thebani, aut Argivi Larissam, non habent: sed quum in urbe multi sint colles, eorum eminentissimum arcem appellant. (3) In eo Minervae aedes est, cui Poliuchos et Chalcioecos cognomen. Eius aedificationem Tyndareus orsus est: eoque mortuo eius liberi opus ad fastigium perducere aggressi sunt, destinatis in eam exaedificationem Aphidnaeorum manubiis: verum illis fato suo oppressis, multis post annis Lacedaemonii et Minervae delubrum, et eiusdem deae signum ex aere fecerunt. Opifex fuit Gitia-

γάσατο ἀνὴρ ἐπιχώριος. ἐποίησε δὲ καὶ ᾄσματα Δώρια ὁ Γιτιάδας, ἄλλα τε καὶ ὕμνον ἐς τὴν θεόν. ἐπείργασται δὲ τῷ χαλκῷ πολλὰ μὲν τῶν ἄθλων Ἡρακλέους, πολλὰ δὲ
251 καὶ ὧν ἐθελοντὴς κατώρθωσε. Τυνδάρεω δὲ τῶν παίδων ἄλλα τε καὶ ἡ τῶν Λευκίππου θυγατέρων ἁρπαγή· καὶ Ἥφαιστος τὴν μητέρα ἐστὶν ἀπολύων τῶν δεσμῶν. ἐδήλωσα δὲ καὶ ταῦτα, ὁποῖα λέγεται, πρότερον ἔτι ἐν τῇ Ἀτθίδι συγγραφῇ. Περσεῖ δ' ἐς Λιβύην καὶ ἐπὶ Μέδουσαν ὡρμημένῳ διδοῦσαι νύμφαι δῶρά εἰσι κυνῆν καὶ τὰ ὑποδήματα, ὑφ' ὧν οἰσθήσεσθαι διὰ τοῦ ἀέρος ἔμελλεν. ἐπείργασται δὲ καὶ τὰ ἐς τὴν Ἀθηνᾶς γένεσιν, καὶ Ἀμφιτρίτη καὶ Ποσειδῶν· ἃ δὴ μέγιστα καὶ μάλιστα ἦν (ἐμοὶ δοκεῖν) θέας ἄξια. (4) Ἔστι δὲ καὶ ἕτερον αὐτόθι Ἀθηνᾶς Ἐργάνης ἱερόν. ἐς δὲ τὴν πρὸς μεσημβρίας στοὰν, Κοσμητᾶ τε ἐπίκλησιν Διὸς ναὸς καὶ Τυνδάρεω πρὸ αὐτοῦ μνῆμά ἐστιν. ἡ δὲ πρὸς δυσμὰς ἔχει τῶν στοῶν ἀετούς τε δύο τοὺς ὄρνιθας, καὶ ἴσας ἐπ' αὐτοῖς Νίκας, Λυσάνδρου μὲν ἀνάθημα, τῶν δὲ ἔργων ὑπόμνημα τῶν

das, homo indigena, qui et alia cantica fecit Doricis modis, et in ipsam deam hymnum. Expressae in aere sunt multae de Herculis aerumnis, multi etiam eiusdem herois voluntarii, et feliciter quidem suscepti labores. Castorum quum alia facta, tum vero Leucippi filiarum raptus: Vulcanus matrem e vinculis eximens: (expositum est a me, qualia haec fuisse dicantur, in eo, qui de Atticis rebus est, libro) Perseo etiam in Africam contra Medusam moventi dant Nymphae cassidem ac talaria, quibus in sublime feratur. Elaborata etiam sunt, quae ad Minervae natales pertinent. Prae cunctis vero illis operibus magnitudine et specie praestant Amphitrite et Neptunus. (4) Est ibidem post haec Minervae Erganes templum. In porticu ea, quae in meridiem excurrit, delubrum est Iovis Cosmetae cognomento, et ante ipsum Tyndarei monumentum: at quae in occasum procedit porticus, habet aquilas duas, quibus Victoriae singulae vehuntur, Lysandri

ἀμφοτέρων, τοῦ τε περὶ Ἔφεσον, ὅτε Ἀντίοχον τὸν Ἀλκιβιάδου κυβερνήτην καὶ Ἀθηναίων τριήρεις ἐνίκησε, καὶ ὕστερον ἐν Αἰγὸς ποταμοῖς καθεῖλεν Ἀθηναίων τὸ ναυτικόν. (5) Ἐν ἀριστερᾷ δὲ τῆς Χαλκιοίκου Μουσῶν ἱδρύσαντο ἱερὸν, ὅτι οἱ Λακεδαιμόνιοι τὰς ἐξόδους ἐπὶ τὰς μάχας οὐ μετὰ σαλπίγγων ἐποιοῦντο, ἀλλὰ πρός τε αὐλῶν μέλη καὶ ὑπὸ λύρας καὶ κιθάρας κρούσμασιν. ὄπισθεν δὲ τῆς Χαλκιοίκου ναός ἐστιν Ἀφροδίτης Ἀρείας· τὰ δὲ ξόανα ἀρχαῖα, εἴπερ τι ἄλλο ἐν Ἕλλησιν. (6) Τῆς Χαλκιοίκου δὲ ἐν δεξιᾷ Διὸς ἄγαλμα ἐκ χαλκοῦ πεποίηται, παλαιότατον πάντων, ὁπόσα ἐστὶ χαλκοῦ· δι' ὅλου γὰρ οὐκ ἔστιν εἰργασμένον, ἐληλασμένου δὲ ἰδίᾳ τῶν μερῶν καθ' αὐτὸ ἑκάστου, συνήρμοσταί τε πρὸς ἄλληλα, καὶ ἧλοι συνέχουσιν αὐτὰ μὴ διαλυθῆναι. καὶ Λέαρχον δὲ ἄνδρα Ῥηγῖνον τὸ ἄγαλμα ποιῆσαι λέγουσιν, ὃν Διποίνου καὶ Σκύλλιδος, οἱ δὲ αὐτοῦ Δαιδάλου φασὶν εἶναι 252
μαθητήν. πρὸς δὲ τῷ Σκηνώματι ὀνομαζομένῳ γυναικὸς

donum, cum duplicis victoriae monumentis, de victo scilicet Antiocho, Alcibiadis gubernatore, et oppressis Atheniensium triremibus apud Ephesum; tum vero eorundem Atheniensium classe ad Aegospotamos deleta. (5) Ad laevam Chalcioeci Musarum aedem dicarunt, quod Lacedaemonii in praelia exeunt non ad tubae cantus, verum ad tibiarum modos, et lyrae citharaeque pulsum. In postico Chalcioeci aedes est Veneris Areae: *idem prope est ac si Martiae dicas.* Signa sunt eius e ligno tam vetusta, quam alia quaevis in Graecia. (6) In dextera Chalcioeci parte Iovis ex aere signum factum est, omnium, quae ex eadem sunt materia, vetustissimum. Neque enim una et eadem fuit universi operis fabricatio, sed particulatim membra excusa, inter se deinde sunt apte clavis confixa, atque ita, ne dissolvi possint, coagmentata. Fecisse aiunt Learchum hominem Rheginum, quem Dipoeni et Scyllidis nonnulli, alii ipsius Daedali discipulum dicunt fuisse. Ad Scenoma, quod ita nominant, mu-

ἐστιν εἰκών· Λακεδαιμόνιοι δὲ Εὐρυλεωνίδα λέγουσιν εἶναι· νίκην δὲ ἵππων συνωρίδι ἀνείλετο Ὀλυμπικήν. (7) Παρὰ δὲ τῆς Χαλκιοίκου τὸν βωμὸν ἑστήκασι δύο εἰκόνες Παυσανίου τοῦ περὶ Πλάταιαν ἡγησαμένου. τὰ δὲ ἐς αὐτὸν ὁποῖα ἐγένετο, εἰδόσιν οὐ διηγήσομαι· τὰ γὰρ τοῖς πρότερον συγγραφέντα ἐπ' ἀκριβὲς, ἀποχρῶντα ἦν· ἐπεξελθεῖν δέ σφισιν ἀρκέσομαι ἃ ἤκουσα ἀνδρὸς Βυζαντίου, Παυσανίαν φωραθῆναί τε ἐφ' οἷς ἐβουλεύετο, καὶ μόνον τῶν ἱκετευσάντων τὴν Χαλκίοικον ἁμαρτεῖν ἀδείας, κατ' ἄλλο μὲν οὐδὲν, φόνου δὲ ἄγος ἐκνίψασθαι μὴ δυνηθέντα. (8) Ὡς γὰρ δὴ διέτριβε περὶ Ἑλλήσποντον ναυσὶ τῶν τε ἄλλων καὶ αὐτῶν Λακεδαιμονίων, παρθένου Βυζαντίας ἐπεθύμησε· καὶ αὐτίκα νυκτὸς ἀρχομένης τὴν Κλεονίκην (τοῦτο γὰρ τὸ ὄνομα ἦν τῇ κόρῃ) κομίζουσιν, οἷς ἐπετέτακτο. ἐν τούτῳ δὲ ὑπνωμένον τὸν Παυσανίαν ἐπήγειρεν ὁ ψόφος· ἰοῦσα γὰρ παρ' αὐτὸν, τὸν καιόμενον λύχνον κατέβαλεν ἄκουσα. ἅτε δὲ ὁ Παυσανίας συν-

lieris est imago. Lacedaemonii eam Euryleonida, quae equorum bigis in Olympicis vicerit, esse dicunt. (7) Ad ipsam Chalcioeci aram duae sunt imagines Pausaniae illius, qui imperator Plataeense praelium commisit. Quae vero eius fortunae eventa fuerint, quod satis nota omnibus sunt, in praesentia non commemorabo. Possunt praeterea ea cognoscere, quae velint, ex iis, quae de illis accuratissime scripserunt. Audivi autem de Byzantio homine, quum diceret, Pausaniam proditionis reum factum solum ex omnibus, qui supplices ad Chalcioeci confugissent, impunitatem non meruisse: neque vero aliam ob causam, quam quod caedis piaculum eluere non potuisset. (8) Is enim quum ad Hellespontum Spartanae et sociorum classis imperator castra haberet, virginis Byzantiae cupiditate incensus est: quum vero prima nocte, quibus negotium datum erat, Cleonicen ad eum perduxissent, (id enim erat puellae nomen) somnum iam capiens, repente strepitu est excitatus. Forte enim illa accedens accensam lucernam deiecerat invita. Ibi Pausanias, qui suorum de

ειδὼς αὐτῷ προδιδόντι τὴν Ἑλλάδα, καὶ δι' αὐτὸ ἐχόμενος ταραχῇ τε ἀεὶ καὶ δείματι, ἐξέστη καὶ τότε, καὶ τὴν παῖδα τῷ ἀκινάκῃ παίει. τοῦτο τὸ ἄγος οὐκ ἐξεγένετο ἀποφυγεῖν Παυσανίᾳ, καθάρσια παντοῖα καὶ ἱκεσίας δεξαμένῳ Διὸς Φυξίου, καὶ δὴ ἐς Φιγαλίαν ἐλθόντι τὴν 258 Ἀρκάδων παρὰ τοὺς ψυχαγωγοὺς, δίκην δὲ, ἣν εἰκὸς ἦν, Κλεονίκῃ τε ἀπέδωκε καὶ τῷ θεῷ. Λακεδαιμόνιοί τε ἐκτελοῦντες πρόσταγμα ἐκ Δελφῶν τάς τε εἰκόνας ἐποιήσαντο τὰς χαλκᾶς, καὶ δαίμονα τιμῶσιν Ἐπιδώτην, τὸ ἐπὶ Παυσανίᾳ τοῦ Ἱκεσίου μήνιμα ἀποτρέπειν τὸν Ἐπιδώτην λέγοντες τοῦτον.

CAPUT XVIII.

De signo Veneris Ambologerae et templo Veneris Ophthalmitidis — templo Ammonis — Diana Cnagia — via Amyclas versus, Tiasa fluvio et templo Gratiarum, Phaennae et Cletae — memorandis Amyclarum — throni Amyclaei descriptio.

Τῶν δὲ ἀνδριάντων τοῦ Παυσανίου πλησίον ἐστὶν Ἀμβολογήρας Ἀφροδίτης ἄγαλμα, ἱδρυμένον κατὰ μαντείαν,

Graecia prodenda sibi consiliorum conscius perpetua animi conturbatione et pavore agitari solitus erat, perterrefactus, virginem acinace transverberat. Hoc illud fuit facinus, cuius fraudem nunquam effugere, nullis expiationibus, nullis Absolutori Iovi deprecationibus susceptis, quum in Arcadiam etiam ad *lustratores eos, qui* Psychagogi (*id est, Animorum curatores*) *appellantur*, Phigaleam venisset, luere potuit. Dedit itaque ille Cleonicae et Deo meritas poenas. At Lacedaemonii Delphici Apollinis iussu et aeneas imagines posuerunt, et genium venerantur Epidoten nomine, Hicesii Iovis iram ob Pausaniae facinus accensam ab hoc Epidota dicentes averti.

Cap. XVIII. Prope Pausaniae statuas est Ambologerae Veneris (*quod est ac si dicas, Senectutem retardantis.*) simu-

ἄλλα δὲ Ὕπνου καὶ Θανάτου· καὶ σφᾶς ἀδελφοὺς εἶναι
κατὰ τὰ ἔπη τὰ ἐν Ἰλιάδι ἥγηνται. ἰόντι δὲ ὡς ἐπὶ τὸ
Ἄλπιον καλούμενον, ναός ἐστιν Ἀθηνᾶς Ὀφθαλμίτιδος·
ἀναθεῖναι δὲ Λυκοῦργον λέγουσιν ἐκκοπέντα τῶν ὀφθαλ-
μῶν τὸν ἕτερον ὑπὸ Ἀλκάνδρου, διότι, οὓς ἔθηκε νόμους,
οὐκ ἀρεστοὺς συνέβαινεν εἶναι τῷ Ἀλκάνδρῳ. διαφυγὼν
δὲ ἐς τοῦτο τὸ χωρίον, Λακεδαιμονίων ἀμυνάντων, μὴ
προσαπολέσθαί οἱ καὶ τὸν λειπόμενον ὀφθαλμὸν, οὕτω
ναὸν Ὀφθαλμίτιδος Ἀθηνᾶς ἐποίησε. (2) Προελθόντι δὲ
ἐντεῦθεν, ἱερόν ἐστιν Ἄμμωνος· φαίνονται δὲ ἀπαρχῆς
Λακεδαιμόνιοι μάλιστα Ἑλλήνων χρώμενοι τῷ ἐν Λιβύῃ
μαντείῳ. λέγεται δὲ καὶ Λυσάνδρῳ πολιορκοῦντι Ἄφυτιν
τὴν ἐν τῇ Παλλήνῃ νύκτωρ ἐπιφανέντα Ἄμμωνα προαγο-
ρεύειν, ὡς ἄμεινον ἐκείνῳ τε ἔσοιτο καὶ τῇ Λακεδαίμονι
254 πολέμου πρὸς Ἀφυταίους παυσαμένοις· καὶ οὕτω τὴν
πολιορκίαν διέλυσεν ὁ Λύσανδρος, καὶ Λακεδαιμονίους
τὸν θεὸν σέβειν προήγαγεν ἐς πλέον. Ἀφυταῖοι δὲ τιμῶ-
σιν Ἄμμωνα οὐδὲν ἧσσον, ἢ οἱ Ἀμμώνιοι Λιβύων.

lacrum ex oraculo dicatum. Sua etiam sunt Somno et Morti. Esse vero fratres, ex Homeri, qui in Iliade sunt, versibus creditur. Euntibus prope ab Alpium, (*id vici nomen*) Minervae est Ophthalmitidis aedes. Dedicatam a Lycurgo ferunt. Nam quum alterum ei oculum excussisset Alcander, cui ab illo latae leges minime placebant, in hunc vicum confugit: ubi Lacedaemoniorum concursu servatus, quo minus et alterum oculum perderet, Ophthalmitidi Minervae templum fecit. (2) Hinc progressis Ammonis templum est. Ac Libyco quidem oraculo omnium Graecorum maxime initio usos constat Lacedaemonios. Quin et Lysandrum Aphytin in Pallene *oppidum* oppugnantem, per nocturnum visum monitum ab Ammone, melius Lacedaemoniis eventurum, si Aphytaeos desissent bello vexare, et obsidionem solvisse, et Ammonis religiosius colendi auctorem fuisse tradunt. Venerantur certe Ammonem Aphytaei cultu nihilo minore, quam

(3) Τὰ δὲ ἐς τὴν Κναγίαν Ἄρτεμίν ἐστιν οὕτω λεγόμενα. Κναγέα ἄνδρα ἐπιχώριον στρατεῦσαί φασιν ἐς Ἄφιδναν ὁμοῦ τοῖς Διοσκούροις, ληφθέντα δὲ αἰχμάλωτον ἐν τῇ μάχῃ καὶ πραθέντα ἐς Κρήτην δουλεύειν, ἔνθα ἦν Ἀρτέμιδος τοῖς Κρησὶν ἱερὸν, ἀνὰ χρόνον δὲ αὐτόν τε ἀποδρᾶναι, καὶ παρθένον τὴν ἱερευομένην ἔχοντα οἴχεσθαι τὸ ἄγαλμα ἀγομένην. ἐπὶ τούτῳ δὲ λέγουσιν ὀνομάζειν Κναγίαν Ἄρτεμιν. ἐμοὶ δὲ οὗτος ὁ Κναγεὺς ἄλλως ἀφικέσθαι πως ἐς Κρήτην φαίνεται, καὶ οὐχ ὡς οἱ Λακεδαιμόνιοι φασιν, ἐπεὶ μηδὲ γενέσθαι δοκῶ πρὸς Ἀφίδνῃ μάχην, Θησέως τε ἐν Θεσπρωτοῖς ἐχομένου, καὶ Ἀθηναίων οὐχ ὁμονοούντων, ἀλλὰ ἐς Μενεσθέα ῥεπόντων μᾶλλον ταῖς εὐνοίαις. οὐ μὴν οὐδὲ ἀγῶνος συμβάντος πείθοιτο ἄν τις αἰχμαλώτους ληφθῆναι παρὰ τῶν κρατησάντων, ἄλλως τε καὶ παρὰ πολὺ γενομένης τῆς νίκης, ὥστε ἁλῶναι καὶ αὐτὴν Ἄφιδναν. τάδε μὲν ἐς τοσοῦτον ἐξητάσθω. (4) Ἐς Ἀμύκλας δὲ κατιοῦσιν ἐκ Σπάρτης, ποταμός ἐστιν

Ammonii ipsi in Libya. (3) De Cnagia vero Diana haec sunt memoriae prodita: Cnagea hominem indigenam ad oppugnandum Aphidnam cum Castore et Polluce venisse: in pugna vero captum, et venum sub corona in Cretam missum, servitutem ibi servisse, ubi fuit Cretensibus Dianae fanum: verum exacto temporis curriculo effugisse illum, et una ipsam Dianae sacerdotem, deae signo ablato: inde extitisse deae Cnagiae cognomen. Sed enim Cnageum hunc in Cretam alio ego casu, quam quo dicunt Lacedaemonii, venisse crediderim; quippe qui neque pugnam commissam ad Aphidnam puto, quum eo tempore Theseus in Thesprotis detineretur, neque in eius officio essent Athenienses, siquidem erant illi in Mnesthei partes multo propensiores. Atqui neque facto praelio veri satis fuerit simile, quenquam de iis, qui vicerant, captum: praesertim vero quum tam longo intervallo superiores discesserint Lacedaemonii, ut ipsam etiam Aphidnam ceperint. Verum hactenus de his satis quidem multa. (4) A Sparta Amyclas venientes excipit Tiasa amnis. Nomen ei a

Τίασα· θυγατέρα δὲ νομίζουσιν εἶναι τοῦ Εὐρώτα τὴν
Τίασαν· καὶ πρὸς αὐτῇ Χαρίτων ἐστὶν ἱερὸν, Φαέννας
καὶ Κλήτας, καθὰ δὴ καὶ Ἀλκμὰν ἐποίησεν. ἱδρύσασθαι
δὲ Λακεδαίμονα Χάρισιν ἐνταῦθα τὸ ἱερὸν, καὶ θέσθαι τὰ
ὀνόματα ἥγηνται. (5) Τὰ δὲ ἐν Ἀμύκλαις θέας ἄξια, ἀνὴρ
πένταθλός ἐστιν ἐπὶ στήλης ὄνομα Αἴνητος. τούτῳ νική-
σαντι Ὀλυμπίασι καὶ ἔτι στεφανουμένῳ γενέσθαι τοῦ βίου
τὴν τελευτὴν λέγουσι· τούτου τε οὖν ἐστιν εἰκὼν, καὶ
255 τρίποδες χαλκοῖ. τοὺς δὲ ἀρχαιοτέρους δεκάτην τοῦ πρὸς
Μεσσηνίους πολέμου φασὶν εἶναι. ὑπὸ μὲν δὴ τῷ πρώτῳ
τρίποδι Ἀφροδίτης ἄγαλμα ἑστήκει, Ἄρτεμις δὲ ὑπὸ τῷ
δευτέρῳ· Γιτιάδα καὶ αὐτοὶ τέχνη καὶ τὰ ἐπειργασμένα·
ὁ τρίτος δέ ἐστιν Αἰγινήτου Κάλλωνος· ὑπὸ τούτῳ δὲ
ἄγαλμα Κόρης τῆς Δήμητρος ἕστηκεν. Ἀρίστανδρος δὲ
Πάριος καὶ Πολύκλειτος Ἀργεῖος, ὁ μὲν γυναῖκα ἐποίησεν
ἔχουσαν λύραν, Σπάρτην δῆθεν, Πολύκλειτος δὲ Ἀφρο-
δίτην παρὰ Ἀμυκλαίῳ καλουμένην. οὗτοι δὲ οἱ τρίποδες
μεγέθει τε ὑπὲρ τοὺς ἄλλους εἰσὶ, καὶ ἀπὸ τῆς νίκης τῆς

Tiasa *puella*, quae fuisse putatur Eurotae filia. Proxima amni est Gratiarum aedes, Phaennae et Cletae, quae sunt Alcmanis versibus nobilitatae. Lacedaemona putant Gratiis aedem eam dedicasse, nomina etiam imposuisse. (5) Inter illustria opera, quae Amyclis visuntur, columnae insistit Aenetus quinquertio: qui in Olympia victor declaratus, accepta corona statim e vita excessisse dicitur. Eius itaque illic est effigies, et aenei tripodes. Nam decem *alios* antiquiores esse aiunt de eo bello, quod cum Messeniis gestum est. In eorum primo stat Veneris simulacrum, Dianae in altero. Quum ipsos tripodes, tum quae sunt in iis operis supervacanei, Gitiadas fecit. Tertius est ab Aegineta Callone factus. In eo Proserpina insistit. At Parius Aristander, et Polycletus Argivus, foeminam ille cum lyra, Spartam scilicet ipsam, hic Venerem, quae Ad Amyclaeum vocatur, fecerunt. Praestant hi tripodes ceteris magnitudine, et de victoriae ad

ἐν Αἰγὸς ποταμοῖς ἀνετέθησαν. (6) Βαθυκλέους δὲ Μάγνητος, ὃς τὸν θρόνον ἐποίησε τοῦ Ἀμυκλαίου, ἀναθήματα ἐπ' ἐξειργασμένῳ τῷ θρόνῳ Χάριτες. καὶ ἄγαλμα δὲ Λευκοφρύνης ἐστὶν Ἀρτέμιδος. ὅτου δὲ οὗτος ὁ Βαθυκλῆς μαθητὴς ἐγεγόνει, ἢ τὸν θρόνον ἐφ' ὅτου βασιλεύοντος Λακεδαιμονίων ἐποίησε, τάδε μὲν παρίημι. τὸν θρόνον δὲ εἶδόν τε, καὶ τὰ ἐς αὐτὸν ὁποῖα ἦν, γράψω. (7) Ἀνέχουσιν ἔμπροσθεν αὐτὸν, κατὰ ταὐτὰ δὲ καὶ ὄπισθεν, Χάριτές τε δύο καὶ Ὧραι δύο· ἐν ἀριστερᾷ δὲ Ἔχιδνα ἕστηκε καὶ Τυφὼς, ἐν δεξιᾷ δὲ Τρίτωνες. τὰ δὲ ἐπειργασμένα καθ' ἕκαστον ἐπ' ἀκριβὲς διελθεῖν, ὄχλον τοῖς ἐπιλεξομένοις παρέξειν ἔμελλεν. ὡς δὲ δηλῶσαι συλλαβόντι (ἐπεὶ μηδὲ ἄγνωστα τὰ πολλὰ ἦν), Ταϋγέτην θυγατέρα Ἄτλαντος καὶ ἀδελφὴν αὐτῆς Ἀλκυόνην φέρουσι Ποσειδῶν καὶ Ζεύς. ἐπείργασται δὲ καὶ Ἄτλας, καὶ Ἡρακλέους μονομαχία πρὸς Κύκνον, καὶ ἡ παρὰ Φόλῳ τῶν Κενταύρων μάχη. τὸν δὲ Μίνω καλούμενον Ταῦρον, οὐκ οἶδα, ἀνθ' ὅτου πεποίηκε Βαθυκλῆς δεδεμένον τε καὶ ἀγόμενον ὑπὸ

Aegospotamos manubiis dedicati fuere. (6) Bathyclis vero Magnesii, qui sellam Amyclaei fecit, opera et dona sunt etiam reliqua, quae sellae addita sunt, Gratiae, et Leucophrynes Dianae signum. A quo vero Bathycles hic artem didicerit, vel quo Spartae regnante illa elaborarit, nihil est necesse hoc loco commemorare. Sellam ipsam ego vidi: quare eius iam omnem ornatum literis mandabo. (7) Sustinent eam a fronte et a tergo Gratiae duae, et Horae totidem. In laeva parte Hydra spectatur, et Typhon: in dextera Tritones. Quod si, quae adventitia sunt, singula exactius consecter, facile nimis multum iis, qui haec legerint, negotii exhibuero. Sunt multa alioqui acutius coniicienti non obscura. Taygeten Atlantis filiam, et eius sororem Alcyonen asportant Neptunus et Iupiter. Insculptus est Atlas ipse, et Herculis cum Cycno pugna: Centaurorum praeterea apud Pholum pugna. Iam vero quare Minotaurum ita fecerit Bathycles, ut vinctus

Θησέως ζῶντα. καὶ Φαιάκων χορός ἐστιν ἐπὶ τῷ θρόνῳ, καὶ ᾄδων ὁ Δημοδόκος. Περσέως τε τὸ ἔργον πεποίηται τὸ ἐς Μέδουσαν. παρέντι δὲ Ἡρακλέους μάχην πρὸς Θούριον τῶν γιγάντων καὶ Τυνδάρεω πρὸς Εὔρυτον, ἐστὶν ἁρπαγὴ τῶν Λευκίππου θυγατέρων. Διόνυσον δὲ, καὶ Ἡρακλέα, τὸν μὲν παῖδα ὄντα ἔτι ἐς οὐρανόν ἐστιν Ἑρμῆς φέρων, Ἀθηνᾶ δὲ ἄγουσα Ἡρακλέα συνοικήσοντα ἀπὸ τούτου θεοῖς. παραδίδωσι δὲ καὶ Πηλεὺς Ἀχιλλέα τραφησόμενον παρὰ Χείρωνι, ὃς καὶ διδάξαι λέγεται.
256 Κέφαλος δὲ τοῦ κάλλους εἵνεκα ὑπὸ Ἡμέρας ἐστὶν ἡρπαγμένος. καὶ ἐς τὸν γάμον τὸν Ἁρμονίας δῶρα κομίζουσιν οἱ θεοί. καὶ Ἀχιλλέως μονομαχία πρὸς Μέμνονα ἐπείργασται. Διομήδην τε Ἡρακλῆς τὸν Θρᾷκα καὶ ἐπ' Εὐήνῳ τῷ ποταμῷ Νέσσον τιμωρούμενος. Ἑρμῆς δὲ παρ' Ἀλέξανδρον κριθησομένας ἄγει τὰς θεάς. Ἄδραστος δὲ καὶ Τυδεὺς Ἀμφιάραον καὶ Λυκοῦργον τὸν Πρώνακτος μάχης καταπαύουσιν. Ἥρα δὲ ἀφορᾷ πρὸς Ἰὼ τὴν Ἰνάχου, βοῦν οὖσαν ἤδη. καὶ Ἀθηνᾶ διώκοντα ἀποφεύγουσά

trahi a Theseo vivens videatur, non sane novi. Est in eadem sella Phaeacum chorus, et Demodocus cantans: Persei etiam in Medusam facinus cernitur. Ut missum vero faciam Herculis cum Thurio gigante certamen, Tyndari cum Euryto, visitur illic Leucippi filiarum raptus. Liberum Patrem, puerum adhuc, in coelum portat Mercurius: Minerva Herculem deducit, de coelitibus unum in posterum omne tempus futurum. Iam Peleus Achillem Chironi alendum tradit; qui doctor etiam eiusdem, et magister fuisse dicitur. Cephalus ob formae praestantiam rapitur ab Aurora: Harmoniae nuptias donis celebrant dii. Venit in operis partem Achillis cum Memnone dimicatio: Diomedem praeterea Thraciae regem Hercules, et ad Euenum amnem Nessum interficit: Mercurius deas in iudicium ad Alexandrum deducit. Ad haec Adrastus et Tydeus pugnam dirimunt, in quam descenderant Amphiaraus et Lycurgus Pronactis filius. Tum Iuno Io Inachi filiam iam bovem factam aspicit: at Minerva insectantem Vul-

ἐστιν Ἥφαιστον. ἐπὶ δὲ τούτοις Ἡρακλέους πεποίηται τάξις τῶν ἔργων τῶν ἐς τὴν Ὕδραν, καὶ ὡς ἀνήγαγε τοῦ ᾅδου τὸν κύνα. Ἀναξίας δὲ καὶ Μνασίνους, τούτων μὲν ἐφ' ἵππου καθήμενός ἐστιν ἑκάτερος. Μεγαπένθην δὲ τὸν Μενελάου καὶ Νικόστρατον ἵππος εἷς φέρων ἐστίν. ἀναιρεῖ δὲ καὶ Βελλεροφόντης τὸ ἐν Λυκίᾳ θηρίον. καὶ Ἡρακλῆς τὰς Γηρυόνου βοῦς ἐλαύνει. (8) Τοῦ θρόνου δὲ πρὸς τοῖς ἄνω πέρασιν ἐφ' ἵππων ἑκατέρωθέν εἰσιν οἱ Τυνδάρεω παῖδες· καὶ σφίγγε τέ εἰσιν ὑπὸ τοῖς ἵπποις, καὶ θηρία ἄνω θέοντα, τῷ μὲν πάρδαλις, κατὰ δὲ τὸν Πολυδεύκην λέαινα. ἀνωτάτω δὲ χορὸς ἐπὶ τῷ θρόνῳ πεποίηται, Μάγνητες οἱ συνειργασμένοι Βαθυκλεῖ τὸν θρόνον. (9) Ὑπελθόντι δὲ ὑπὸ τὸν θρόνον, τὰ ἔνδον ἀπὸ τῶν Τριτώνων, ὑός ἐστι θήρα τοῦ Καλυδωνίου, καὶ Ἡρακλῆς ἀποκτείνων τοὺς παῖδας τοὺς Ἄκτορος. Κάλαϊς δὲ καὶ Ζήτης τὰς Ἁρπυίας Φινέως ἀπελαύνουσι. Πειρίθους τε καὶ Θησεὺς ἡρπακότες εἰσὶν Ἑλένην· καὶ ἄγχων Ἡρακλῆς τὸν λέοντα. Τιτυὸν δὲ Ἀπόλλων τοξεύει καὶ Ἄρτεμις. Ἡρακλέους τε πρὸς Ὄρειον Κένταυρον μάχη

canum fugitat. Inter haec est Herculis in hydram, quo ordine gestum est, facinus. Idem etiam Hercules Plutonis canem raptat: Anaxias et Mnasinous equis uterque insident: Megapenthes et Nicostratus Menelai filii eodem vehuntur equo: Bellerophontes Lyciae monstrum conficit: Hercules *rursus* Geryonae boves abigit. (8) In sellae superiore margine utrinque Tyndari filii equis insident: infra eos equos Sphinges, supra ferae decurrunt, pardalis contra Castorem, in Pollucem vero leaena. Summa solii tenet Magnetum chorus, quod scilicet Bathyclem in folio elaborando iuverunt. (9) Sub thronum si quis descendat, intus ab ea parte, ubi Tritones sunt effícti, visitur apri Calydonii venatio: Hercules Actoris filios trucidat: Calais et Zetes a Phineo harpyias arcent: Helenam rapiunt Pirithous et Theseus: Hercules leonem strangulat: Tityon Apollo et Diana sagittis configunt. Herculis etiam cum Oreo Centauro pugna, et Thesei

πεποίηται, καὶ Θησέως πρὸς Ταῦρον τὸν Μίνω. πεποίηται καὶ ἡ πρὸς Ἀχελῷον Ἡρακλέους πάλη, καὶ τὰ λεγόμενα
257 ἐς Ἥραν, ὡς ὑπὸ Ἡφαίστου δεθείη, καὶ ὃν Ἄκαστος ἔθηκεν ἀγῶνα ἐπὶ πατρὶ, καὶ τὰ ἐς Μενέλαον καὶ τὸν Αἰγύπτιον Πρωτέα ἐν Ὀδυσσείᾳ. τελευταῖα Ἄδμητός τε ζευγνύων ἐστὶν ὑπὸ τὸ ἅρμα κάπρον καὶ λέοντα, καὶ οἱ Τρῶες ἐπιφέροντες χοὰς Ἕκτορι.

CAPUT XIX.

Descriptio signi Amyclaei et eorum, quae in illius basi expressa sunt — de memorandis Amyclarum. — Dionyso Psila dicto — via, quae Therapnen ducit et templo Aesculapii Cotylei — Marte Therita dicto — Therapne, et Menelai templo — de Helenae nece Rhodiorum narratio — Crotoniatarum narratio de Helena.

Τοῦ θρόνου δὲ, ᾗ καθίζοιτο ἂν ὁ θεὸς, οὐ διαπαντὸς κατὰ τοῦτο συνεχοῦς ὄντος, ἀλλὰ καθέδρας παρεχομένου πλείονας, παρὰ δὲ καθέδραν ἑκάστην ὑπολειπομένης καὶ εὐρυχωρίας, τὸ μέσον ἐστὶν εὐρυχωρὲς μάλιστα, καὶ τὸ ἄγαλμα ἐνταῦθα ἀνέστηκε. (2) Μεγέθους δὲ αὐτοῦ μέ-

cum Minotauro expressa est: Herculis rursus cum Acheloo lucta; quaeque de Iunone sunt fabulis prodita, vinctam scilicet a Vulcano fuisse: ludi deinde, quos patri fecit Acastus: quae de Menelao, et Aegyptio Proteo in Odyssea commemorantur. Postremo vero Admetus ad currum aprum et leonem iungit: Troiani Hectori inferias mittunt.

Cap. XIX. Solium ipsum ea parte, qua deo sessio parata est, non illud quidem aequaliter planum, verum sedilia habet multa, atque inter ea satis ampla intervalla: medium omnium latissime patet: ibi simulacrum collocatum est. (2) Qua id magnitudine sit, nemo, quod sciam, compertum

ἑρον μὲν οὐδένα ἀνευρόντα οἶδα, εἰκάζοντι δὲ καὶ τριάκοντα εἶναι φαίνοιντο ἂν πήχεις. ἔργον δὲ οὐ Βαθυκλέους ἐστὶν, ἀλλὰ ἀρχαῖον καὶ οὐ σὺν τέχνῃ πεποιημένον· ὅτι γὰρ μὴ πρόσωπον αὐτῷ καὶ πόδες εἰσὶν ἄκροι καὶ χεῖρες, τὸ λοιπὸν χαλκῷ κίονί ἐστιν εἰκασμένον. ἔχει δὲ ἐπὶ τῇ κεφαλῇ κράνος, λόγχην δὲ ἐν ταῖς χερσὶ καὶ τόξον. (3) Τοῦ δὲ ἀγάλματος τὸ βάθρον παρέχεται μὲν βωμοῦ σχῆμα, τεθάφθαι δὲ τὸν Ὑάκινθον λέγουσιν ἐν αὐτῷ, καὶ Ὑακινθίοις πρὸ τῆς τοῦ Ἀπόλλωνος θυσίας ἐς τοῦτον Ὑακίνθῳ τὸν βωμὸν διὰ θύρας χαλκῆς ἐναγίζουσιν· ἐν ἀριστερᾷ δέ ἐστιν ἡ θύρα τοῦ βωμοῦ. (4) Ἐπείργασται δὲ τῷ βωμῷ τοῦτο μὲν ἄγαλμα Βίριδος, τοῦτο δὲ Ἀμφιτρίτης καὶ Ποσειδῶνος. Διὸς δὲ καὶ Ἑρμοῦ διαλεγομένων ἀλλήλοις πλησίον Διόνυσος ἑστήκασι καὶ Σεμέλη, παρὰ δὲ αὐτὴν Ἰνώ. πεποίηται δὲ ἐπὶ τοῦ βωμοῦ καὶ ἡ Δημήτηρ, καὶ Κόρη, καὶ Πλούτων· ἐπὶ δὲ αὐτοῖς Μοῖραί τε καὶ Ὧραι, σὺν δέ σφισιν Ἀφροδίτη καὶ Ἀθηνᾶ τε καὶ Ἄρτεμις· κομίζουσι δ' ἐς οὐρανὸν Ὑάκινθον καὶ Πολύβοιαν Ὑακίνθου, καθὰ λέγουσιν, ἀδελφὴν ἀποθανοῦ-

tradidit: quantum coniectura assequi possis, haud brevius cubitum XXX videatur. Non fuit eius opifex Bathycles. Est enim priscum, et sine arte factum, nempe quod praeter os, manus et imos pedes cetera aeneae columnae persimile sit. Capite galeam, lanceam manibus, et arcum praefert. (3) Simulacri basis arae formam habet. In ea Hyacinthum sepultum tradunt. Et in Hyacinthiorum celebritate, prius quam sacrum Apollini faciant, in aram istam per aeneum ostiolum, quod in arae laeva parte est, inferias Hyacintho mittunt. (4) In ara illa insculpta sunt, hic Biridis, illic Amphitrites et Neptuni signa: tum vero Iupiter et Mercurius inter se colloquentes. Prope adsistunt Liber pater, et Semele: huic proxima Ino. Sunt in eadem sive basi, sive ara, Ceres, Proserpina, Pluto: una cum his Parcae, et Horae; et illis adiunctae Venus, Minerva, Diana: in coelum autem hae tollunt Hyacinthum, et sororem eius Polyboean,

σαν ἔτι παρθένον. τοῦτο μὲν δὴ τοῦ Ὑακίνθου τὸ ἄγαλμα ἔχον ἐστὶν ἤδη γένεια. Νικίας δὲ ὁ Νικομήδους περισσῶς δή τι ἔγραψεν αὐτὸν ὡραῖον, τὸν ἐπὶ Ὑακίνθῳ λεγό-
253 μενον Ἀπόλλωνος ἔρωτα ὑποσημαίνων. πεποίηται δὲ ἐπὶ τοῦ βωμοῦ καὶ Ἡρακλῆς ὑπὸ Ἀθηνᾶς καὶ θεῶν τῶν ἄλλων καὶ οὗτος ἀγόμενος ἐς οὐρανόν. εἰσὶ δὲ καὶ αἱ Θεστίου θυγατέρες ἐπὶ τῷ βωμῷ, καὶ Μοῦσαί τε καὶ Ὧραι. περὶ δὲ ἀνέμου Ζεφύρου, καὶ ὡς ὑπὸ τοῦ Ἀπόλλωνος Ὑάκινθος ἀπέθανεν ἄκοντος, ἢ τὰ ἐς τὸ ἄνθος εἰρημένα, τάχα μὲν ἂν ἔχοι καὶ ἄλλως, δοκείτω δὲ, ᾗ λέγεται. (5) Ἀμύκλαι δὲ ἀνάστατος ὑπὸ Δωριέων γενομένη καὶ ἀπ' ἐκείνου κώμη διαμένουσα θέας παρείχετο ἄξιον ἱερὸν Ἀλεξάνδρας καὶ ἄγαλμα. τὴν δὲ Ἀλεξάνδραν οἱ Ἀμυκλαιεῖς Κασσάνδραν τὴν Πριάμου φασὶν εἶναι. καὶ Κλυταιμνήστρας ἐστὶν ἐνταῦθα εἰκὼν, καὶ ἄγαλμα, Ἀγαμέμνονος νομιζόμενον μνῆμα. (6) Θεῶν δὲ σέβουσιν οἱ ταύτῃ τόν τε Ἀμυκλαῖον καὶ Διόνυσον, ὀρθότατα (ἐμοὶ δοκεῖν)

quam e vita virginem decessisse narrant. Atque illud quidem Hyacinthi signum cum barbula est. Nicomedensis Nicias eum supra modum eleganti forma pinxit, quum de Apollinis in illum amore quiddam innueret. In ea ipsa ara Herculem quoque Minerva et ceteri Di in coelum deducunt. Ibidem et Thestii filiae sunt, Musae, et Horae. De Zephyro vero, et quemadmodum ab Apolline sit Hyacinthus imprudenter peremptus, de flore item, longe se fortasse aliter, *quam uti exponitur*, res habet: perinde vero fuisse censeatur, ac vulgatum est. (5) Amycla a Doriensibus deleta vici iam formam habet. Insignia illic sunt, Alexandrae templum, et simulacrum. Alexandram quidem Amyclaeenses Cassandram Priami filiam esse dicunt. Est ibidem Clytaemnestrae effigies, et Agamemnonis statua; quo loco eiusdem credunt fuisse monumentum. (6) Venerantur horum locorum incolae prae ceteris Amyclaeum; et Liberum, cognomento Psilan eum appellantes; apposite illi quidem mea sententia.

Ψίλακα ἐπονομάζοντες. ψίλα γὰρ καλοῦσιν οἱ Δωριεῖς τὰ πτερά· ἀνθρώπους δὲ οἶνος ἐπαίρει τε καὶ ἀνακουφίζει γνώμην οὐδέν τι ἧσσον, ἢ ὄρνιθας πτερά. καὶ Ἀμύκλαι μὲν παρείχοντο τοσαῦτα ἐς μνήμην.

(7) Ἑτέρα δὲ ἐκ τῆς πόλεως ὁδὸς ἐς Θεράπνην ἄγει. κατὰ δὲ τὴν ὁδὸν Ἀθηνᾶς ξόανόν ἐστιν Ἀλέας. πρὶν δὲ ἢ διαβῆναι τὸν Εὐρώταν, ὀλίγον ὑπὲρ τῆς ὄχθης ἱερὸν δείκνυται Διὸς πλουσίου. διαβᾶσι δὲ Κοτυλέως ἐστὶν Ἀσκληπιοῦ ναός, ὃν ἐποίησεν Ἡρακλῆς· καὶ Ἀσκληπιὸν Κοτυλέα ὠνόμασεν ἀκεσθεὶς τὸ τραῦμα, τὸ ἐς τὴν κοτύλην οἱ γενόμενον ἐν τῇ πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας προτέρᾳ μάχῃ. ὁπόσα δὲ πεποίηται κατὰ τὴν ὁδὸν ταύτην, ἐστὶν ἀρχαιότατον αὐτῶν Ἄρεως ἱερόν. τοῦτό ἐστι μὲν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, τὸ ἄγαλμα καὶ τοὺς Διοσκούρους φασὶ κομίσαι ἐκ Κόλχων. (8) Θηρειτὰν δὲ ἐπονομάζουσιν ἀπὸ Θηροῦς· ταύτην γὰρ τροφὸν εἶναι τοῦ Ἄρεως λέγουσι. τάχα δ᾽ ἂν ἀκηκοότες παρὰ Κόλχων Θηρειτὰν λέγοιεν, ἐπεὶ Ἕλληνές γε οὐκ ἴσασιν Ἄρεως τροφὸν Θηρώ. 259
δοκεῖν δέ μοι, Θηρειτὰς οὐ διὰ τὴν τροφὸν ἡ ἐπωνυμία τῷ

Psila enim Dorienses pinnas nuncupant. Nam vinum homines perinde, ac aves pinnulae, incitat et sublevat. (7) Altera ab urbe Therapnen ducit via. In ea via signum est Aleae Minervae. Et antequam Eurotam transeas, paulo supra ripam Iovis Opulenti fanum monstratur. Ubi transieris, templum videas Cotylei Aesculapii; quod Hercules dedicavit; deoque id cognominis indidit a vulnere sanatus, quod in pugna priore contra Hippocoontem eiusque liberos in cotyle (*id est, coxendice*) acceperat. Maxime vero eorum, quae in hac via exstant, operum priscum est Martis fanum. Eiusdem dei ad viae laevam quod visitur simulacrum, e Colchis a Castore et Polluce deportatum ferunt. (8) Theritam cognomine appellant de nutricis Therus nomine. Ac forsitan istud Theritae nomen Colchicum est. Neque enim Graeci ullam norunt Thero Martis nutricem. Mea fert opinio, non esse a

Ἄρει γέγονεν, ὅτι δὲ ἀνδρὶ χρὴ πολεμίῳ καταστάντα ἐς μάχην οὐδὲν ἔτι ἔχειν ἤπιον· καθὰ δὴ καὶ Ὁμήρῳ περὶ Ἀχιλλέως πεποίηται·

Λέων δ' ὣς ἄγρια οἶδεν.

(9) Θεράπνη δὲ ὄνομα μὲν τῷ χωρίῳ γέγονεν ἀπὸ τῆς Λέλεγος θυγατρός. Μενελάου δέ ἐστιν ἐν αὐτῇ ναός, καὶ Μενέλαον καὶ Ἑλένην ἐνταῦθα ταφῆναι λέγουσι. (10) Ῥόδιοι δὲ οὐχ ὁμολογοῦντες Λακεδαιμονίοις φασὶν, Ἑλένην, Μενελάου τελευτήσαντος, Ὀρέστου δὲ ἔτι πλανωμένου, τηνικαῦτα ὑπὸ Νικοστράτου καὶ Μεγαπένθους διωχθεῖσαν ἐς Ῥόδον ἀφικέσθαι Πολυξοῖ τῇ Τληπολέμου γυναικὶ ἔχουσαν ἐπιτηδείως· εἶναι γὰρ καὶ Πολυξὼ τὸ γένος Ἀργείαν, Τληπολέμῳ δὲ ἔτι πρότερον συνοικοῦσαν φυγῆς μετασχεῖν τῆς ἐς Ῥόδον, καὶ τῆς νήσου τηνικαῦτα ἄρχειν ὑπολειπομένην ἐπὶ ὀρφανῷ παιδί. ταύτην τὴν Πολυξώ φασιν ἐπιθυμοῦσαν Ἑλένην τιμωρήσασθαι τελευτῆς τῆς Τληπολέμου, τότε, ὡς ἔλαβεν αὐτὴν ὑποχείριον, ἐπιπέμψαι οἱ λουμένῃ θεραπαίνας Ἐριννύσιν ἐσκευασμέ-

nutrice hoc Marti cognominis, sed *a feritate*, quod bellicosum hominem, pugna cum hoste inita, nihil mite prae se ferre oporteat, proinde ac de Achille dixit Homerus:

Ut leo funestas agitans animo feritates.

(9) Therapne a Lelegis filia nomen accepit. In ea Menelai delubrum est. Eoque in loco Menelaum et Helenam sepultos tradunt. (10) At Rhodii Lacedaemoniis neutiquam assentiuntur: aiunt enim, Helenam Menelao mortuo, errante etiamnum Oreste, a Nicostrato et Megapenthe pulsam, ad Polyxo Tlepolemi uxorem, necessariam suam, Rhodum venisse: fuisse vero et ipsam Polyxo Argivam; et quum ante multo cum Tlepolemo fuisset, virum in exilium secutam esse Rhodum: ac tunc quidem insulae imperasse, suscepta parvuli filii tutela. Hanc itaque Polyxo ulcisci in Helena Tlepolemi necem volentem, ubi in potestate Helenam habuit, immisisse in eam lavantem ancillas Furiarum habitu: quae illam

νας· καὶ αὗται διαλαβοῦσαι δὴ τὴν Ἑλένην αἱ γυναῖκες ἀπάγχουσιν ἐπὶ δένδρου. καὶ ἐπὶ τούτῳ Ῥοδίοις Ἑλένης ἱερόν ἐστι Δενδρίτιδος. (11) Ὃν δὲ οἶδα λέγοντας Κροτωνιάτας περὶ Ἑλένης λόγον, ὁμολογοῦντας δέ σφισι καὶ Ἱμεραίους, ἐπιμνησθήσομαι καὶ τοῦδε. ἔστιν ἐν τῷ Εὐξείνῳ νῆσος κατὰ τοῦ Ἴστρου τὰς ἐκβολάς, Ἀχιλλέως ἱερά. ὄνομα μὲν τῇ νήσῳ Λευκή, περίπλους δὲ αὐτῇ σταδίων εἴκοσι, δασεῖα δὲ ὕλη πᾶσα, καὶ πλήρης ζώων ἀγρίων καὶ ἡμέρων, καὶ ναὸς Ἀχιλλέως καὶ ἄγαλμα ἐν αὐτῇ. ἐς ταύτην πρῶτος ἐσπλεῦσαι λέγεται Κροτωνιάτης Λεώνυμος. πολέμου γὰρ Κροτωνιάταις συνεστηκότος
πρὸς τοὺς ἐν Ἰταλίᾳ Λοκρούς, τῶν Λοκρῶν κατὰ οἰκειό- 260
τητα πρὸς Ὀπουντίους Αἴαντα τὸν Οἰλέως ἐς τὰς μάχας ἐπικαλουμένων, ὁ Λεώνυμος Κροτωνιάταις στρατηγῶν ἐπῄει τοῖς ἐναντίοις κατὰ τοῦτο, ᾗ προτετάχθαι σφίσιν Αἴαντα ἤκουε. τιτρώσκεται δὴ τὸ στέρνον, καὶ (ἔκαμνε γὰρ ὑπὸ τοῦ τραύματος) ἀφίκετο ἐς Δελφούς. ἐλθόντα

comprehensam, quum ad arborem suspendissent, laqueo necarunt. In eius rei memoriam dedicasse Rhodios Helenae Dendritidis fanum. (11) Quae vero de Helena Crotoniatae vulgarunt, assentientibus Himeraeis, ea iam commemorabo. Est in Euxino circa Istri ostia insula Achilli sacra, cui Leuce nomen. Patet ea stadium XX ambitu, sylvis undique condensa, et quum feris, tum mitibus bestiis referta. In ea Achillis delubrum et simulacrum est. Navigasse in eam primus omnium Crotoniates Leonymus dicitur. Quum bellum enim inter Crotoniatas et Locros in Italia gereretur, ac Locri ob eam, quae ipsis erat cum Opuntiis, propinquitatem Aiacem Oilei filium, *eius ductu et auspiciis* praelium commissuri, invocassent, Leonymum Crotoniatarum ducem, in eam hostilis aciei partem impressione facta, quam cum imperio obtinere Aiacem audierat, vulnus aiunt in pectore accepisse. Ex eo quum vehementer laboraret, Delphos *opem ab oraculo imploratum* venisse: responsum vero tulisse, si in

δὲ ἡ Πυθία Λεώνυμον ἀπέστελλεν ἐς νῆσον τὴν Λευκὴν, ἐνταῦθα εἰποῦσα αὐτῷ φανήσεσθαι τὸν Αἴαντα καὶ ἀκέσεσθαι τὸ τραῦμα. χρόνῳ δὲ ὡς ὑγιάνας ἐπανῆλθεν ἐκ τῆς Λευκῆς, ἰδεῖν μὲν ἔφασκεν Ἀχιλλέα, ἰδεῖν δὲ τὸν Ὀϊλέως καὶ τὸν Τελαμῶνος Αἴαντα, συνεῖναι δὲ καὶ Πάτροκλόν σφισι καὶ Ἀντίλοχον· Ἑλένην δὲ Ἀχιλλεῖ μὲν συνοικεῖν, προστάξαι δέ οἱ πλεύσαντι ἐς Ἱμέραν πρὸς Στησίχορον ἀγγέλλειν, ὡς ἡ διαφθορὰ τῶν ὀφθαλμῶν ἐξ Ἑλένης γένοιτο αὐτῷ μηνίματος. Στησίχορος μὲν ἐπὶ τούτῳ τὴν παλινῳδίαν ἐποίησεν.

CAPUT XX.

De memorandis Therapnes, fonte Messeïde et Polydeucia — templo Neptuni Gaeaüchi et vico Alesiis — urbe Phari — urbe Bryseïs — Taygeti montis verticibus, Taleto, Euora, Theris et templo Cereris Eleusiniae — urbe Helo ad mare et Hilotis — Lapithaeo, Derrhio et Harpliis — memorandis in via Arcadiam versus, templo Achillis — equi monumento et planetarum signis — Pudoris signo.

Ἐν Θεράπνῃ δὲ κρήνην τὴν Μεσσηΐδα ἰδεῖν οἶδα. Λακεδαιμονίων δὲ ἑτέροις ἐστὶν εἰρημένον, τὴν Πολυδεύκειαν

Leucen insulam profectus esset, Aiacem ei vulneris remedium monstraturum. Quum vero iam sanatus domum revertisset, commemorasse, Achillem se, Aiacem Oilei filium, et Telamonis item Aiacem vidisse, cumque illis una Patroclum et Antilochum: et Achilli quidem nuptam Helenam: mandasse eam sibi, ut Himeram appulsus nunciaret Stesichoro, oculorum calamitatem ob Helenae ei iram accidisse: ex eo factum, ut *carmen contrario argumento, quam* Palinodiam *vocant*, Stesichorus fecerit.

Cap. XX. Ad Therapnen fontem sum conspicatus Messeidem: quum non desint tamen e Lacedaemoniis, qui non hunc, sed fontem eum, qui aetate hac Polydeucea nun-

ὀνομαζομένην ἐφ' ἡμῶν, οὐ τὴν ἐν Θεράπνῃ, Μεσσηΐδα καλεῖσθαι τὸ ἀρχαῖον. ἡ δὲ Πολυδεύκειά ἐστιν αὐτή τε ἡ κρήνη καὶ Πολυδεύκους ἱερὸν ἐν δεξιᾷ τῆς ἐς Θεράπνην ὁδοῦ. Θεράπνης δὲ οὐ πόῤῥω Φοιβαῖον καλούμενόν ἐστιν, ἐν δὲ αὐτῷ Διοσκούρων ναός· καὶ οἱ ἔφηβοι τῷ Ἐνυαλίῳ θύουσιν ἐνταῦθα. (2) Τούτου δὲ οὐ πολὺ Ποσειδῶνος ἀφέστηκεν ἱερὸν ἐπίκλησιν Γαιαούχου. καὶ ἀπ' αὐτοῦ προελθόντι ὡς ἐπὶ τὸ Ταΰγετον, ὀνομάζουσιν Ἀλεσίας χωρίον, Μύλητα τὸν Λέλεγος πρῶτον ἀνθρώπων μύλην τε εὑρεῖν λέγοντες καὶ ἐν ταῖς Ἀλεσίαις ταύταις ἀλέσαι. καὶ σφισι Λακεδαίμονος τοῦ Ταϋγέτης ἐνταῦθά ἐστιν ἡρῷον. (3) Διαβᾶσι δὲ αὐτόθεν ποταμὸν Φελλίαν παρὰ Ἀμύκλας, ἰοῦσιν εὐθεῖαν ὡς ἐπὶ θάλασσαν, Φᾶρις πόλις 261
ἐν τῇ Λακωνικῇ ποτε ᾠκεῖτο· ἀποτραπομένῳ δὲ ἀπὸ τῆς Φελλίας ἐς δεξιὰν ἡ πρὸς τὸ ὄρος τὸ Ταΰγετόν ἐστιν ὁδός. Ἔστι δὲ ἐν τῷ πεδίῳ Διὸς Μεσσαπέως τέμενος. γενέσθαι δέ οἱ τὴν ἐπίκλησιν ἀπὸ ἀνδρὸς λέγουσιν ἱερωσαμένου τῷ θεῷ. (4) Ἐντεῦθέν ἐστιν ἀπιοῦσιν ἐκ τοῦ Ταϋγέτου χω-

cupatur, Messeidem a priscis vocatum affirment. Est vero Polydeucea fons et Pollucis fanum ad eius viae dexteram, quae Therapnen ducit. Non procul a Therapne Ephebeum est, et in eo Castorum delubrum: quo in loco puberes sacrum Enyalio *bellico numini* faciunt. (2) Non multum hinc abest Neptuni templum cognomento (*quod terra in eius potestate sit*) Gaeaüchi. Ab eo Taygetum versus procedenti vicus est: Alesias nominant; *quod est ac si Moletrinas dicas*; eo in loco molam primum omnium reperisse, et fruges molere docuisse Myleta Lelegis filium tradunt. Ibidem Lacedaemoni Taygetae filio exstructum est heroicum monumentum. (3) Ubi vero amnem Phelliam traieceris, recta Amyclas contendenti, Pharis olim urbs in Laconico agro habitabatur. A Phellia abeuntibus ad dexteram via est, quae ad Taygeton montem ducit. In ea planitie Iovis Messapei fanum est. Id ei cognominis inditum tradunt de sacrificuli nomine. (4) Iam vero a Taygeto vicus excipit, ubi olim Bryseae urbs

ρίον, ἔνθα πόλις τότε ᾠκεῖτο Βρυσέαι· καὶ Διονύσου τε ναὸς ἐνταῦθα ἔτι λείπεται καὶ ἄγαλμα ἐν ὑπαίθρῳ. τὸ δὲ ἐν τῷ ναῷ μόναις γυναιξὶν ἔστιν ὁρᾷν· γυναῖκες γὰρ δὴ μόναι καὶ τὰ ἐς τὰς θυσίας δρῶσιν ἐν ἀποῤῥήτῳ. (5) Ἄκρα δὲ τοῦ Ταϋγέτου Ταλετὸν ὑπὲρ Βρυσεῶν ἀνέχει. ταύτην Ἡλίου καλοῦσιν ἱερὰν, καὶ ἄλλα τε αὐτόθι Ἡλίῳ θύουσι καὶ ἵππους· τὸ δὲ αὐτὸ καὶ Πέρσας οἶδα θύειν νομίζοντας. Ταλετοῦ δὲ οὐ πόῤῥω καλούμενός ἐστιν Εὐόρας, θηρία καὶ ἄλλα τρέφων καὶ αἶγας μάλιστα ἀγρίας. παρέχεται δὲ καὶ διόλου τὸ Ταΰγετον τῶν αἰγῶν τούτων ἄγραν καὶ ὑῶν, πλείστην δὲ καὶ ἐλάφων καὶ ἄρκτων. Ταλετοῦ δὲ τὸ μεταξὺ καὶ Εὐόρα Θήρας ὀνομάζουσιν. οὐ πόῤῥω δὲ τῶν ἄκρων τοῦ Ταϋγέτου Δήμητρος ἐπίκλησιν Ἐλευσινίας ἐστὶν ἱερόν. ἐνταῦθα Ἡρακλέα Λακεδαιμόνιοι κρυφθῆναί φασιν ὑπὸ Ἀσκληπιοῦ τὸ τραῦμα ἰώμενον. καὶ Ὀρφέως ἐστὶν ἐν αὐτῷ ξόανον, Πελασγῶν, ὥς φασιν, ἔργον. καὶ τόδε δὲ ἄλλο δρώμενον ἐνταῦθα οἶδα.

incolebatur. Exstat ibi Liberi Patris templum, et signa quaedam sub divo relicta. Nam quod intus est, solis fas est mulieribus aspicere. Solae quoque mulieres in operto sacra faciunt. (5) Summus Taygeti vertex, Taletum, supra Bryseas eminet. Sacrum Soli appellant: ibique et alias hostias, et equos Soli caedunt. Idem autem sacrum et Persis patrium esse novimus. Non procul a Taleto *saltus* est, qui Euoras dicitur. Is et ferarum alia genera, et in primis sylvestres capras alit. Facit vero qualibet sui parte Taygetus venatoribus luculentam caprearum, aprorum, cervorum et ursorum copiam. Quod interest spatii inter Taletum et Euoram, Theras nuncupant. Ab ipsis Taygeti iugis modice distat Cereris delubrum, cui cognomen Eleusiniae. In eo occultatum memorant Herculem ab Aesculapio, dum vulnus sanaretur. Est ibidem et Orphei signum positum: Pelasgorum opus fuisse aiunt. Sed hoc etiam praeterea ibi fieri

(6) Ἐπὶ θαλάσσῃ πόλισμα Ἕλος ἦν, οὗ δὴ καὶ Ὅμηρος ἐμνημόνευσεν ἐν καταλόγῳ Λακεδαιμονίων·

Οἵ τ' ἄρ' Ἀμύκλας εἶχον, Ἕλος τ' ἔφαλον πτολίεθρον.

τοῦτο ᾤκισε μὲν Ἕλιος νεώτατος τῶν Περσέως παίδων, Δωριεῖς δὲ παρεστήσαντο ὕστερον πολιορκίᾳ. καὶ πρῶτοί γε ἐγένοντο οὗτοι Λακεδαιμονίων δοῦλοι τοῦ κοινοῦ, καὶ 262 Εἵλωτες ἐκλήθησαν πρῶτοι, καθάπερ γε καὶ ἦσαν. τὸ δὲ οἰκετικὸν τὸ ἐπικτηθὲν ὕστερον, Δωριεῖς Μεσσηνίους ὄντας, ὀνομασθῆναι καὶ τούτους ἐξενίκησεν Εἵλωτας, καθότι καὶ Ἕλληνας τὸ σύμπαν γένος ἀπὸ τῆς ἐν Θεσσαλίᾳ ποτὲ καλουμένης Ἑλλάδος. ἐκ τούτου δὴ τοῦ Ἕλους ξόανον Κόρης τῆς Δήμητρος ἐν ἡμέραις ῥηταῖς ἀνάγουσιν ἐς τὸ Ἐλευσίνιον. (7) Πεντεκαίδεκα δὲ τοῦ Ἐλευσινίου σταδίους ἀφέστηκε Λαπίθαιον καλούμενον ἀπὸ ἀνδρὸς ἐγχωρίου Λαπίθου. τοῦτό τε οὖν τὸ Λαπίθαιόν ἐστιν ἐν τῷ Ταϋγέτῳ, καὶ οὐ πόῤῥω Δέῤῥιον, ἔνθα Ἀρτέμιδος ἄγαλμα ἐν ὑπαίθρῳ Δεῤῥιάτιδος, καὶ πηγὴ παρ' αὐτῷ, ἣν

scio. (6) Ad mare oppidulum fuit Helos, cuius est apud Homerum quoque in enumeratione navium mentio:

Quisque mari vicinum Helos, et quis patria Amyclae.

Huc deducit coloniam Helius Persei liberûm natu minimus. Postea Dorienses per obsidionem sunt oppido potiti: ex quo primum publici exstitere Lacedaemoniorum servi, ac primi sunt Hilotes nuncupati, sicut etiam erant. Obtinuit deinde usus, ut ceteri etiam, qui ad servitiorum numerum accessissent, quamvis Dorienses Messenii essent, Hilotes tamen et ipsi appellarentur: quemadmodum et Hellas ab Hellade, quae fuit olim Thessaliae pars, Graecorum universa natio dicti. Ex eo ipso oppido, quod Helos diximus vocari, Proserpinae simulacrum statis diebus in Eleusinium deportant. (7) Ab Eleusinio stadia XV distat, quod Lapithaeum appellant a Lapitha, homine indigena. Est vero et ipsum in Taygeto: propeque abest Derrhion, ubi sub divo Dianae signum Derrhiatidis. Proximum fontem Anonum nominant. A

Ἄνονον ὀνομάζουσι. μετὰ δὲ τὸ Δέῤῥιον σταδίους προελθόντι ὡς εἴκοσιν, ἔστιν Ἅρπλεια καθήκοντα ἄχρι τοῦ πεδίου. (8) Τὴν δὲ ἐπ' Ἀρκαδίας ἰοῦσιν ἐκ Σπάρτης, Ἀθηνᾶς ἕστηκεν ἐπίκλησιν Παρείας ἄγαλμα ἐν ὑπαίθρῳ, μετὰ δὲ αὐτὸ ἱερόν ἐστιν Ἀχιλλέως· ἀνοίγειν δὲ αὐτὸ οὐ νομίζουσιν· ὁπόσοι δ' ἂν τῶν ἐφήβων ἀγωνιεῖσθαι μέλλωσιν ἐν τῷ Πλατανιστᾷ, καθέστηκεν αὐτοῖς τῷ Ἀχιλλεῖ πρὸ τῆς μάχης θύειν. ποιῆσαι δέ σφισι τὸ ἱερὸν Σπαρτιᾶται λέγουσι Πράκα, ἀπόγονον τρίτον Περγάμου τοῦ Νεοπτολέμου. (9) Προϊοῦσι δὲ Ἵππου καλούμενον μνῆμά ἐστι. Τυνδάρεως γὰρ θύσας ἐνταῦθα ἵππον τοὺς Ἑλένης ἐξώρκου μνηστῆρας, ἱστὰς ἐπὶ τοῦ ἵππου τῶν τομίων· ὁ δὲ ὅρκος ἦν, Ἑλένῃ καὶ τῷ γῆμαι προκριθέντι Ἑλένην ἀμύνειν ἀδικουμένοις· ἐξορκώσας δὲ τὸν ἵππον κατώρυξεν ἐνταῦθα. κίονες δὲ ἑπτὰ, οἳ τοῦ μνήματος τούτου διέχουσιν οὐ πολὺ, κατὰ τρόπον οἶμαι τὸν ἀρχαῖον, οὓς ἀστέρων τῶν πλανητῶν φασιν ἀγάλματα. καὶ Κρανίου τέμενος κατὰ τὴν ὁδὸν, ἐπίκλησιν Στεμματίου·

Derrhio ad stadia circiter XX Harplea sunt ad campos usque pertinentia. (8) Iam vero a Sparta in Arcadiam *recta* contendentibus monstrat se Minervae cognomento Pareae signum sub divo. Dehinc Achillis fanum est, quod recludi religio est. At puberibus omnibus, quotcunque in Platanetum pugnaturi descendunt, solenne est Achilli ante pugnam rem divinam facere. Aedificasse fanum dicunt Spartani Pracem pronepotem Pergami eius, qui e Neoptolemo est genitus. (9) Progressis paulo longius est Equi monumentum: Tyndareus enim equo ibi mactato Helenae procos ad exsecta equi exta iussit assistere, ac iuramento super iis adstrinxit: iusiurandum istud erat, eos Helenae, et cui Helenae connubium prae ceteris esset adiudicatum, opem laturos, si quando iniuria lacesserentur. Quum hoc illos sacramento adegisset, equum eo ipso in loco defodit. Prope absunt pilae septem, priscorum (opinor) ritu erectae, quas errantium VII stellarum signa esse aiunt. Iuxta viam Cranii lucus est cognomento

καὶ Μυσίας ἐστὶν ἱερὸν Ἀρτέμιδος. (10) Τὸ δὲ ἄγαλμα
τῆς Αἰδοῦς, τριάκοντά που στάδια ἀπέχον τῆς πόλεως, 263
Ἰκαρίου μὲν ἀνάθημα εἶναι, ποιηθῆναι δὲ ἐπὶ λόγῳ φασὶ
τοιῷδε. ὅτ' ἔδωκεν Ὀδυσσεῖ Πηνελόπην γυναῖκα Ἰκάριος,
ἐπειρᾶτο μὲν κατοικίσαι καὶ αὐτὸν Ὀδυσσέα ἐν Λακεδαί-
μονι, διαμαρτάνων δὲ ἐκείνου δεύτερα τὴν θυγατέρα ἱκέ-
τευε καταμεῖναι, καὶ ἐξορμωμένης ἐς Ἰθάκην ἐπακολου-
θῶν τῷ ἅρματι ἐδεῖτο. Ὀδυσσεὺς δὲ τέως μὲν ἠνείχετο,
τέλος δὲ ἐκέλευε συνακολουθεῖν Πηνελόπην ἑκοῦσαν, ἢ
τὸν πατέρα ἑλομένην ἀναχωρεῖν ἐς Λακεδαίμονα. καὶ τὴν
ἀποκρίνασθαί φασιν οὐδέν· ἐγκαλυψαμένης δὲ πρὸς τὸ
ἐρώτημα, Ἰκάριος τὴν μὲν, ἅτε δὴ συνιεὶς, ὡς βούλεται
ἀπιέναι μετὰ Ὀδυσσέως, ἀφίησιν, ἄγαλμα δὲ ἀνέθηκεν
Αἰδοῦς· ἐνταῦθα γὰρ τῆς ὁδοῦ προήκουσαν ἤδη τὴν
Πηνελόπην λέγουσιν ἐγκαλύψασθαι.

Stemmatii. Est et Mysiae Dianae delubrum. (10) Abest ab urbe stadia circiter XXX Pudoris simulacrum. Icarii donum esse ferunt, et hanc celebrant dedicationis causam. Quum Icarius Ulyssi Penelopen nuptum dedisset, Ulyssis animum tentavit, nunquid Lacedaemone domicilium habere vellet. Quae spes ubi hominem fefellit, filiam orare coepit, *ne se desereret, atque* ut secum permaneret. Quin et Ithacam iam proficiscentem, currum prosecutus, multis sollicitabat precibus. Ulysses tandem victus hominis importunitate, puellae optionem dedit, vel se ut sequeretur, si id mallet, vel cum patre Lacedaemonem rediret: ibi illam aiunt nihil sane respondisse, sed faciem tantum velasse: Icarium, quum sibi probe nosse videretur, quid illa animi haberet, ut cum Ulysse abiret, permisisse: signum vero Pudoris ea in viae parte dedicasse, quo Penelope, quum faciem velavit, pervenerat.

CAPUT XXI.

De Eurota fluvio et Ladae cursoris monumento. — urbe Pellana et memorandis in ea — agro Belemina dicto — vico Croceis — oppido Aegiis et stagno Neptuni — Gytheo et Eleutherolaconibus eorumque urbibus — memorandis in Gytheatarum urbe — Sene (Nereo).

Προελθόντι δὲ αὐτόθεν σταδίους εἴκοσι, τοῦ Εὐρώτα τὸ ῥεῦμα ἐγγυτάτω τῆς ὁδοῦ γίνεται. καὶ Λάδα μνῆμά ἐστιν ὠκύτητι ὑπερβαλλομένου ποδῶν τοὺς ἐπ' αὐτοῦ· καὶ δὴ καὶ Ὀλυμπίασιν ἐστεφανοῦτο δολιχῷ κρατῶν· δοκεῖν δέ μοι, κάμνων αὐτίκα μετὰ τὴν νίκην ἐκομίζετο, καὶ συμβάσης ἐνταῦθά οἱ τελευτῆς, ὁ τάφος ἐστὶν ὑπὲρ τὴν λεωφόρον. τὸν δὲ ὁμώνυμον τούτῳ, νίκην καὶ αὐτὸν Ὀλυμπίασι, πλὴν τοῦ δολιχοῦ, σταδίου δὲ ἀνελόμενον, Ἀχαιὸν ἐξ Αἰγίου φησὶν εἶναι καὶ τὰ ἐς τοὺς Ὀλυμπιονίκας Ἠλείων γράμματα. (2) Προϊόντι δὲ ὡς ἐπὶ τὴν Πελλάναν, Χαράκωμά ἐστι ὀνομαζόμενον, καὶ ἡ μετὰ τοῦτο Πελλάνα πόλις τὸ ἀρχαῖον. Τυνδάρεων δὲ οἰκῆσαί φασιν

Cap. XXI. Qui stadia fere XX processerint, ad Eurotam amnem accedent, qui prope ad ipsam viam decurrit. Ibi Ladae monumentum est, qui pedum celeritate suos omnes aequales vicit. Is in Olympicis ludis de longiore curriculo est coronatus; atque inde (uti ego opinor) statim post victoriam aeger huc reportatus, quum diem suum obisset, supra militarem viam humatus est. Cognominem vero huic alterum, qui et ipse ludis Olympicis victor, non tamen de longiore curriculo, verum de stadio, est renunciatus, Achivum ex Aegio fuisse, Eleorum de iis, qui ex Olympia victores discesserunt, commentarii testantur. (2) Hinc Pellanam versus contendentibus *vicus* est, cui Characoma *(ac si vallum dicas)* nomen. Proxima priscis temporibus fuit Pellana urbs, in qua Tyndareum habitasse tradunt, quum e

ἐνταῦθα, ὅτε Ἱπποκόωντα καὶ τοὺς παῖδας ἔφευγεν ἐκ Σπάρτης. θέας δὲ ἄξια αὐτόθι ἰδὼν Ἀσκληπιοῦ τε οἶδα ἱερὸν καὶ τὴν πηγὴν Πελλανίδα. ἐς ταύτην λέγουσιν ὑδρευομένην ἐσπεσεῖν παρθένον, ἀφανισθείσης δὲ τὸ κάλυμμα ἀναφανῆναι τὸ ἐπὶ τῆς κεφαλῆς ἐν ἑτέρᾳ πηγῇ Λαγκείᾳ. (3) Πελλάνας δὲ ἑκατὸν στάδια ἀπέχει Βελεμί- 264
να καλουμένη. τῆς δὲ χώρας τῆς Λακωνικῆς ἡ Βελεμίνα μάλιστα ἄρδεσθαι πέφυκεν, ἥντινα διοδεύει μὲν τοῦ Εὐρώτα τὸ ὕδωρ, παρέχεται δὲ ἀφθόνους καὶ αὐτὴ πηγάς. (4) Ἐπὶ θάλασσάν τε ἐς Γύθιον καταβαίνοντί ἐστι Λακεδαιμονίοις ἡ κώμη καλουμένη Κροκέαι. ἧς ἡ λιθοτομία, μία μὲν πέτρα συνεχὴς οὐ διήκουσα, λίθοι δὲ ὀρύσσονται σχῆμα τοῖς ποταμίοις ἐοικότες, ἄλλως μὲν δυσεργεῖς, ἢν δὲ ἐξεργασθῶσιν, ἐπικοσμήσαιεν ἂν καὶ θεῶν ἱερά· κολυμβήθραις δὲ καὶ ὕδασι συντελοῦσι μάλιστα ἐς κάλλος. θεῶν δὲ αὐτόθι, πρὸ μὲν τῆς κώμης Διὸς Κροκεάτα λίθου πεποιημένον ἄγαλμα ἕστηκε, Διόσκουροι δὲ ἐπὶ τῇ λιθοτομίᾳ χαλκοῖ. (5) Μετὰ δὲ Κροκέας ἀποτραπεῖσιν ἐς δεξιὰν

Sparta, Hippocoontem eiusque filios fugiens, excessisset. Hic, quae conspicerentur digna, Aesculapii fanum, et Pellanida fontem vidi. In eum fontem virginem aquam haurientem concidisse narrant: eius vero capitis velamen in alio fonte, cui Lancea nomen, repertum. (3) Abest a Pellana stadia ferme centum agri Laconici pars ea, quae Belemina dicitur, Locus est maxime irriguus, quem nempe Eurotae aqua interluit. Multis certe ac perennibus scatet fontibus. (4) Qua vero Gythion ad mare descenditur, vicus est Lacedaemoniis, cui Croceae nomen: in eo lapicidinae perpetuo ac nusquam interrupto saxo. Caeduntur inde lapides fluvialibus haud absimiles, qui caelo sane nonnihil repugnant; elaborati tamen et expoliti, suam habent etiam in deorum cellis exornandis gratiam: multum iidem et piscinis et aquarum ductibus afferunt decoris. Stat ante vicum lapide elaboratum Croceatae Iovis simulacrum: proxime ad lapicidinas Castores ex aere. (5) A Croceis divertens ad dexteram de recta, quae

ἀπὸ τῆς ἐς Γύθιον εὐθείας, ἐπὶ πόλισμα ἥξεις Αἰγίας. Ὅμηρον δὲ ἐν τοῖς ἔπεσι τὸ πόλισμα τοῦτο ὀνομάζειν λέγουσιν Αὐγειάς. ἐνταῦθά ἐστι μὲν λίμνη καλουμένη Ποσειδῶνος· ἔστι δὲ ἐπὶ τῇ λίμνῃ ναὸς καὶ ἄγαλμα τοῦ θεοῦ. τοὺς δὲ ἰχθῦς δεδοίκασιν ἐξαιρεῖν, τὸν θηρεύσαντα ἁλιέα γενέσθαι λέγοντες ἐξ ἀνθρώπου.

(6) Γύθιον δὲ ἀπέχει μὲν σταδίους τριάκοντα Αἰγιῶν, ἐπὶ θαλάσσῃ δὲ ᾠκισμένον ἐστὶν ἤδη τῶν Ἐλευθερολακώνων, οὓς βασιλεὺς Αὔγουστος δουλείας ἀφῆκε Λακεδαιμονίων τῶν ἐν Σπάρτῃ κατηκόους ὄντας. θαλάσσῃ μὲν δή, πλὴν τοῦ Κορινθίων Ἰσθμοῦ, περιέχεται πᾶσα ἡ Πελοπόννησος· κόχλους δὲ ἐς βαφὴν πορφύρας παρέχεται τὰ ἐπιθαλάσσια τῆς Λακωνικῆς ἐπιτηδειοτάτας μετά γε τὴν Φοινίκων θάλασσαν. Ἀριθμὸς δὲ τῶν Ἐλευθερολακώνων ὀκτὼ πόλις καὶ δέκα εἰσί. πρώτη μὲν καταβᾶσιν ἐξ Αἰγιῶν ἐπὶ θάλασσαν Γύθιον, μετὰ δὲ αὐτὴν Τευθρώνη τε καὶ Λᾶς, καὶ Πύῤῥιχος· ἐπὶ Ταινάρῳ δὲ Καινήπολις,
265 Οἴτυλός τε καὶ Λεῦκτρα, καὶ Θαλάμαι, πρὸς δὲ Ἀλαγονία

Gythion ducit, ad oppidulum venias, quae vocantur Aegiae. Id esse putant, quod Homerus carminibus Augeas appellarit. Est eo in loco stagnum, quod Neptuni dicitur. In eius ferme ripa eiusdem delubrum dei et simulacrum. E stagno pisces metuunt extrahere, quod, qui eos ceperit, mortuum esse dictitant. (6) Ab Aegiis distat Gytheum stadia XXX. Ad mare situm est, atque incolitur iam ab Eleutherolaconibus, quos Imperator Augustus servitutis iugo liberavit, quum ante Spartanis parerent. Mari vero tota incingitur Peloponnesus, parte ea excepta, ubi Corinthiorum Isthmus est. Fert autem Laconicum mare conchylia, ex quibus ad infecturam vestium purpura comparatur, nobilitate solis iis, quae in Phoenicum mari capiuntur, inferiora. Urbes quidem Eleutherolaconum XVIII exstant: quarum prima ab Aegiis ad mare descendentibus est Gytheum, deinceps Teuthrone, Las, Pyrrhichus: ad Taenarum Caenepolis, Oetylos, Leuctra, Thalamae, Alagonia,

τε καὶ Γερηνία· τὰ δὲ ἐπέκεινα Γυθίου πρὸς θαλάσσῃ, Ἀσωπὸς, Ἀκριαὶ, Βοιαὶ, Ζάραξ, Ἐπίδαυρος ἡ Λιμηρὰ, Βρασιαὶ, Γερόνθραι, Μαριός. αὗται μὲν οὖν εἰσιν αἱ λοιπαὶ τῶν Ἐλευθερολακώνων ἀπὸ τεσσάρων ποτὲ καὶ εἴκοσι πόλεων. τὰς δὲ ἄλλας, ἐφ' ἃς ἂν καὶ αὐτὰς ὁ λόγος ἐπέλθῃ δή μοι, συντελούσας ἴστω τὶς ἐς Σπάρτην, καὶ οὐχ ὁμοίως τοῖς προλεχθεῖσιν αὐτονόμους. (7) Γυθεᾶται δὲ τῆς πόλεως ἀνθρώπων μὲν οὐδένα οἰκιστὴν γενέσθαι λέγουσιν, Ἡρακλέα δὲ καὶ Ἀπόλλωνα ὑπὲρ τοῦ τρίποδος ἐς ἀγῶνα ἐλθόντας, ὡς διηλλάγησαν, μετὰ τὴν ἔριν οἰκίσαι κοινῇ τὴν πόλιν. καὶ ἐν τῇ ἀγορᾷ σφισιν Ἀπόλλωνος καὶ Ἡρακλέους ἐστὶν ἀγάλματα, πλησίον δὲ αὐτῶν Διόνυσος. ἑτέρωθι δὲ Ἀπόλλων Καρνίας, καὶ ἱερὸν Ἄμμωνος, καὶ Ἀσκληπιοῦ χαλκοῦν ἄγαλμά ἐστιν, οὐκ ἔχοντος ὀρόφου τῷ ναῷ, καὶ πηγὴ τοῦ θεοῦ, καὶ Δήμητρος ἱερὸν ἅγιον, καὶ Ποσειδῶνος ἄγαλμα Γαιαούχου. (8) Ὃν δὲ ὀνομάζουσι Γυθεᾶται Γέροντα, οἰκεῖν ἐν θαλάσσῃ φάμε-

Gerenia: et ad mare *propius multo* ultra Gytheum Asopus, Acriae, Boeae, Zarax, Epidaurus *cognomento* Limera, Brasiae, Geronthrae, Marios. Atque hae quidem reliquae sunt Eleutherolaconum urbes, quum ante quatuor et viginti fuissent. Ceteras, quas iam persequar, in curias eas descriptas esse sciat, qui haec leget, quae Spartana civitate continentur, quaeque cum ea censentur neque suis legibus utuntur, uti quae iam enumeratae sunt. (7) Gytheatae nemini omnino mortalium origines suas acceptas referunt, sed Herculem et Apollinem memorant, quum in certamen de tripode descendissent, iam lite dirempta oppidum communi ope atque consilio condidisse. Quare in foro sua sunt dis ipsis posita simulacra, Apollini scilicet et Herculi. Proxime est Liber Pater, et in diversa fori parte Apollo Carnias. Est item Ammonis aedes, et Aesculapii statua ex aere: aedes ipsa est sine tecto: tum deo dicatus fons, et Cereris sacrosanctum delubrum: praeterea Neptuni Gaeaüchi signum. (8) Quem vero Gytheatae senem nominant, et in mari habitare dicunt

νοι, Νηρέα ὄντα εὕρισκον· καὶ σφισι τοῦ ὀνόματος τούτου παρέσχεν ἀρχὴν Ὅμηρος ἐν Ἰλιάδι ἐν Θέτιδος λόγοις·

Ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον,
Ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρός.

καλοῦνται δὲ ἐνταῦθα καὶ πύλαι Καστορίδες, καὶ ἐν τῇ ἀκροπόλει ναὸς καὶ ἄγαλμα Ἀθηνᾶς πεποίηται.

CAPUT XXII.

De Argo lapide — insula Cranaë et memorandis in ea — Trinasi muris et reliquiis urbis Helus — urbe Acriis ejusque memorandis — Geronthris et ibi memorandis — Mario urbe — Asopo urbe ejusque memorandis — promontorio asini maxilla dicto — urbe Boeis, ejusque origine et memorandis.

Γυθίου δὲ τρεῖς μάλιστα ἀπέχει σταδίους ἀργὸς λίθος. Ὀρέστην λέγουσι καθεσθέντα ἐπ' αὐτοῦ παύσασθαι τῆς μανίας· διὰ τοῦτο ὁ λίθος ὠνομάσθη Ζεὺς Καππώτας
266 κατὰ γλῶσσαν τὴν Δωρίδα. (2) Ἡ δὲ νῆσος ἡ Κρανὴ πρόκειται Γυθίου· καὶ Ὅμηρος Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐνταῦθα ἔφη συγγενέσθαι οἱ πρῶτον. κατὰ δὲ τὴν

Nerea esse coniicio; et e versibus illis Homeri, in quibus Thetidi sermonem tribuit, nomen hoc duxisse interpretor:

Vos agite interea ponti vada lata subite,
Visurae aequoreumque senem, et penetralia patris.

Sunt hac in regione portae, quae Castorides nuncupantur. In arce Minervae aedes et signum.

Cap. XXII. A Gytheo stadia tria distat lapis, qui Ociosus dicitur. Orestem aiunt, quum ibi sedisset, insania liberatum. Ex rei eventu lapis ille Iupiter vocatus est Cappotes Doriensium lingua. (2) Ante Gytheum Cranaë insula est: in qua Alexandrum, rapta Helena, cum ea primum congressum Homerus dixit. Quare in continentis

νῆσον ἱερόν ἐστιν Ἀφροδίτης ἐν τῇ ἠπείρῳ Μιγωνίτιδος, καὶ ὁ τόπος οὗτος ἅπας καλεῖται Μιγώνιον. τοῦτο μὲν δὴ τὸ ἱερὸν ποιῆσαι λέγουσιν Ἀλέξανδρον. Μενέλαος δὲ Ἴλιον ἑλὼν, καὶ ἔτεσιν ὕστερον ὀκτὼ μετὰ Τροίας πόρθησιν οἴκαδε ἀνασωθεὶς, ἄγαλμα Θέτιδος καὶ θεᾶς Πραξιδίκας ἱδρύσατο ἐγγὺς τῆς Μιγωνίτιδος. Διονύσου δὲ ὄρος ἱερὸν, Λαρύσιον καλούμενόν ἐστιν ὑπὲρ τοῦ Μιγωνίου. καὶ ἦρος ἀρχομένου, Διονύσου τὴν ἑορτὴν ἄγουσιν, ἄλλα τε ἐς τὰ δρώμενα λέγοντες, καὶ ὡς βότρυν ἐνταῦθα ἀνευρίσκουσιν ὡραῖον. (3) Ἐν ἀριστερᾷ δὲ Γυθίου στάδια προελθόντι ὡς τριάκοντά ἐστιν ἐν τῇ ἠπείρῳ Τρινασοῦ καλουμένης τείχη, φρουρίου ποτὲ (ἐμοὶ δοκεῖν) καὶ οὐ πόλεως. γενέσθαι δέ οἱ δοκῶ τὸ ὄνομα ἀπὸ τῶν νησίδων, αἳ ταύτης πρόκεινται τῆς ἠπείρου τρεῖς ἀριθμόν. προελθόντι δὲ ἀπὸ Τρινασοῦ στάδια ὡς ὀγδοήκοντα, τοῦ Ἕλους τὰ ἐρείπια ὑπόλοιπα ἦν. (4) Καὶ μετὰ ταῦτα τριάκοντα προελθόντι που σταδίους, ἐπὶ θαλάσσης πόλις ἐστὶν Ἀκριαί. θέας δὲ αὐτόθι ἄξια Μητρὸς θεῶν

terrae adverso litore Veneris est Migonitidis aedes; *quod est ac si Coniugalis dixeris:* ac regio illa tota Migonium vocatur. Templum quidem Alexandrum tradunt faciundum curasse. At Menelaus octavo ferme post Troiae eversionem anno domum incolumis reversus, proxime ad Migonitidis signum Thetidis et deae Praxidicae (*quasi Vindicatricis dicas*) dedicavit. Libero vero Patri supra Migonium sacer mons est, quem vocant Larysium: *eo in loco* vere ineunte festos agitant Libero dies. Sacri quum alias referunt causas, tum quod ibi primum uvam maturam reperiant. (3) Ad Gythei laevam, stadia ad XXX progressis, in continenti terra muri sunt Trinasi. Sic enim appellatur locus ille: quem ego quondam castellum, non oppidum, fuisse arbitror. Ac nomen ei inditum reor a parvis insulis, quae contra litus sunt numero tres. A Trinaso stadia circiter LXXX ruinae murorum absunt, Helos ubi olim urbs fuit. (4) Iam stadia procul XXX oppidum est maritimum Acriae. Illic, quae spectentur, di-

ναὸς, καὶ ἄγαλμα λίθου. παλαιότατον δὲ τοῦτο εἶναί φασιν οἱ τὰς Ἀκριὰς ἔχοντες, ὁπόσα τῆς θεοῦ ταύτης Πελοποννησίοις ἱερά ἐστιν· ἐπεὶ Μάγνησί γε, οἳ τὰ πρὸς Βοῤῥᾶν νέμονται τοῦ Σιπύλου, τούτοις ἐπὶ Κοδδίνου πέτρᾳ Μητρός ἐστι θεῶν ἀρχαιότατον ἁπάντων ἄγαλμα· ποιῆσαι δὲ οἱ Μάγνητες αὐτὸ Βροτέαν λέγουσι τὸν Ταντάλου. Ἀκριᾶται δὲ καὶ ἄνδρα ποτὲ ὀλυμπιονίκην παρέ-
267 σχοντο Νικοκλέα, Ὀλυμπιάσι δύο ἀνελόμενον δρόμου νίκας πέντε. πεποίηται δὲ καὶ μνῆμα τῷ Νικοκλεῖ τοῦ τε γυμνασίου μεταξὺ καὶ τοῦ τείχους τοῦ πρὸς τῷ λιμένι. (5) Ἀπὸ θαλάσσης δὲ ἄνω Γερόνθραι σταδίους ἀπέχουσιν εἴκοσι καὶ ἑκατὸν Ἀκριῶν. ταύτας οἰκουμένας, πρὶν Ἡρακλείδας ἐλθεῖν ἐς Πελοπόννησον, ἐποίησαν ἀναστάτους Δωριεῖς οἱ Λακεδαίμονα ἔχοντες. ἀναστήσαντες δὲ Γερονθρῶν τοὺς Ἀχαιοὺς, παρὰ σφῶν ἐποίκους ἀπέστειλαν. ἐπ' ἐμοῦ δὲ Ἐλευθερολακώνων καὶ οὗτοι μοιρὰς ἦσαν. κατὰ μὲν δὴ τὴν ἐξ Ἀκριῶν ἐς Γερόνθρας ὁδὸν

gna matris Deûm aedes et e marmore signum. Et hoc quidem operum omnium vetustissimum eorum, quae exstant apud Peloponnesios matri Deûm dicata, praedicant, qui Acrias incolunt. Nam Magnesii, qui in Sipyli parte ea sunt, quae ad Aquilones conversa est, super saxo, quod appellant Coddini, signum eiusdem deae habent longe omnium antiquissimum: Brotean vero illud Tantali filium fecisse perhibent. Acriatae Nicoclem Olympionicen ediderunt, qui binis ludis de cursu palmas quinque tulit. Monumentum Nicocli erectum est inter gymnasium, et eam murorum partem, quae cum portu coniuncta est. (5) Ab eadem maritima parte supra Acrias ad stadia ferme CXX absunt Geronthrae. Eam urbem celebrem ante Heraclidarum in Peloponnesum adventum Dorienses, quorum erat in potestate Lacedaemon, everterunt, pulsisque veteribus incolis, coloniam deduxerunt. Aetate quidem mea civitas haec in Eleutherolaconum censum refertur. In ipsa via, qua Geronthras ab Acriis iter, pagus

ἐστι Παλαιὰ καλουμένη κώμη. ἐν δὲ αὐταῖς Γερόνθραις Ἄρεως ναὸς καὶ ἄλσος. ἑορτὴν δὲ ἄγουσι τῷ θεῷ κατὰ ἔτος, ἐν ᾗ γυναιξὶν ἐστιν ἀπηγορευμένον ἐς τὸ ἄλσος ἐσελθεῖν. περὶ δὲ τὴν ἀγοράν σφισιν αἱ πηγαὶ τῶν ποτίμων εἰσὶν ὑδάτων. ἐν δὲ τῇ ἀκροπόλει ναός ἐστιν Ἀπόλλωνος, καὶ ἀγάλματος ἐλέφαντος πεποιημένη κεφαλή· τὰ δὲ λοιπὰ τοῦ ἀγάλματος πῦρ ἠφάνισεν ὁμοῦ τῷ προτέρῳ ναῷ. (6) Μαριὸς δὲ ἄλλο Ἐλευθερολακώνων πόλισμα, ὃ ἀπὸ Γερονθρῶν στάδια ἑκατὸν ἀφέστηκεν. ἱερόν ἐστιν αὐτόθι ἀρχαῖον κοινὸν θεῶν ἁπάντων, καὶ περὶ αὐτὸ ἄλσος παρεχόμενον πηγάς· εἰσὶ δὲ καὶ ἐν Ἀρτέμιδος ἱερῷ πηγαί. ὕδωρ δὲ ἄφθονον, εἴπερ ἄλλο τι χωρίον, παρέχεται καὶ Μαριός. Κώμη δὲ ὑπὲρ τὸ πόλισμά ἐστιν ἐν μεσογαίᾳ καὶ αὐτή, Γλυππία. καὶ ἐς κώμην ἑτέραν Σελινοῦντα ἐκ Γερονθρῶν ἐστιν ὁδὸς σταδίων εἴκοσι. τάδε μὲν ἀπὸ Ἀκριῶν ἄνω πρὸς ἤπειρον. (7) Τὰ δὲ πρὸς θαλάσσῃ, πόλις Ἀσωπὸς Ἀκριῶν ἀπέχει σταδίους ἑξήκοντα. ἐν αὐτῇ δὲ ναὸς Ῥωμαίων βασιλέων, καὶ ἀνωτέρω τῆς πόλεως, ὅσον γε σταδίους δώδεκα, ἱερόν ἐστιν Ἀσκλη-

est, qui Priscus dicitur. Geronthris Martis delubrum et lucus. Sacra ibi faciunt anniversaria, quibus foeminis est interdictum. Circa forum dulcium aquarum fontes sunt. In arce Apollinis aedes, et signi ex ebore caput. Quod signi fuit reliquum, una cum vetustiore templo ignis abolevit. (6) At Marios, aliud Eleutherolaconum oppidum, a Geronthris distat stadia C. Priscum ibi est diis omnibus commune templum. Proximus lucus multis irriguus fontibus. Sunt et in Dianio fontes. Perennibus quidem aquis aeque atque alia regio Marios abundat. Pagus est supra oppidum Glyppia, et hic interior a mari. Et ad alterum a Geronthris pagum, Selinuntem *nomine*, via est stadium XX. (7) Atque haec loca interius sita sunt, si ab Acriis in continentem adscendatur. Rursum ad mare Acriis LX stadia distat oppidum Asopus. In eo Romanorum Imperatorum templum: et supra oppidum stadia plus minus XII Aesculapii fanum est. Deum ipsum

κιοῦ· Φιλόλαον τὸν θεὸν ὀνομάζουσι. τὰ δὲ ὀστᾶ ἐν τῷ
γυμνασίῳ τὰ τιμώμενα μεγέθει μὲν ὑπερβάλλοντα, ἀν-
268 θρώπου δὲ ὅμως ἐστί. καὶ Ἀθηνᾶς ἱερόν ἐστιν ἐν τῇ ἀκρο-
πόλει Κυπαρισσίας ἐπίκλησιν. τῆς δὲ ἀκροπόλεως πρὸς
τοῖς ποσὶ πόλεως ἐρείπια καλουμένης Ἀχαιῶν τῶν Παρα-
κυπαρισσίων. ἔστι δὲ ἐν τῇ γῇ ταύτῃ καὶ ἱερὸν Ἀσκλη-
πιοῦ στάδια ἀπέχον ὡς πεντήκοντα Ἀσωποῦ. τὸ δὲ χω-
ρίον, ἔνθα τὸ Ἀσκληπιεῖον, Ὑπερτελέατον ὀνομάζουσιν.
(8) Ἄκρα δὲ ἀνέχουσα ἐς θάλασσαν ἀφέστηκεν Ἀσωποῦ
διακόσια στάδια· καλοῦσι δὲ Ὄνου γνάθον τὴν ἄκραν.
ἐνταῦθά ἐστιν Ἀθηνᾶς ἱερὸν ἄγαλμα οὐκ ἔχον, οὐδὲ ὄρο-
φος ἔπεστιν ἐπ' αὐτῷ· λέγεται δὲ, ὡς ὑπὸ Ἀγαμέμνονος
ἐποιήθη. ἔστι δὲ καὶ μνῆμα Κινάδου· νεὼς τῆς Μενελάου
καὶ οὗτος κυβερνήτης ἦν. (9) Ἐσέχει δὲ μετὰ τὴν ἄκραν
Βοιατικὸς καλούμενος κόλπος, καὶ Βοιαὶ πόλις πρὸς τῷ
πέρατί ἐστι τοῦ κόλπου. ταύτην ᾤκισε μὲν Βοιὸς τῶν
Ἡρακλειδῶν, συναγαγεῖν δὲ ἄνδρας ἀπὸ τριῶν ἐς αὐτὴν
λέγεται πόλεων, Ἠτίδος, Ἀφροδισιάδος, καὶ Σίδης. τῶν

Philolaum nominant; *quod est ac si Publicolam dicas.* Ossa ea, quibus in gymnasio honos habetur, sunt illa quidem insigni magnitudine, hominis tamen fuerunt. Est et Minervae in arce aedes, cognomento Cyparissiae. Ad imam arcis partem ruinae sunt oppidi, quod Achivorum Paracypariseiorum nuncupatur. In his item finibus est Aesculapii fanum, quod ab Asopo distat stadia L. Regiunculam eam, in qua Aesculapii fanum est, Hyperteleaton vocant. (8) Excurrit in mare procul ab Asopo stadia CC promontorium, quam Asini maxillam nominant. Est in ipso Minervae templum sine signo et tecto: factum tradunt ab Agamemnone. Est et Cinadi monumentum. Fuit et hic Menelai gubernator. (9) Infra promontorium aperit se Boeaticus sinus, in cuius extremo cornu Boeae urbs est. Eius fuit conditor Boeus, unus de Herculis filiis: e tribus civitatibus, Etiade, Aphrodisiade, et Sida, colonia deducta. Illarum vero priscarum

δὲ πόλεων τῶν ἀρχαίων τὰς μὲν δύο ἐς Ἰταλίαν φεύγοντα Αἰνείαν καὶ ὑπὸ πνευμάτων ἀπενεχθέντα ἐς τοῦτον τὸν κόλπον οἰκίσαι φασίν, τὴν Ἠτιάδα Αἰνείου θυγατέρα λέγοντες εἶναι· τὴν τρίτην δὲ κληθῆναι τῶν πόλεων λέγουσιν ἀπὸ τῆς Δαναοῦ Σίδης. ἀπὸ δὴ τούτων τῶν πόλεων ἀναστάντες ἐζήτουν, ἔνθα οἰκῆσαι σφᾶς χρεὼν εἴη· καί τι καὶ μάντευμα ἦν αὐτοῖς Ἄρτεμιν, ἔνθα οἰκήσουσιν, ἐπιδείξειν. ὡς οὖν ἐκβᾶσιν ἐς τὴν γῆν λαγὼς ἐπιφαίνεται, τὸν λαγὼν ἐποιήσαντο ἡγεμόνα τῆς ὁδοῦ· καταδύντος δὲ ἐς μυρσίνην, πόλιν τε οἰκίζουσιν ἐνταῦθα, οὗπερ ἡ μυρσίνη ἦν, καὶ τὸ δένδρον ἔτι ἐκείνην σέβουσι τὴν μυρσίνην, καὶ Ἄρτεμιν ὀνομάζουσι Σώτειραν. καὶ Ἀπόλλωνος ναὸς ἐν τῇ Βοιατῶν ἀγορᾷ ἐστι, καὶ ἑτέρωθι Ἀσκληπιοῦ, καὶ Σαράπιδός τε καὶ Ἴσιδος. ἐρείπια ἀπέχει μὲν Βοιῶν οὐ πλέον ἢ σταδίους ἑπτά, ἰόντι δὲ ἐς αὐτά, ἄγαλμα Ἑρμοῦ λίθινον ἕστηκεν ἐν ἀριστερᾷ, καὶ ἐν τοῖς ἐρειπίοις ἱερὸν Ἀσκληπιοῦ καὶ Ὑγιείας ἐστὶν οὐκ ἀφανές.

urbium duas in hunc sinum tempestate delatum Aenean, dum in Italiam fugeret, condidisse ferunt, et alteram de filiae Etiadis nomine appellasse. Tertiae a Sida Danai filia nomen datum. Ex his civitatibus profugi, quum quaererent ubi consisterent, responsum acceperunt, Dianam, quo loco urbem conderent, monstraturam. In terram expositis se lepus ostendit. Quem secuti, tanquam viae ducem, quum ille se ad myrtum recepisset, eo ipso in loco, ubi myrtus illa fuit, oppidum munierunt. Stirpem eandem nunc etiam colunt, et Dianam celebrant Servatricem. In Boeensium foro Apollinis delubrum est; et alia in regione Aesculapii. Serapidis vero et Isidis rudera absunt Boeis haud amplius stadia VII. Ad laevam huc euntibus adstat Mercurii e marmore simulacrum. Et inter rudera facile conspici potest Aesculapii et Hygiae templum.

CAPUT XXIII.

De insula Cytheris, ejus navali Scandia, Veneris Coelestis templo et aliis memorandis — Apolline Epidelio et Delo insula a Menophane Mithridatis duce funditus eversa — Menophanis et Mithridatis morte — Epidauro Limera dicta — Inus aquae portendendi vi, eademque Aetnae crateris — memorandis in urbe Epidauro — promontorio Minoa.

269 Κύθηρα δὲ κεῖται μὲν ἀκαντικρὺ Βοιῶν. ἐς δὲ Πλατανιστοῦντα (ἐλάχιστον γὰρ τῆς ἠπείρου ταύτῃ διέστηκεν ἡ νῆσος) ἐς ταύτην τὴν ἄκραν τὸν Πλατανιστοῦντα ἀπὸ ἄκρας τῆς ἠπείρου, καλουμένης δὲ Ὄνου γνάθου, σταδίων πλοῦς τεσσαράκοντά ἐστιν. ἐν Κυθήροις δὲ ἐπὶ θαλάσσῃ Σκάνδειά ἐστιν ἐπίνειον. Κύθηρα δὲ ἡ πόλις ἀναβάντι ἀπὸ Σκανδείας στάδια ὡς δέκα. τὸ δὲ ἱερὸν τῆς Οὐρανίας ἁγιώτατον, καὶ ἱερῶν ὁπόσα Ἀφροδίτης παρ' Ἕλλησίν ἐστιν ἀρχαιότατον. αὐτὴ δὲ ἡ θεὸς ξόανον ὡπλισμένον. πλέοντι δ' ἐκ Βοιῶν, τῶν ὑπὲρ τὴν ἄκραν τῆς Μαλέας, λίμνη ἐστὶν ὀνομαζόμενον Νύμβαιον, καὶ Ποσειδῶνος ἄγαλμα ὀρθὸν, καὶ σπήλαιον θαλάσσης ἐγγύτατα, ἐν δὲ αὐτῷ γλυκέος ὕδατος πηγή· καὶ ἄνθρωποι περιοι-

Cap. XXIII. Contra Boeas Cythera sita sunt. Ad Platanistuntem (ab ea enim parte ut minimum distat a continenti insula haec) sed ad Platanistuntem promontorium ab eo promontorio, quod in ora Asini maxillam diximus appellari, navigatio interest stadiûm XL. Habent maritima Cytherorum Scandean navale. A Scandea ad ipsa Cytherorum moenia ascenditur stadiûm X via. Est illic Uraniae Veneris fanum, eorum omnium, quae apud Graecos Veneri dicata sunt, maxime priscum et sacrosanctum. Deae signum cum armis est. A Boeis ad ea, quae supra Malean promontorium sunt, navigantibus, stagnum est, quod Nymbaeum nominant. Prope Neptuni signum recto statu, et mari vicina spelunca, in qua dulcis aquae fons. Frequens est locus circumquaque

κοῦσι πολλοί. (2) Περικλεύσαντι δὲ τὴν ἄκραν τῆς Μαλέας καὶ ἑκατὸν στάδια ἀποσχόντι, ἐπὶ θαλάσσῃ χωρίον ἐν ὅροις Βοιατῶν Ἀπόλλωνος μὲν ἱερόν ἐστιν, Ἐπιδήλιον δὲ ὀνομαζόμενον· τὸ γὰρ τοῦ Ἀπόλλωνος ξόανον, ὃ νῦν ἐστιν ἐνταῦθα, ἐν Δήλῳ ποτὲ ἵδρυτο. τῆς γὰρ Δήλου τότε ἐμπορίου τοῖς Ἕλλησιν οὔσης, καὶ ἄδειαν τοῖς ἐργαζομένοις διὰ τὸν θεὸν δοκούσης παρέχειν, Μηνοφάνης Μιθριδάτου στρατηγὸς, εἴτε αὐτὸς ὑπερφρονήσας, εἴτε καὶ ὑπὸ Μιθριδάτου προστεταγμένον (ἀνθρώπῳ γὰρ ἀφορῶντι ἐς κέρδος τὰ θεῖα ὕστερα λημμάτων), οὗτος οὖν ὁ Μηνοφάνης, ἅτε οὔσης ἀτειχίστου τῆς Δήλου, καὶ ὅπλα οὐ κεκτημένων ἀνδρῶν, τριήρεσιν ἐσπλεύσας ἐφόνευσε μὲν τοὺς ἐπιδημοῦντας τῶν ξένων, ἐφόνευσε δὲ αὐτοὺς τοὺς Δηλίους· κατασύρας δὲ πολλὰ μὲν ἐμπόρων χρήματα, πάντα δὲ ἀναθήματα, προσεξανδραποδισάμενος δὲ καὶ γυναῖκας καὶ τέκνα, καὶ αὐτὴν ἐς ἔδαφος κατέβαλε τὴν Δῆλον. ἅτε δὲ πορθουμένης τε καὶ ἁρπαζομένης, τῶν τις βαρβάρων ὑπὸ ὕβρεως τὸ ξόανον τοῦτο ἀπέῤῥιψεν ἐς τὴν θάλασσαν. ὑπολαβὼν δὲ ὁ κλύδων, ἐνταῦθα τῆς

incolentium hominum multitudine. (2) Malean praetervectis ad C fere stadia, vicus est Apollini sacer in ipsis Boeatarum finibus, cui nomen Epidelium. Quae enim eo in loco nunc visitur Apollinis effigies, eadem est, quae olim Deli dedicata fuit. Nam quum esset Delos totius olim Graeciae emporium, eaque sola religione munita contra omnes omnium iniurias incolas tueretur, exortus est Menophanes quidam Mithridatis copiarum dux, qui vel suapte insolentia, vel regis imperio impulsus (homini enim ad pecuniam omnia referenti facile divina quaestu inferiora sunt) in insulam quum murorum, tum armorum praesidio carentem cum classe invasit: ubi et peregrinis, qui illic tunc forte erant, et civibus caesis, negotiatorum pecunia direpta, donariis compilatis, coniugibus Deliorum et liberis sub corona venditis, ipsam etiam urbem solo aequavit. In ea populatione barbarorum quidam effigiem (*de qua diximus*) petulanter *sede sua motam* in mare

270 Βοιατῶν ἀπήνεγκε· καὶ τὸ χωρίον διὰ τοῦτο Ἐπιδήλιον ὀνομάζουσι. (3) Τὸ μέν τοι μήνιμα τὸ ἐκ τοῦ θεοῦ διέφυγεν οὔτε Μηνοφάνης, οὔτε αὐτὸς Μιθριδάτης· ἀλλὰ Μηνοφάνην μὲν παραυτίκα, ὡς ἀνήγετο ἐρημώσας τὴν Δῆλον, λοχήσαντες ναυσὶν οἱ διαπεφευγότες τῶν ἐμπόρων καταλύουσιν, Μιθριδάτην δὲ ὕστερον τούτων ἠνάγκασεν ὁ θεὸς αὐτόχειρα αὑτοῦ καταστῆναι, τῆς τε ἀρχῆς οἱ καθῃρημένης, καὶ ἐλαυνόμενον πανταχόθεν ὑπὸ Ῥωμαίων. εἰσὶ δὲ οἵ φασιν, αὐτὸν παρά του τῶν μισθοφόρων θάνατον βίαιον ἐν μέρει χάριτος εὕρασθαι. τούτοις μὲν τοιαῦτα ἀπήντησεν ἀσεβήσασι. (4) Τῆς δὲ Βοιατῶν ὅμορος Ἐπίδαυρός ἐστιν ἡ Λιμηρά, σταδίους ὡς διακοσίους ἀπέχουσα Ἐπιδηλίου. φασὶ δὲ οὐ Λακεδαιμονίων, τῶν δὲ ἐν τῇ Ἀργολίδι Ἐπιδαυρίων εἶναι, πλέοντες δὲ ἐς Κῶν παρὰ τὸν Ἀσκληπιὸν ἀπὸ τοῦ κοινοῦ προσχεῖν τῆς Λακωνικῆς ἐνταῦθα, καὶ ἐξ ἐνυπνίων γενομένων σφίσι καταμείναντες οἰκῆσαι. λέγουσι δὲ καὶ ὡς οἴκοθεν ἐκ τῆς Ἐπιδαύρου

abiecit. Ea maris aestu in hos Boeatarum fines delata loco nomen dedit Epidelium. (3) Verum dei iram neque Menophanes, neque Mithridates ipse effugit. Mox enim post Deli calamitatem, quum in altum proveheretur Menophanes, qui eius manus effugerant negotiatores, navibus ex insidiis adorti, hominem occiderunt: Mithridatem vero coegit deus ipsum manus sibi consciscere, quum amisso iam regno a Romanis huc illuc pulsus nuspiam posset consistere. Sunt, qui illum dicant ab uno de barbaris mercenariis magni beneficii loco impetrasse, ut se conficeret. Has violati numinis poenas impii homines dederunt. (4) Finitima est Boeatis Epidaurus, Limera cognomento. Abest ab Epidelio stadia circiter CC. Esse vero *eam coloniam* aiunt non Lacedaemoniorum, sed Epidauriorum, qui intra Argivorum fines sunt. Quum enim legati ab Epidauriis publice in Coon insulam ad Aesculapium missi, ad hanc agri Laconici oram appulissent, somniis quibusdam monitos sedem eo in loco statuisse memorant. Quin anguem etiam, quem secum Epidauro abduxerant, a

δράκοντα ἐπαγομένοις αὐτοῖς ἐξέφυγεν ἐκ τῆς νεὼς ὁ δράκων· ἐκφυγὼν δὲ οὐ πόῤῥω κατέδυ θαλάσσης, καὶ σφισιν ὁμοῦ τῶν ὀνειράτων τῇ ὄψει, καὶ ἀπὸ τοῦ σημείου τοῦ κατὰ δράκοντα ἔδοξεν, αὐτόθι καταμείναντας οἰκῆσαι. καὶ ἔνθα ὁ δράκων κατέδυ, βωμοί τε εἰσιν Ἀσκληπιοῦ, καὶ ἐλαῖαι περὶ αὐτοὺς πεφύκασι. (5) Προελθόντι δὲ ἐν δεξιᾷ δύο που σταδίους ἐστὶν Ἰνοῦς καλούμενον ὕδωρ· μέγεθος μὲν κατὰ λίμνην μικρὰν, τῆς γῆς δὲ ἐν βάθει μᾶλλον. ἐς τοῦτο τὸ ὕδωρ ἐν τῇ ἑορτῇ τῆς Ἰνοῦς ἐμβάλλουσιν ἀλφίτων μάζας. ταύτας ἐπὶ μὲν αἰσίῳ τοῦ ἐμβαλόντος καταδεξάμενον ἔχει τὸ ὕδωρ· εἰ δὲ ἀναπέμψαιτο σφᾶς, πονηρὸν κέκριται σημεῖον. τὸ δὲ αὐτὸ καὶ ἐν Αἴτνῃ δηλοῦσιν οἱ κρατῆρες. καὶ γὰρ χρυσοῦ ἐς αὐτοὺς καὶ ἀργύρου ποιήματα, ἔτι δὲ καὶ ἱερεῖα τὰ πάντα ἀφιᾶσι· ταῦτα δὲ ἢν μὲν ὑπολαβὸν ἀπενέγκοι τὸ πῦρ, οἱ δὲ χαίρουσιν ὡς ἐπὶ πεφηνότι ἀγαθῷ, ἀπωσαμένου δὲ τὰ ἐμβληθέντα,
συμφορὰν ἔσεσθαι τούτῳ τῷ ἀνδρὶ νομίζουσι. (6) Κατὰ 271
δὲ τὴν ὁδὸν τὴν ἐκ Βοιῶν ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν

navi elapsum, non procul a mari se *in cavernam* demersisse. Quare et visis per quietem, et eo prodigio adductos ibi constitisse, et sibi oppidum communisse. Exstant, quo loco se e conspectu anguis eripuit, arae Aesculapio dedicatae inter sponte enatas oleas. (5) Progressi ad dexteram stadia circiter duo aquam videant, quae Inus dicitur. Magnitudine quidem parvam paludem refert, sed in terrae fundum descendit altius. In eam festo Inus die solenne est panificia porricere. Ea si demersa retinuerint aquae, secunda ei, qui porrecerit, promitti autumant: contra vero adversa, quoties illa aqua reiecerit. Eandem habere portendendi vim dicuntur Aetnae montis craterae. Abiiciunt enim in eas homines quum sigilla argentea et aurea, tum vero cuiusvis generis victimas. Ea si absorpserit ignis, laeta sibi nunciari: contra si regesserit, male eventurum ei, *a quo illa missa fuerint*, interpretantur. (6) Prope viam, quae Boeis ad Limeram Epidaurum

ἄγουσαν Ἀρτέμιδος ἱερόν ἐστιν ἐν τῇ Ἐπιδαυρίων Λιμνάτιδος. ἡ πόλις δὲ ἀπέχουσα οὐ πολὺ ἀπὸ θαλάσσης, ἐπὶ μετεώρῳ μὲν ᾤκισται, θέας δὲ αὐτόθι ἄξια, τὸ μὲν Ἀφροδίτης ἐστὶν ἱερὸν, τὸ δὲ Ἀσκληπιοῦ, καὶ ἄγαλμα ὀρθὸν λίθου, καὶ Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει ναός· πρὸ δὲ τοῦ λιμένος Διὸς ἐπίκλησιν σωτῆρος. (7) Ἄκρα δὲ ἐς τὸ πέλαγος κατὰ τὴν πόλιν ἀνέχει καλουμένη Μινώα. καὶ ὁ μὲν κόλπος οὐδέν τι ἔχει διάφορον, ἢ ὅσαι κατὰ τὴν Λακωνικὴν ἄλλαι θαλάσσης εἰσὶν ἐσβολαί· αἰγιαλὸς δὲ ὁ ταύτῃ παρέχεται ψηφῖδας σχῆμα εὐπρεπεστέρας καὶ χρόας παντοδαπῆς.

CAPUT XXIV.

De Zarace — Cyphantum reliquiis, et Brasiis — Brasiatarum de Semele, Baccho et Ino narratio — de Achillis templo et festo — urbe La, ejusque reliquiis et memorandis, Dianae Asiae templo, et fonte Cagacone — regione Hypsos et fluvio Smeno — regione Araïno, La urbis conditore et Achille Helenae proco.

Ἐπιδαύρου δὲ σταδίους ἑκατὸν ἀπέχει Ζάραξ, ἄλλως μὲν εὐλίμενον χωρίον, τῶν δὲ Ἐλευθερολακώνων μάλιστα

ducit, in Epidauriorum finibus Dianae Limnatidis delubrum est. Oppidum ipsum non procul a mari in eminenti loco surgit. Quae spectentur, digna illic sunt Veneris fanum; et Aesculapii, in quo simulacrum marmoreum stantis habitu; tum in arce Minervae aedes; et ad portum Iovis cognomento Servatoris. (7) Promontorium in pelagus sub ipsa urbe excurrit, cui nomen Minoa. Sinus, *qui hac in parte portum efficit*, nihil ille quidem a ceteris differt maris in Laconiae latus irruptionibus. Litus quidem ipsum calculis abundat figura et colorum varietate speciosis.

Cap. XXIV. Ab Epidauro stadia ferme C Zarax abest. Haec ora portum habet valde appellentibus idoneum. Sed enim ex omnibus Eleutherolaconum civitatibus haec in primis

τοῦτο ἐκτετρύχωται· ἐπεὶ καὶ Κλεώνυμος ὁ Κλεομένους [τοῦ Ἀγησιπόλιδος] μόνον τοῦτο τῶν Λακωνικῶν πολισμάτων ἐποίησεν ἀνάστατον· καί μοι τὰ ἐς τὸν Κλεώνυμον ἑτέρωθί ἐστιν εἰρημένα. ἐν Ζάρακι δὲ ἄλλο μὲν οὐδέν, πρὸς δὲ τοῦ λιμένος τῷ πέρατι Ἀπόλλωνος ναός ἐστι καὶ ἄγαλμα κιθάραν ἔχον. (2) Προελθόντι δὲ ἀπὸ Ζάρακος παρὰ τὴν θάλασσαν ἕξ που στάδια, καὶ ἐπιστρέψαντι αὐτόθεν ἐς μεσόγαιαν, καὶ ἐπαναβάντι σταδίους ὡς δέκα, Κυφάντων καλουμένων ἐρείπιά ἐστιν, ἐν δὲ αὐτοῖς Στήθαιον, ἱερὸν Ἀσκληπιοῦ, λίθου δὲ τὸ ἄγαλμα. ἔστι δὲ καὶ ὕδατος ψυχροῦ κρουνὸς ἐκβάλλων ἐκ πέτρας· Ἀταλάντην θηρεύουσαν ἐνταῦθά φασιν, ὡς ἠνιᾶτο ὑπὸ δίψης, παῖσαι τῇ λόγχῃ τὴν πέτραν, καὶ οὕτω ῥυῆναι τὸ ὕδωρ. (3) Βρασιαὶ δὲ ἐσχάτη μὲν ταύτῃ τῶν Ἐλευθερολακώνων πρὸς θαλάσσῃ ἐστί, Κυφάντων δὲ ἀπέχουσι πλοῦν σταδίων διακοσίων. οἱ δὲ ἄνθρωποι λέγουσιν ἐνταῦθα οὐδέσιν ὁμολογοῦντες Ἑλλήνων, ὡς Σεμέλη τέκοι τὸν παῖδα 272

magnis afflicta est cladibus. Nam et Cleonymus Cleomenis filius, Agesipolidis nepos, hoc unum Laconici nominis oppidum delevit. De Cleonymo, quae res postulavit, alio loco diximus. Ad Zaraca aliud quidem nihil insigne est: in portus duntaxat extremis finibus Apollinis delubrum est, et simulacrum citharam tenens. (2) Hinc secundum mare stadia circiter VI progressis, atque inde ad mediterranea reversis stadia prope X, Cyphantum (sic enim *populi illi* sunt appellati) ruinae se ostendunt: et inter eas Stethaeum, Aesculapii fanum, cum simulacro marmoreo. Est ibidem saliens frigidissimae aquae e saxo prorumpentis. Atalantam a venatione siti laborantem, quum saxum illud cuspide percussisset, aquam elicuisse ferunt. (3) Brasiae extremum hac in parte Eleutherolaconum ad mare oppidum est: distat a Cyphantibus CC stadium navigatione. Incolae ea sermonibus vulgarunt, quae neutiquam alii Graecorum populi confitentur: Semelen quidem Iovi Liberum Patrem peperisse;

ἐκ Διὸς, καὶ ὑπὸ τοῦ Κάδμου φωραθεῖσα ἐς λάρνακα αὐτὴ καὶ Διόνυσος ἐμβληθείη· καὶ τὴν λάρνακα ὑπὸ τοῦ κλύδωνος ἐκπεσεῖν φασιν ἐς τὴν σφετέραν· καὶ Σεμέλην μὲν (οὐ γὰρ αὐτὴν περιοῦσαν ἔτι εὑρεῖν) ἐπιφανῶς θάψαι, Διόνυσον δὲ ἀναθρέψαι λέγουσιν. ἐπὶ τούτῳ δὲ αὐτοῖς καὶ τὴν πόλιν, Ὀρειάτας ἐς ἐκεῖνο ὀνομαζομένας, μετονομασθῆναι Βρασιὰς ἐπὶ τῇ ἐκβολῇ τῇ ἐς τὴν γῆν τῆς λάρνακος. ὡσαύτως δὲ καὶ ἐφ' ἡμῶν τὰ ὑπὸ τοῦ κλύδωνος ἀπωθούμενα ἐς τὴν γῆν ἐκβεβράσθαι καλοῦσιν οἱ πολλοί. Βρασιᾶται δὲ καὶ τάδε ἐπιλέγουσιν· Ἰνώ σφισιν ἐς τὴν χώραν ἀφικέσθαι πλανωμένην, ἐλθοῦσαν δὲ ἐθελῆσαι τοῦ Διονύσου γενέσθαι τροφόν. καὶ ἀποφαίνουσι μὲν τὸ ἄντρον, ἔνθα τὸν Διόνυσον ἔθρεψεν Ἰνώ, καλοῦσι δὲ καὶ τὸ πεδίον Διονύσου κῆπον. (4) Ἱερὰ δὲ αὐτόθι, τὸ μέν ἐστιν Ἀσκληπιοῦ, τὸ δὲ Ἀχιλλέως, καὶ ἑορτὴν κατὰ ἔτος ἄγουσιν Ἀχιλλεῖ. ἄκρα δέ ἐστιν ἐν ταῖς Βρασιαῖς μικρὰ, προέχουσα ἠρέμα ἐς τὴν θάλασσαν, καὶ ἐπ' αὐτῇ χαλκοῖ ποδιαίων ἑστήκασιν οὐ μείζονες πίλους ἐπὶ ταῖς κεφαλαῖς ἔχοντες. οὐκ οἶδα, εἰ Διοσκούρους σφᾶς, ἢ

a Cadmo vero depresensam, cum puero recens nato in arcam coniectam: eam arcam aestu iactatam, in fines suos eiectam: ibi Semelen, quae iam mortem obierat, a se magnifice sepultam: superstitem puerum educatum. Eam fuisse causam, ut urbs sua, quae ad illud usque tempus Oreatae appellata fuerat, iam mutato vocabulo Brasiae dicerentur, *sumto nomine* ab arcae in eam oram eiectione: quando aetate etiam nostra, quae maris aestu ad terram extruduntur, *ἐκβεβράσθαι* (*id est, maris aestu eiectari*) a multis dicuntur. Addunt et alia huiusmodi Brasiatae: Ino profugam in agrum suum venisse; ibi Liberum Patrem alendum suscepisse. Antrum monstrant, ubi illa infantem enutrierit; et campum appellant Bacchi hortum. (4) Templa illic sunt, Aesculapii unum, Achillis alterum. Festos etiam dies Achilli quotannis agitant. Est Brasiis parvum et molliter in mare excurrens promontorium. In eo sigilla pileata videas ex aere, nihilo pedalibus maiora.

Κορύβαντας νομίζουσι· τρεῖς δ' οὖν εἰσὶ, τέταρτον δὲ Ἀθηνᾶς ἄγαλμα. (5) Τὰ δὲ ἐν δεξιᾷ Γυθίου Λᾶς ἐστι, θαλάσσης μὲν δέκα στάδια, Γυθίου δὲ τεσσαράκοντα ἀπέχουσα. ᾤκισται δὲ νῦν μὲν Ἰλίου καλουμένου, καὶ Ἀσίας, καὶ Κνακαδίου, τῶν ὀρῶν τούτων τὸ μεταξὺ ἐπέχουσα, πρότερον δὲ τῆς Ἀσίας τοῦ ὄρους ἔκειτο ἐπὶ τῇ κορυφῇ· καὶ νῦν ἔτι τῆς πόλεώς ἐστι τῆς ἀρχαίας ἐρείπια, καὶ πρὸ τῶν τειχῶν ἄγαλμα Ἡρακλέους, καὶ ἀπὸ τῶν Μακεδόνων τρόπαιον, οἳ μοῖρα τῆς Φιλίππου στρατιᾶς ἦσαν, ἡνίκα ἐς τὴν Λακωνικὴν ἐσέβαλεν, ἀποτραπόμενοι δὲ ἀπὸ τῶν ἄλλων τὰ παραθαλάσσια ἐλεηλάτουν τῆς χώρας. ἔστι δὲ ἐν τοῖς ἐρειπίοις ναὸς Ἀθηνᾶς ἐπίκλησιν Ἀσίας· ποιῆσαι δὲ Πολυδεύκην καὶ Κάστορά φασιν ἀνασωθέντας ἐκ Κόλχων· εἶναι γὰρ καὶ Κόλχοις Ἀθηνᾶς Ἀσίας ἱερόν. μετασχόντας μὲν οὖν οἶδα Ἰάσονι τοῦ στόλου τοὺς Τυνδάρεω παῖδας· ὅτι δὲ Ἀθηνᾶν Ἀσίαν τιμῶσιν οἱ Κόλχοι, παρὰ Λακεδαιμονίων ἀκούσας γράφω. Τῆς δὲ ἐφ' ἡμῶν οἰκου- 273

Non facile dixerim, Castorumne, an Corybantum ea nominibus sanxerint. Tria certe sunt *ea figura: quibus* quartum *accedit* Minervae simulacrum. (5) Ad Gythii dexteram Las est, citra mare stadia X, procul a Gythio XL. Habitatur nunc oppidum in medio montium trium intervallo, Ilii, (sic enim *ex ipsis unum* appellant) Amae et Cnacadii. Priscis quidem temporibus in Asiae montis vertice situm fuit: veterisque urbis hac ipsa etiamnum aetate ruinae monstrantur, et ante muros signum Herculis, et de Macedonibus erectum tropaeum. Pars fuit ea Philippi copiarum, quum in Laconiae ille fines invasit. Palantes hi a cetero exercitu digressi, oram maritimam populationibus infestam reddiderant. Inter eas ipsas ruinas templum exstat Minervae cognomento Asiae. Pollucem et Castorem erexisse tradunt, quo tempore e Colchica expeditione incolumes reverterunt. Fuisse vero et Colchis Asiae Minervae fanum. Profectos quidem cum Iasone Tyndarei filios satis habeo cognitum: quod vero Minervam Asiam Colchi colant, id scilicet a Lacedaemoniis acceptum

μένης πόλεως κρήνη τέ ἐστι πλησίον διὰ τὴν χρόαν τοῦ ὕδατος καλουμένη Γαλακώ, καὶ πρὸς τῇ κρήνῃ γυμνάσιον· Ἑρμοῦ δὲ ἕστηκεν ἄγαλμα ἀρχαῖον. τῶν δὲ ὀρῶν ἐπὶ μὲν τοῦ Ἰλίου Διονύσου τέ ἐστι καὶ ἐπ' ἄκρας τῆς κορυφῆς Ἀσκληπιοῦ ναός. πρὸς δὲ τῷ Κνακαδίῳ Κάρνειος καλούμενος Ἀπόλλων. (6) Ἀπὸ δὲ τοῦ Καρνείου σταδίους προελθόντι ὡς τριάκοντά ἐστιν ἐν χωρίῳ Ὕψοις ἐν ὅροις ἤδη Σπαρτιατῶν, ἱερὸν Ἀσκληπιοῦ καὶ Ἀρτέμιδος ἐπίκλησιν Δαφναίας. πρὸς θαλάσσῃ δὲ ἐπὶ ἄκρας ναός ἐστι Δικτύννης Ἀρτέμιδος, καὶ οἱ κατὰ ἔτος ἕκαστον ἑορτὴν ἄγουσι. ταύτης δὲ ἐν ἀριστερᾷ τῆς ἄκρας ποταμὸς ἐκδίδωσιν ἐς θάλασσαν Σμῆνος, ὕδωρ πιεῖν ἡδὺ εἴπερ ἄλλος τις παρεχόμενος ποταμός· ἔχει δὲ ἐν τῷ ὄρει τῷ Ταϋγέτῳ τὰς πηγάς, ἀπέχει δὲ τῆς πόλεως σταδίους οὐ πλέον πέντε. (7) Ἐν δὲ Ἀραίνῳ καλουμένῳ χωρίῳ τάφος Λᾶ, καὶ ἀνδριὰς ἐπὶ τῷ μνήματι ἔπεστι. τοῦτον τὸν Λᾶν οἰκιστὴν εἶναι λέγουσιν οἱ ταύτῃ, καὶ ἀποθανεῖν φασιν ὑπὸ Ἀχιλλέως. Ἀχιλλέα δὲ κατᾶραί σφισιν ἐς τὴν χώραν Ἑλένην

scribo. Prope urbem eam, quae nunc incolitur, fons est, quem ab aquae colore Cagaconem nominant. Proximum illi fonti gymnasium; in quo priscum Mercurii signum. In eo monte, quod Ilium diximus appellari, delubrum est Liberi Patris; et in summo iugo Aesculapii. In Cnacadio Carneus Apollo. (6) A Carneo stadia plus minus triginta abest vicus intra ipsos iam fines Spartanorum, Hypsos nomine: ubi est Aesculapii aedes, et Dianae cognomento Daphnaeae. Ad mare in promontorio Dianae est aedes Dictynnae, cui festos quotannis dies agitant. Ad sinistram promontorii exit in mare amnis Smenos, dulcem potantibus aquam, si quisquam alius, fundens. Habet fontes suos in Taygeto monte. Ab urbe abest haud plus quinque stadia. (7) In vico, cui Araino nomen, Lae sepulcrum, et super monumento statua. Ab eo La oppidum conditum tradunt incolae; interemptum vero ab Achille; quem huc venisse credunt, quum a

παρὰ Τυνδάρεω γυναῖκα αἰτοῦντα. λέγοντι δὲ ἐπ' ἀλη-
θείᾳ, Πάτροκλός ἐστιν ὁ τὸν Λᾶν ἀποκτείνας· οὗτος
γὰρ καὶ ὁ μνηστευσάμενος Ἑλένην. καὶ ὅτι μὲν τῶν
Ἑλένης μνηστήρων Ἀχιλλεὺς οὐκ ἔστιν ἐν Καταλόγῳ γυ-
ναικῶν, μηδὲν τοῦτο ἔστω τεκμήριον, οὐκ αἰτῆσαι Ἑλέ-
νην αὐτόν· Ὅμηρος δὲ ἔγραψε μὲν τῆς ποιήσεως ἀρχό-
μενος, ὡς Ἀχιλλεὺς χαριζόμενος τοῖς Ἀτρέως παισὶ, καὶ
οὐκ ἐνεχόμενος τοῖς ὅρκοις τοῖς Τυνδάρεω, παραγένοιτο
ἐς Τροίαν· ἐποίησε δὲ ἐν ἄθλοις λέγοντα Ἀντίλοχον, ὡς
Ὀδυσσεὺς πρεσβύτερός ἐστιν αὐτοῦ γενεᾷ· τὸν δὲ Ὀδυσ-
σέα πρὸς Ἀλκίνουν περὶ τῶν ἐν ᾅδου καὶ ἄλλα διηγούμε- 274
νον, καὶ ὅτι Θησέα ἰδεῖν ἐθελῆσαι καὶ Πειρίθουν προτέ-
ρους ἄνδρας, ἢ καθ' ἡλικίαν τὴν αὐτοῦ. Θησέα δὲ ἴσμεν
ἁρπάσαντα Ἑλένην· οὕτως οὐδὲ ἐγχωροῦν ἐστιν ἀρχὴν
Ἑλένης μνηστῆρα Ἀχιλλέα γενέσθαι.

Tyndareo Helenam sibi deposceret. At enim verius quis dixerit, Lan a Patroclo interfectum, quum unus hic fuerit de Helenae procis. Nam Achillem Helenam nunquam petisse, ut leve habeatur argumentum, quod in eo carmine, quo illustres foeminae enumerantur, nulla fit Achillis mentio: Homerus certe in ipso ferme operis sui initio Achillem scripsit, pro suo in Atrei filios studio, non Tyndarei sacramento ullo adactum, ad Troiam venisse. Iam vero idem poëta, quo loco ludos exponit, dicentem facit Antilochum, natu esse se grandiorem Ulyssem; ac ipsum Ulyssem, dum, quae apud inferos viderat, narraret Alcinoo, inter cetera videre se voluisse Pirithoum et Theseum, viros aetate sua superiores. Et Helenam quidem a Theseo raptam scimus. Quo fit, ut quadrare neutiquam possit, Achillem unum de Helenae procis fuisse.

CAPUT XXV.

De fluvio Scyra — Pyrrhicho oppido, Sileno, Dianae Astratia — Teuthrone oppido, Diana Issoria — promontorio Taenaro, portu Achilleo et Psamatho, atque inferorum cane ab Hercule protracto — Arionis delphino insidentis signo et fonte olim miro — Caenopoli — Messa oppido et portu, atque Oetylo urbe.

Προελθόντι δὲ ἀπὸ τοῦ μνήματος, ἐκδίδωσιν ἐς θάλασσαν ποταμὸς, ὄνομα δέ οἱ Σκύρας, ὅτι κατὰ τοῦτον, ἀνώνυμον τέως ὄντα, Πύῤῥος ὁ Ἀχιλλέως ἔσχε ταῖς ναυσὶν, ἡνίκα ἐπὶ τὸν Ἑρμιόνης γάμον ἔπλευσεν ἐκ Σκύρου. διαβάντων δὲ τὸν ποταμὸν, ἔστιν ἱερὸν ἀρχαῖον ἀπωτέρω Διὸς βωμοῦ. (2) Τοῦ ποταμοῦ δὲ σταδίους τεσσαράκοντα ἀπέχει Πύῤῥιχος ἐν μεσογαίᾳ. τὸ δὲ ὄνομα τῇ πόλει γενέσθαι φασὶν ἀπὸ Πύῤῥου τοῦ Ἀχιλλέως· οἱ δὲ, εἶναι θεὸν Πύῤῥιχον τῶν καλουμένων Κουρήτων· εἰσὶ δὲ οἳ Σιληνὸν ἐκ Μαλέας ἐλθόντα ἐνταῦθα λέγουσιν οἰκῆσαι. τραφῆναι μὲν δὴ τὸν Σιληνὸν ἐν τῇ Μαλέᾳ, δηλοῖ καὶ τάδε ἐξ ᾄσματος Πινδάρου·

ὁ ζαμενὴς δὲ, ὁ χοροιτύπος, ὃν Μαλεάγονος
ἔθρεψε Ναΐδος ἀκοίτας Σιληνός.

Cap. XXV. Progressi longius a monumento, fluvium videant in mare influentem, cui Scyras nomen. Sine nomine ante fuerat: hoc vero nominis tum accepit, quum illum classe intravit Pyrrhus Achillis filius ad Hermiones nuptias e Scyro proficiscens. Trans amnem eum vetus delubrum est seorsum ab ara Iovis. (2) Ab isto fluvio XL stadiis abest oppidum Pyrrhichus in mediterranea continente. Ab eodem Pyrrho Achillis filio nuncupatum, non defuerunt, qui dicerent: alii vero a Pyrrhicho, uno de Curetum deorum numero. Sunt etiam, qui Silenum e Malea profectum hic habitasse dicant. In Malea quidem educatum Silenum declarant hi versus e Pindari cantico:

Ille strenuus choreis,
Quem Maleae civis et vir
Naidis aluit Silenus.

ὡς δὲ καὶ Πύῤῥιχος ὄνομα ἦν αὐτῷ, Πινδάρῳ μὲν οὐκ ἔστιν εἰρημένον, λέγουσι δὲ οἱ περὶ τὴν Μάλεαν οἰκοῦντες. ἔστι δὲ ἐν τῇ Πυῤῥίχῳ φρέαρ ἐν τῇ ἀγορᾷ· δοῦναι δέ σφισι τὸν Σιληνὸν νομίζουσι· σπανίζοιέν τ' ἂν ὕδατος, εἰ τὸ φρέαρ τοῦτο ἐπιλείποι. θεῶν δὲ ἐν τῇ γῇ σφισιν ἱερά ἐστιν, Ἀρτέμιδός τε ἐπίκλησιν Ἀστρατείας, ὅτι τῆς ἐς τὸ πρόσω στρατείας ἐνταῦθα ἐπαύσαντο Ἀμαζόνες, καὶ Ἀπόλλων Ἀμαζόνιος· ξόανα μὲν ἀμφότερα, ἀναθεῖναι δὲ λέγουσιν αὐτὰ τὰς ἀπὸ Θερμώδοντος γυναῖκας. (3) Ἀπὸ δὲ Πυῤῥίχου καταβάντι ἐς θάλασσαν, ἔστι Τευθρώνη. τὸν δὲ οἰκιστὴν οἱ ταύτῃ Τεύθραντα Ἀθηναῖον ὄντα ἀποφαίνουσι. τιμῶσι δὲ θεῶν μάλιστα Ἰσσωρίαν Ἄρτεμιν... καὶ πηγή σφίσιν ἐστὶ Ναΐα. (4) Τευθρώνης δὲ ἀπέχει πεντή- 275
κοντα καὶ ἑκατὸν σταδίους ἐς θάλασσαν ἀνέχουσα ἄκρα Ταίναρον, καὶ λιμένες ὅ τε Ἀχίλλειός ἐστι καὶ Ψαμαθοῦς. ἐπὶ δὲ τῇ ἄκρᾳ ναὸς εἰκασμένος σπηλαίῳ, καὶ πρὸ αὐτοῦ Ποσειδῶνος ἄγαλμα. ἐποίησαν δὲ Ἑλλήνων τινὲς, ὡς

Quod vero Silenus etiam Pyrrhichi sit nomine appellatus, nuspiam dixit Pindarus; sed eius rei Maleae incolae auctores fuere. In ipso Pyrrhichi foro puteus est. Monstratum sibi a Sileno aiunt. Quod si puteus is exaresceret, aquae penuria valde laborarent. Habent Pyrrhichii intra fines suos templum Dianae Astrateae. *Causa nominis*, quod Amazonum exercitum hoc aiunt in loco progrediendi finem fecisse. Et Apollinis *eadem de causa* Amazonii. Utriusque dei lignea signa sunt. Dedicasse dicuntur foeminae, quae a Thermodonte venerunt. (3) A Pyrrhicho ad mare descendentes Teuthrone *oppidum* excipit. Conditorem produnt incolae Teuthrantem Atheniensem. Colunt hi prae ceteris dis *Issoriam* Dianam. Fontem habent Naian. (4) A Teuthrone stadia procul CL excurrit in mare Taenarum promontorium, et *infra* portus Achilleus, et Psamathus. In ipso promontorio templum est speluncae persimile: in cuius primo aditu Neptuni signum. Hac Graecorum nonnulli versibus prodiderunt

Ἡρακλῆς ἀναγάγοι ταύτῃ τοῦ ᾅδου τὸν κύνα, οὔτε ὑπὸ γῆν ὁδοῦ διὰ τοῦ σπηλαίου φερούσης, οὔτε ἕτοιμον ὂν πεισθῆναι, θεῶν ὑπόγαιον εἶναί τινα οἴκησιν, ἐς ἣν ἀθροίζεσθαι τὰς ψυχάς. ἀλλὰ Ἑκαταῖος μὲν ὁ Μιλήσιος λόγον εὗρεν εἰκότα, ὄφιν φήσας ἐπὶ Ταινάρῳ τραφῆναι δεινὸν, κληθῆναι δὲ ᾅδου κύνα, ὅτι ἔδει τὸν δηχθέντα τεθνάναι παραυτίκα ὑπὸ τοῦ ἰοῦ. καὶ τοῦτον ἔφη τὸν ὄφιν ὑπὸ Ἡρακλέους ἀχθῆναι παρ' Εὐρυσθέα. Ὅμηρος δὲ (πρῶτος γὰρ ἐκάλεσεν ᾅδου κύνα, ὅντινα Ἡρακλῆς ἦγεν) οὔτε ὄνομα ἔθετο οὐδὲν, οὔτε συνέπλασεν ἐς τὸ εἶδος, ὥσπερ ἐπὶ τῇ Χιμαίρᾳ. οἱ δὲ ὕστερον Κέρβερον ὄνομα ἐποίησαν, καὶ κυνὶ τὰ ἄλλα εἰκάζοντες κεφαλὰς τρεῖς φασιν ἔχειν αὐτόν· οὐδέν τι μᾶλλον Ὁμήρου κύνα τῷ ἀνθρώπῳ σύντροφον εἰρηκότος, ἢ εἰ δράκοντα ὄντα ἐκάλεσεν ᾅδου κύνα. (5) Ἀναθήματα δὲ ἄλλα τέ ἐστιν ἐπὶ Ταινάρῳ καὶ Ἀρίων ὁ κιθαρῳδὸς χαλκοῦς ἐπὶ δελφῖνος.

ab Hercule Plutonis canem extractum, quum neque meatus omnino ullus per eam specum subter terram subeat, neque veri omnino cuiquam simile videri possit, deorum ulla esse subterranea regna, quo animi conveniant, *e corporibus quum excesserint.* Hecataeus quidem Milesius rem non absurdam commentus est; in ea caverna immanem ac tetrum serpentem lustrum habuisse, qui sit idcirco inferorum canis dictus, quod, quem morsu impetisset, subita eum veneni vi mori statim necesse esset. Eum serpentem ab Hercule ad Eurystheum pertractum. Homerus vero (is enim primus Ditis canem, quem Hercules extraxisset, appellavit) neque nomen ei proprium imposuit, neque de eius figura quicquam est fabulatus, uti de Chimaera. Posteriores et Cerberum appellarunt, et quum cetera cani fecissent similem, tria dixerunt capita habere, quum tamen Homerus, ut homini familiare animal canem dixit, sic, qui draco fuisset, inferum canem appellasse videri possit. (5) In Taenaro et alia sunt sacra monumenta, et Arion citharoedus delphino insidens. De

τὰ μὲν οὖν ἐς αὐτὸν Ἀρίονα καὶ τὰ ἐπὶ τῷ δελφῖνι Ἡρόδο-
τος εἶπεν ἀκοῇ ἐν τῇ Λυδίων συγγραφῇ. τὸν δ' ἐν Πορο-
σελήνῃ δελφῖνα τῷ παιδὶ σῶστρα ἀποδιδόντα, ὅτι συγκο-
πέντα ὑπὸ ἁλιέων αὐτὸν ἰάσατο, τοῦτον τὸν δελφῖνα εἶ-
δον, καὶ καλοῦντι τῷ παιδὶ ὑπακούοντα, καὶ φέροντα,
ὁπότε ἐποχεῖσθαί οἱ βούλοιτο. ἔστι δὲ ἐπὶ Ταινάρῳ καὶ
πηγή, νῦν μὲν οὐδὲν, ὥστε καὶ θαῦμα εἶναι, παρεχομένη,
πρότερον δὲ τοῖς ἐνιδοῦσιν ἐς τὸ ὕδωρ τοὺς λιμένας,
φασὶ, καὶ τὰς ναῦς θεάσασθαι παρεῖχε. τοῦτο ἔπαυσε 276
γυνὴ τὸ ὕδωρ καὶ μὴ τοῦ λοιποῦ τοιαῦτα ἐπιδείκνυσθαι,
μεμιασμένην ἐναποπλύνασα ἐσθῆτα. (6) Ταινάρου δὲ τῆς
ἄκρας πλοῦν ὅσον τεσσαράκοντα σταδίων ἀφέστηκε Και-
νήπολις· ὄνομα δὲ ἦν πάλαι καὶ ταύτῃ Ταίναρον. ἐν
αὐτῇ δὲ μέγαρον Δήμητρος, καὶ ἐπὶ θαλάσσῃ ναός ἐστιν
Ἀφροδίτης, καὶ ἄγαλμα ὀρθὸν λίθου. ἐντεῦθεν ἀπο-
σχόντι τριάκοντα σταδίους, Θυρίδες ἄκρα [Ταινάρου,]
καὶ πόλεως ἐρείπια Ἱππόλας ἐστὶν, ἐν δὲ αὐτοῖς Ἀθηνᾶς

Arione quidem et delphino quae audierat, retulit Herodotus, ubi res gestas Lydorum exponit. Ego sane in Poroselene delphinum vidi, qui puero, a quo sanatus fuerat, quum a piscatoribus vulnus accepisset, quasi mercedem curationis penderet, dicto se audientem praebebat, et eundem, quocunque ille iussisset, dorso transvehebat. Est in eodem Taenaro fons, qui nihil iam, quod cum admiratione intueamur, habet: olim introspicientibus portus et naves aiunt spectandas praebuisse. Aquae miraculum illud foemina quaedam sustulisse dicitur, quum in ea pollutam vestem abluisset. (6) Ab ipso promontorio mari stadia circiter XL praetervectos oppidum excipit Caenepolis, Taenarum et ipsum ante appellatum. Est in eo Cereris fanum, et ad mare Veneris aedes, et *eiusdem deae* stántis habitu signum e marmore. Illinc digressis stadia procul XXX, Taenari vertex, Thyrides (*id est Fenestrae*) dicuntur; et Hippolae urbis ruinae monstrantur. Inter eas Minervae Hippolaïtidis sacellum exstat.

ἱερὸν Ἱππολαΐτιδος. (7) Ὀλίγον δὲ ἀπωτέρω Μέσσα πόλις καὶ λιμήν. ἀπὸ τούτου στάδια τοῦ λιμένος πεντήκοντά ἐστι καὶ ἑκατὸν ἐπὶ Οἴτυλον. ὁ δὲ ἥρως, ἀφ' οὗ τῇ πόλει τὸ ὄνομα, ἐγένετο Ἀργεῖος τὸ ἀνέκαθεν, Ἀμφιάνακτος υἱὸς ὢν τοῦ Ἀντιμάχου. θέας δὲ ἄξια ἐν Οἰτύλῳ Σαράπιδός ἐστιν ἱερὸν, καὶ ἐν τῇ ἀγορᾷ Καρνείου ξόανον Ἀπόλλωνος.

CAPUT XXVI.

De Inus fano et oraculo in via ad Thalamas, signis Paphiae et Solis — Pephno ad mare, et insula hujus nominis, solo natali Dioscurorum — Leuctris et memorandis ibi — signo Jovis Ithomatae — Cardamyle et Nereïdum templo — Enope oppido, postea Gerenia dicto, Nestoris sede, ejusque memorandis — Machaone ejusque cultu ac Podalirio — monte Calathio et Alagonia urbe.

Ἐς Θαλάμας δὲ ἐξ Οἰτύλου μῆκος τῆς ὁδοῦ στάδιοι περὶ τοὺς ὀγδοήκοντά εἰσι. κατὰ δὲ τὴν ὁδὸν ἱερόν ἐστιν Ἰνοῦς καὶ μαντεῖον. μαντεύονται μὲν οὖν καθεύδοντες, ὁπόσα δ' ἂν πυθέσθαι δεηθῶσιν, ὀνείρατα δείκνυσί σφισιν ἡ θεός. χαλκᾶ δὲ ἕστηκεν ἀγάλματα ἐν ὑπαίθρῳ τοῦ ἱεροῦ,

(7) Non magno abest intervallo civitas Messa et portus. Ab hoc portu ad Oetylum stadia intersunt CL. Heros, a quo civitas nomen habet, ortu Argivus fuit, Amphianacte Antimachi filio genitus. Sunt in Oetylo quae spectentur digna, Serapidis templum, et in ipso foro Carnei Apollinis simulacrum.

Cap. XXVI. Ab Oetylo ad Thalamas via in longitudinem stadia prope LXXX patet. In via Inus fanum et oraculum visitur. In eo futura dormientes provident. Consulentibus enim per somniorum visa, quae opus est, dea denunciat. Erecta sunt ex aere signa in ea fani parte, quae

τῆς τε Παφίης καὶ Ἡλίου τὸ ἕτερον. αὐτὸ δὲ τὸ ἐν τῷ ναῷ, σαφῶς μὲν οὐκ ἦν ἰδεῖν ὑπὸ στεφανωμάτων, χαλκοῦν δὲ καὶ τοῦτο εἶναι λέγουσι. ῥεῖ δὲ καὶ ὕδωρ ἐκ πηγῆς ἱερᾶς πιεῖν ἡδὺ, Σελήνης δὲ ἐπίκλησιν. καὶ οὐ Θαλαμάταις ἐπιχώριος δαίμων ἐστὶν ἡ Παφίη. (2) Θαλαμῶν δὲ ἀπέχει σταδίους εἴκοσιν ὀνομαζομένη Πέφνος ἐπὶ θαλάσσῃ. πρόκειται δὲ νησὶς πέτρας τῶν μεγάλων οὐ μείζων, Πέφνος καὶ ταύτῃ τὸ ὄνομα. τεχθῆναι δὲ ἐνταῦθα τοὺς Διοσκούρους φασὶν οἱ Θαλαμᾶται· τοῦτο μὲν δὴ καὶ Ἀλκμᾶνα ἐν ᾄσματι οἶδα εἰπόντα· τραφῆναι δὲ οὐκέτι ἐν τῇ Πέφνῳ φασὶν αὐτοὺς, ἀλλὰ Ἑρμῆν τὸν ἐς Πελλάναν κομίσαντα εἶναι. ἐν ταύτῃ τῇ νησῖδι ἀγάλματα Διοσκούρων χαλκᾶ, μέγεθος ποδιαῖα, ἐν ὑπαίθρῳ τῆς νησῖδος ἐστίν. ταῦτα ἡ θάλασσα ἀποκινεῖν οὐκ ἐθέλει κατακλύζουσα ὥρᾳ χειμῶνος τὴν πέτραν. τοῦτό τε δὴ θαῦμά ἐστι· καὶ οἱ μύρμηκες αὐτοὶ λευκότεροι ἢ ὡς μυρμήκων τὸ χρῶμα φαίνουσι. τὴν δὲ χώραν οἱ Μεσσήνιοι ταύτην 277

sub divo est, Paphiae unum, Solis alterum. Quod in delubro ipso est, non satis se illud aperte ostendit, coronamentis omni ex parte velatum: ex aere et ipsum esse dicunt. Fluit e sacro fonte suavis haustu aqua: Lunae nuncupant. Thalamatis Paphia non est utique patrium numen. (2) Distat a Thalamis stadia XX Pephnos maritima civitas. Parva adiacet insula, nihilo omnino ingenti saxo maior. Ei quoque Pephnos nomen est. In ea Castores primum in lucem editos Thalamatae memorant: quod ipsum in cantico quodam suo dixisse Alcmanem, me certe non fugit. Enutritos quidem Pephni negant, sed a Mercurio Pellanam deportatos. In ea tam pusilla insula sub divo aenea sunt ipsorum Gemellorum sigilla, nihilo pedalibus maiora. Ea, etsi hybernis undis vehementer saxum verberatur, loco tamen nihil moventur: quod miraculo quidem est: et illud fere haud multo minori, quod formicae conspiciuntur vulgaribus albicante colore dissimiles. Eam insulam suorum fuisse olim finium,

αὐτῶν φασιν εἶναι τὸ ἀρχαῖον· ὥς τε καὶ τοὺς Διοσκοι ρους μᾶλλόν τι αὐτοῖς, καὶ οὐ Λακεδαιμονίοις, προσι κειν νομίζουσι. (3) Πέφνου δὲ στάδια εἴκοσιν ἀπέχ Λεῦκτρα. ἐφ' ὅτῳ μὲν δή ἐστιν ὄνομα τῇ πόλει Λεῦ τρον, οὐκ οἶδα· εἰ δ' ἄρα ἀπὸ Λευκίππου τοῦ Περιήρου ὡς οἱ Μεσσήνιοί φασι, τούτου μοι δοκοῦσιν εἵνεκα ταύτῃ θεῶν μάλιστα Ἀσκληπιὸν τιμᾶν, ἅτε Ἀρσινόη παῖδα εἶναι τῆς Λευκίππου νομίζοντες. λίθου δέ ἐστι Ἀσκληπιοῦ τε ἄγαλμα, καὶ Ἰνοῦς ἑτέρωθι. πεποίηται δ καὶ Κασσάνδρας τῆς Πριάμου ναὸς καὶ ἄγαλμα, Ἀλεξάν δρας ὑπὸ τῶν ἐγχωρίων καλουμένης· καὶ Ἀπόλλωνο Καρνείου ξόανά ἐστι κατὰ ταὐτὰ, καθὰ δὴ καὶ Λακεδαι μονίων νομίζουσιν οἱ Σπάρτην ἔχοντες. ἐπὶ δὲ τῆς ἀκρο πόλεώς ἐστιν ἱερὸν καὶ ἄγαλμα Ἀθηνᾶς. καὶ Ἔρωτός ἐστι ἐν Λεύκτροις ναὸς καὶ ἄλσος· ὕδωρ δὲ ὥρᾳ χειμῶνο διαῤῥεῖ τὸ ἄλσος· τὰ δὲ φύλλα τῷ ἦρι ἀπὸ τῶν δένδρω πίπτοντα οὐκ ἂν ὑπὸ τοῦ ὕδατος οὐδὲ πλεονάσαντος πα ρενεχθείη. (4) Ὃ δὲ οἶδα ἐν τῇ πρὸς θαλάσσῃ χώρᾳ τῇ

contendunt Messenii: eapropter Gemellos ipsos maiore s quam Lacedaemonios propinquitate attingere. (3) A Pephn stadia XX absunt Leuctra. Quae civitati nominis origo, no habeo dicere. Quod si a Leucippo (uti Messeniis placet Perieris filio nuncupata est, hoc illud esse arbitror, quod pra dis ceteris Aesculapium colunt, quum Arsinoe Leucipp filia natum putent. Marmorea sunt quum Aesculapii ipsiu tum Inus diversa in parte signa. Aedes ibi erecta est Cassan drae Priami filiae, cuius simulacrum ab incolis Alexandra nomine colitur. Sunt et Apollinis Carnei sigilla. Hu enim deo honorem ritu eodem habent, quo e Lacedaemoni Spartiatae. Leuctris in arce Minervae templum et simula crum est. Cupidinis in ipso oppido aedes et lucus, q perenni aqua hyeme irrigatur. Folia vere ex arboribus qu decidunt, ne exuberante quidem aqua alio deferuntur. (4 Quod vero in maritima Leuctrici agri parte novi accidis

Λευκτρικῆς ἐπ' ἐμοῦ συμβὰν, γράφω. ἄνεμος πῦρ ἐς ὕλην ἐνεγκὼν τὰ πολλὰ ἠφάνισε τῶν δένδρων· ὡς δὲ ἀνεφάνη τὸ χωρίον ψιλὸν, ἄγαλμα ἐνταῦθα ἱδρυμένον εὑρέθη Διὸς Ἰθωμάτα. τοῦτο οἱ Μεσσήνιοί φασι μαρτύριον εἶναί σφισι, τὰ Λεῦκτρα τὸ ἀρχαῖον τῆς Μεσσηνίας εἶναι. δύναιτο δ' ἂν καὶ Λακεδαιμονίων τὰ Λεῦκτρα ἐξ ἀρχῆς οἰκούντων ὁ Ἰθωμάτας Ζεὺς παρ' αὐτοῖς ἔχειν τιμάς. (5) Καρδαμύλη δὲ, ἧς καὶ Ὅμηρος μνήμην ἐποιήσατο ἐν Ἀγαμέμνονος ὑποσχέσεσι δώρων, Λακεδαιμονίων ἐστὶν ὑπήκοος τῶν ἐν Σπάρτῃ, βασιλέως Αὐγούστου τῆς Μεσσηνίας ἀποτεμομένου. ἀπέχει δὲ Καρδαμύλη θαλάσσης
μὲν ὀκτὼ σταδίους, Λεύκτρων δὲ ἑξήκοντα. ἐνταῦθά οὐ 278
πόῤῥω τοῦ αἰγιαλοῦ τέμενος ἱερὸν τῶν Νηρέως θυγατέρων ἐστίν. ἐς γὰρ τοῦτο ἀναβῆναι τὸ χωρίον φασὶν ἐκ τῆς θαλάσσης αὐτὰς Πύῤῥον ὀψομένας τὸν Ἀχιλλέως, ὅτε ἐν Σπάρτῃ ἐπὶ τὸν Ἑρμιόνης ἀπῄει γάμον. ἐν δὲ τῷ πολίσματι Ἀθηνᾶς τε ἱερὸν, καὶ Ἀπόλλων ἐστὶ Κάρνειος,

aetate mea, scribere non gravabor. Immissus in sylvam ignis ventorum vi, magnum arborum numerum exussit. In ea tunc parte, quae stirpibus maxime erat denudata, repertum est Ithomatae Iovis signum ita locatum, uti quae dedicantur locari solent. Eo maxime testimonio nituntur Messenii, dum Leuctra contendunt olim ad fines suos pertinuisse. Sed nihil omnino prohibet, quin, ut priscis etiam temporibus Leuctra Lacedaemonii tenuerint, ab ipsis potuerint Ithomatae Iovi honores haberi. (5) Cardamyle quidem, cuius fecit mentionem Homerus, ubi dona pollicentem Agamemnonem facit, Lacedaemoniis Spartanis paret, quum a Messeniis eam seiunxerit Caesar Augustus. Prope abest a mari Cardamyle stadia VIII, Leuctris LX. Est ad Cardamylen non procul a litore sacer Nerei filiarum lucus. In eum enim locum *Nymphas* e mari narrant prodiisse, ut Pyrrhum Achillis filium ad Hermiones nuptias Spartam contendentem spectarent. In ipso oppido Minervae aedes est, et Carneus Apollo, quem

καθὰ Δωριεῦσιν ἐπιχώριον. (6) Πόλιν δὲ ὀνομαζομένην ἐν τοῖς ἔπεσιν Ἐνόπην τοῖς Ὁμήρου, Μεσσηνίους ὄντας, ἐς δὲ τὸ συνέδριον συντελοῦντας τὸ Ἐλευθερολακώνων, καλοῦσιν ἐφ' ἡμῶν Γερηνίαν. ἐν ταύτῃ τῇ πόλει Νέστορα οἱ μὲν τραφῆναι λέγουσιν, οἱ δὲ ἐς τοῦτο ἐλθεῖν φεύγοντα τὸ χωρίον, ἡνίκα Πύλος ἡλίσκετο ὑπὸ Ἡρακλέους. (7) Ἐνταῦθα ἐν τῇ Γερηνίᾳ Μαχάονος τοῦ Ἀσκληπιοῦ μνῆμα καὶ ἱερόν ἐστιν ἅγιον· καὶ ἀνθρώποις νόσων ἰάματα παρὰ τῷ Μαχάονι ἔστιν εὑρέσθαι. καὶ Ῥόδον μὲν τὸ χωρίον τὸ ἱερὸν ὀνομάζουσιν, ἄγαλμα δὲ τοῦ Μαχάονος χαλκοῦν ἐστιν ὀρθόν. ἐπίκειται δέ οἱ τῇ κεφαλῇ στέφανος, ὃν οἱ Μεσσήνιοι κίφος καλοῦσι τῇ ἐπιχωρίῳ φωνῇ. Μαχάονα δὲ ὑπὸ Εὐρυπύλου τοῦ Τηλέφου τελευτῆσαί φησιν ὁ τὰ ἔπη ποιήσας, τὴν μικρὰν Ἰλιάδα. διὸ καὶ τάδε αὐτοῖς οἶδα περὶ τὸ Ἀσκληπιεῖον τὸ ἐν Περγάμῳ γινόμενα. ἄρχονται μὲν ἀπὸ Τηλέφου τῶν ὕμνων, προσᾴδουσι δὲ οὐδὲν ἐς τὸν Εὐρύπυλον, οὐδὲ ἀρχὴν ἐν τῷ ναῷ θέλουσιν ὀνομάζειν αὐτὸν, οἷα ἐπιστάμενοι φονέα

patrio Doriensium ritu venerantur. (6) At quam urbem Enopen Homerus appellat, et ipsa Messenici nominis est. Facit autem nunc cum Eleutherolaconibus: aetate nostra Gereniam nominant. In ea Nestorem sunt qui educatum dicant; alii vero huc confugisse, capta ab Hercule Pylo. (7) Gereniae Machaonis (Aesculapii filii) monumentum, et eiusdem religione nobile fanum visitur. Nam et ab ipso Machaone morbis hominum medelas monstrari putant. Sacram ei regiunculam Rhodon nuncupant. Simulacrum est ex aere statu recto: caput corona cingitur, quam Ciphos patria lingua vocant Messenii. Interfectum ab Eurypylo Telephi filio dixit Machaonem, qui carmina ea fecit, quae Ilias parva dicitur. Quare non ab re illud in sacris, quae Pergami in Aesculapii fiunt, servari scio, ut, quum hymnos a Telepho exordiantur, nihil Eurypylo laudationis impertiant: quin et illum in eo templo nominari nefas habent, quod scilicet eum

ὄντα Μαχάονος. ἀνασώσασθαι δὲ Νέστορα λέγεται του Μαχάονος τὰ ὀστᾶ. Ποδαλείριον δὲ, ὡς ὀπίσω πορθήσαντες Ἴλιον ἐκομίζοντο, ἁμαρτεῖν τοῦ πλοῦ, καὶ ἐς Σύρον τῆς Καρικῆς ἠπείρου φασὶν ἀποσωθέντα οἰκῆσαι. (8) Τῆς δὲ χώρας τῆς Γερηνίας ὄρος Καλάθιόν ἐστιν, καὶ ἐν αὐτῷ Κλαίας ἱερὸν, καὶ σπήλαιον παρ' αὐτὸ τὸ ἱερὸν, ἔσοδον μὲν στενὴν, τὰ δὲ ἔνδον παρεχόμενον θέας ἄξια. Γερηνίας δὲ ὡς ἐς μεσόγαιαν ἄνω τριάκοντα ἀπέχει σταδίους Ἀλαγονία. καὶ τὸ πόλισμα κατηρίθμησα ἤδη καὶ τοῦτο ἐν Ἐλευθερολάκωσι. θέας δὲ αὐτόθι ἄξια Διονύσου καὶ Ἀρτέμιδός ἐστιν ἱερά.

sciant interfectorem Machaonis fuisse. Ossa quidem Machaonis a Nestore servata dicunt. At Podalirium, quum Ilio deleto redirent Graeci, tempestate Syron, quae in continenti Cariae *urbs* est, incolumem delatum, ibi consedisse tradunt. (8) In Gereniorum agro mons est Calathion, et in eo Claeae sacellum: cui specu proximum, angusto admodum aditu: sed qui introierint, multa, quae admirentur, spectare possunt. A Gerenia ad superiora iam mediterranea XXX procul stadia venientes excipit Alagonia oppidulum: annumeratum et ipsum in Eleutherolaconum civitatibus. Quae ibi spectentur digna, sunt Liberi Patris et Dianae templa.

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

ΜΕΣΣΗΝΙΚΑ.

ΜΕΣΣΗΝΙΚΑ SEU LIB. IV.

CAPUT I.

De Messeniorum finibus, saltu Choerio — Messene Triopae filia, quae regioni nomen dedit — regia Messeniorum urbe Andania — primis Messeniae regibus et magnarum dearum initiis a Caucone allatis et a Lyco, Pandionis filio, perfectis — Methapo, omnis generis sacrorum auctore.

280 Μεσσηνίοις δὲ πρὸς τὴν σφετέραν, τὴν ἀπονεμηθεῖσαν ὑπὸ τοῦ βασιλέως εἰς τὸ Λακωνικὸν, ὅροι κατὰ τὴν Γερηνίαν εἰσὶν ἐφ' ἡμῶν ὀνομαζομένη Χοίριος νάπη. (2) Ταύτην τὴν χώραν ἔρημον οὖσαν οὕτω σχεῖν τοὺς πρώτους λέγουσιν οἰκήτορας. ἀποθανόντος Λέλεγος, ὃς ἐβασίλευεν ἐν τῇ νῦν Λακωνικῇ, τότε δὲ ἀπ' ἐκείνου Λελεγίᾳ καλουμένῃ, Μύλης μὲν πρεσβύτερος ὢν τῶν παίδων ἔσχε τὴν ἀρχήν· Πολυκάων δὲ νεώτερός τε ἦν ἡλικίᾳ, καὶ δι' αὐτὸ ἰδιώτης, ἐς ὃ Μεσσήνην τὴν Τριόπα τοῦ Φόρβαντος ἔλαβε γυναῖκα ἐξ Ἄργους. φρονοῦσα δὲ ἡ Μεσσήνη

Cap. I. Messenii regionis suae ab ea parte, quam ad Laconas pertinere Rex voluit, ad Gereniam fines habent: qui saltus nunc Choerius dicitur. (2) In hac primos incolas vicatim habitasse proditum esse. Mortuo autem Lelege, (qui in ea Graeciae parte, quae nunc Laconia dicitur, ab eo vero tunc Lelegia appellabatur, imperavit) e filiis natu maior Myles ei in regnum successit: Polycaon, quod erat minor, privatam egit vitam ad illud usque tempus, quo Argivam uxorem duxit Messenen Triopae filiam, Phorbantis neptem. Ea, pa-

διὰ τὸν πατέρα ἀξιώματι καὶ δυνάμει τῶν τότε προέχοντα Ἑλλήνων, οὐκ ἠξίου τὸν ἄνδρα ἰδιωτεύειν. ἀθροίσαντες δὲ ἔκ τε Ἄργους δύναμιν καὶ ἐκ Λακεδαίμονος, ἀφίκοντο ἐς ταύτην τὴν χώραν, καὶ συμπάσῃ μὲν ἐτέθη τῇ γῇ Μεσσήνη τὸ ὄνομα ἀπὸ τῆς Πολυκάονος γυναικός. (3) Πόλεις δὲ ἄλλαι τε ἐκτίσθησαν, καὶ ἔνθα τὰ βασίλεια κατεσκευάσθη σφίσιν, Ἀνδανία. πρὸ δὲ τῆς μάχης, ἣν Θηβαῖοι πρὸς Λακεδαιμονίους ἐμαχέσαντο ἐν Λεύκτροις, καὶ τοῦ οἰκισμοῦ Μεσσήνης τῆς ἐφ' ἡμῶν ὑπὸ τῇ Ἰθώμῃ, πόλιν οὐδεμίαν πω κληθῆναι πρότερον δοκῶ Μεσσήνην. εἰκάζω δὲ οὐχ ἥκιστα Ὁμήρου τοῖς ἔπεσιν. ἐν μὲν γὰρ καταλόγῳ τῶν ἐς Ἴλιον ἀφικομένων Πύλον καὶ Ἀρήνην καὶ ἄλλας καταλέγων, οὐδεμίαν πόλιν Μεσσήνην ἐκάλεσεν· ἐν Ὀδυσσείᾳ δὲ δηλοῖ μὲν καὶ ἐν τῷδε ἔθνος καὶ οὐ πόλιν τοὺς Μεσσηνίους ὄντας·

Μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν.

Σαφέστερον δὲ ἔτι περὶ τοῦ τόξου λέγων τοῦ Ἰφίτου·

tris dignitate et opibus, quibus ille tunc prae ceteris Graecis maxime florebat, elata, virum in ordinem redactum perpeti non potuit. Comparatis itaque ab Argis et Lacedaemone auxiliis, in hanc ipsam regionem Polycaon invasit, deque uxoris nomine Messenen universam nominavit. (3) Urbes vero et alias condidit, et in qua regni sedem esse voluit, Andaniam. Nam antequam Thebani ad Leuctra praelium cum Lacedaemoniis commisissent, atque inde Messenen, quae hac etiam aetate exstat, sub Ithome condidissent, nullam omnino existimo urbem eo nomine nuncupatam. Adducor autem non minimum Homeri versibus. Nam ille in populis enumerandis, qui ad Ilium *suos quisque duces secuti* venerunt, Pylon, Arenen, et alias nonnullas recensens, nullam prorsus Messenes mentionem fecit. Satis vero aperte idem in Odyssea, populum fuisse, non civitatem unam Messenios significat:

Nam pecus ex Ithaca rapuit Messenia pubes.

Apertius vero ubi de Iphiti arcu loquitur:

Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν,
Οἴκῳ ἐν Ὀρτιλόχοιο.

281 τοῦ γὰρ Ὀρτιλόχου τὸν οἶκον ἐν τῇ Μεσσήνῃ πόλισμα εἴρηκε τὰς Φηράς· καὶ τόδε ἐξηγήσατο αὐτὸς ἐν τῇ Πεισιστράτου παρὰ Μενέλαον ἀποδημίᾳ·

Ἐς Φηρὰς δ' ἵκοντο Διοκλῆος ποτὶ δῶμα,
Υἱέος Ὀρτιλόχοιο.

(4) Πρῶτοι δ' οὖν βασιλεύουσιν ἐν τῇ χώρᾳ ταύτῃ Πολυκάων τε ὁ Λέλεγος καὶ Μεσσήνη γυνὴ τοῦ Πολυκάονος. παρὰ ταύτην τὴν Μεσσήνην τὰ ὄργια κομίζων τῶν μεγάλων θεῶν Καύκων ἦλθεν ἐξ Ἐλευσῖνος, ὁ Κελαίνου τοῦ Φλυοῦ. Φλυὸν δὲ αὐτὸν Ἀθηναῖοι λέγουσι παῖδα εἶναι Γῆς· ὁμολογεῖ δέ σφισι καὶ ὕμνος Μουσαίου Λυκομίδαις ποιηθεὶς ἐς Δήμητρα. τὴν δὲ τελετὴν τῶν μεγάλων θεῶν Λύκος ὁ Πανδίονος πολλοῖς ἔτεσιν ὕστερον Καύκωνος προήγαγεν ἐς πλέον τιμῆς· καὶ Λύκου δρυμὸν ἔτι ὀνομάζουσιν, ἔνθα ἐκάθαιρε τοὺς μύστας. καὶ ὅτι μὲν δρυμός

Illi in Messena sibi in aedibus occurrerunt
Ortilochi.

Ortilochi domum in Messenia parvum oppidum Pheras innuit: quod ipsemet exponit, quo loco de Pisistrati ad Menelaum adventu agit:

Iam Pheras veniunt magni sub tecta Dioclis,
Qui satus Ortilocho.

(4) Primi igitur huius regionis imperium Polycaon Lelegis filius, et uxor eius Messene tenuerunt. Ad hanc ipsam Messenen magnarum dearum initia Caucon Eleusine veniens deportavit. Fuit Caucon Clini filius, Phlyi nepos. Phlyum ipsum Athenienses e Terra genitum memorant: quibus facile assentitur Musaei hymnus Lycomidis factus in Cererem. Magnarum vero dearum initia, multis post Cauconem annis, Lycus, Pandionis filius, quam augustissima, quamque celeberrima ut essent, effecit. Lucum hac etiam aetate Lyci nominant, ubi ille antistites mysteriorum lustravit. Et esse in Messenico

ἐστιν ἐν τῇ γῇ ταύτῃ Λύκου καλούμενος, Ῥιανῷ τῷ Κρητὶ ἐστι πεποιημένον·

Πάρ τε τρηχὺν Ἐλαιὸν, ὑπὲρ δρυμόν τε Λύκοιο.

(5) Ὡς δὲ ὁ Πανδίονος οὗτος ἦν Λύκος, δηλοῖ τὰ ἐπὶ τῇ εἰκόνι ἔπη τῇ Μεθάπου. μετεκόσμησε γὰρ καὶ Μέθαπος τῆς τελετῆς ἔστιν ἅ. ὁ δὲ Μέθαπος γένος μὲν ἦν Ἀθηναῖος, τελετῆς δὲ καὶ ὀργίων παντοίων συνθέτης. οὗτος καὶ Θηβαίοις τῶν Καβείρων τὴν τελετὴν κατεστήσατο. ἀνέθη- 282
κε δὲ καὶ ἐς τὸ κλίσιον τὸ Λυκομιδῶν εἰκόνα ἔχουσαν ἐπίγραμμα, ἄλλα τε λέγον, καὶ ὅσα ἡμῖν ἐς πίστιν συντελεῖ τοῦ λόγου·

Ἥγνισα δ' Ἑρμείαο δόμους * τε κέλευθα
* Ματρὸς καὶ πρωτογόνου Κούρας. ὅθι φασὶ
Μεσσήνην θεῖναι μεγάλαισι θεαῖσιν ἀγῶνα
Φλυάδεω κλεινοῖο γόνου Καυκωνιάδαο.
Θαύμασα δ', ὡς σύμπαντα Λύκος Πανδιόνιος φῶς
Ἀτθίδος ἱερὰ ἔργα παρ' Ἀνδανίῃ θέτο κεδνῇ.

agro saltum qui Lyci dicitur, testatur eo versu Cretensis Rhianus:

Horrentemque Lyci saltum, iugaque aspera Elaei.

(5) Quod autem hic Lycus Pandionis fuerit filius, aperte declarant versus, qui sunt ad Methapi effigiem. Nam et Methapus quosdam initiorum ritus reformavit. Fuit hic quidem Atheniensis patria, initiorum, orgiorumque, et cuiusvis modi sacrorum designator. Idem vero et Cabirorum Thebanis initia constituit, et iuxta Lycomidarum septum imaginem cum inscriptione dedicavit. Ea inscriptio quum alia, tum in primis, quae ad Methapum pertinent, testatur:

Mercuriique vias lustravi, ac tecta parentis:
Primigenae populis monstravi sacra puellae:
Hic ubi magnarum instituit ludicra dearum
Messene, Phlyus Clinum, Cauconaque Clinus
Quae docuere patres. Mirum mihi contigit illud,
Cuncta Lycus quare prisco Pandione cretus
Andaniam magnis portarit mystica Athenis.

τοῦτο τὸ ἐπίγραμμα δηλοῖ μὲν, ὡς παρὰ τὴν Μεσσήνην ἀφίκοιτο ὁ Καύκων ἀπόγονος ὢν Φλυοῦς· δηλοῖ δὲ καὶ τὰ ἐς τὸν Λύκον τε ἄλλα, καὶ ὡς ἡ τελετὴ τὸ ἀρχαῖον ἦν ἐν Ἀνδανίᾳ. καί μοι τοῦτο εἰκὸς ἐφαίνετο, τὴν Μεσσήνην μὴ ἑτέρωθι, ἀλλὰ ἔνθα αὐτή τε καὶ Πολυκάων ᾤκουν, καταστήσασθαι τὴν τελετήν.

CAPUT II.

Polycaonis filiorum nulla a veteribus fit mentio — de Periere, Melaneo et Oechalia — Perieris filiis Messeniae imperium obtinentibus et Arene urbe — Lyco, qui magnarum dearum initia tradidit, et Apharei filiis — tribus feminis, quae ad tumulos maritorum sese interfecerunt.

Πυθέσθαι δὲ σπουδῇ πάνυ ἐθελήσας, οἵ τινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπεξελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφισιν οὐδὲν πεποιημένον· ἀλλὰ Ὕλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι Πολυκάονα

Indicat inscriptio, ad Messenen venisse Cauconem Phlyi nepotem: alia praeterea de Lyco, et illud in primis, veterem initiorum sedem Andaniam fuisse. Et consentaneum sane mihi videtur, Messenen et Polycaonem, in qua urbe suam sibi regiam posuissent, in eadem sacrorum etiam religionem constituere voluisse.

Cap. II. Equidem non mediocre adhibui studium, ut discerem, ecquinam Polycaoni e Messene liberi geniti essent. Evolvi itaque et librum, quae *magnae* Eoeae inscriptae sunt, et Naupactia carmina; omnia praeterea, quae *versibus* Cinaethon et Asius de Gentilitatibus perscripserunt: neque omnino quicquam, huc quod pertineret, comperi. Nam quum magnae testentur Eoeae, cum Polycaone Butae filio fuisse nuptam filiam Hylli (Herculis filii) Euaechmen, in illis certe

υἱὸν Βούτου λεγούσας τὰς μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς
τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην παρεῖταί
σφισι. (2) Χρόνῳ δὲ ὕστερον, ὡς ἦν τῶν Πολυκάονος
οὐδεὶς ἔτι ἀπογόνων, ἐς γενεὰς πέντε (ἐμοὶ δοκεῖν) προελ-
θόντων, καὶ οὐ πλέονας, Περιήρη τὸν Αἰόλου βασιλέα
ἐπάγονται. παρὰ τοῦτον ἀφίκετο, ὡς οἱ Μεσσήνιοί φασι,
Μελανεύς, τοξεύειν ἀνὴρ ἀγαθός, καὶ διὰ τοῦτο Ἀπόλ- 283
λωνος εἶναι νομιζόμενος· καὶ οἱ τῆς χώρας τὸ Καρνάσιον,
τότε δὲ Οἰχαλίαν κληθεῖσαν, ἀπένειμεν ὁ Περιήρης ἐνοι-
κῆσαι· γενέσθαι δὲ ὄνομα Οἰχαλίαν τῇ πόλει φασὶν ἀπὸ
τοῦ Μελανέως τῆς γυναικός. Θεσσαλοὶ δὲ καὶ Εὐβοεῖς
(ἥκει γὰρ δὴ ἐς ἀμφισβήτησιν τῶν ἐν τῇ Ἑλλάδι τὰ πλείω)
λέγουσιν, οἱ μὲν, ὡς τὸ Εὐρύτιον (χωρίον δὲ ἔρημον ἐφ'
ἡμῶν ἐστι τὸ Εὐρύτιον) πόλις τὸ ἀρχαῖον ἦν, καὶ ἐκαλεῖτο
Οἰχαλία· τῷ δὲ Εὐβοέων λόγῳ Κρεώφυλος ἐν Ἡρακλείᾳ
πεποίηκεν ὁμολογοῦντα. Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐν Σκίῳ
μοῖραν τῆς Ἐρετρικῆς ἔγραψεν εἶναι Οἰχαλίαν. ἀλλὰ γὰρ
οἱ Μεσσήνιοι τά τε ἄλλα δοκοῦσί μοι μᾶλλον εἰκότα ἐκεί-

nulla prorsus vel de Messenes viro, vel de ipsa Messene mentio. (2) Iam vero aetatibus ferme quinque, non amplius (uti mea fert opinio) exactis, quum nullus iam omnino de Polycaonis posteris esset superstes, accersitum aiunt in regnum Messenii Perierem Aeoli filium: ad eum venisse Melaneum, praestantem arcu et sagittis virum, quique ob artis eius excellentiam ab Apolline genitus credebatur. Huic a Periere partem eam regionis attributam, quae Carnasium *nunc*, Oechalia tunc dicta est, accepto scilicet ab uxore Melanei nomine. Thessali vero et Euboeenses (ut omnis ferme est de Graeciae rebus controversa historia) ita inter se dissident, ut illi Eurytium (vicus est hic aetate nostra *prope* desertus) Oechaliam priscis temporibus urbem dicant fuisse. Ab iis, quae hac de re sunt Euboeensium sermonibus prodita, nihil fere dissentit Creophylus in Heraclea sua. At Milesius Hecataeus in Scio Eretrici agri partem Oechaliam esse scripsit. Verum Messenii quum alias ob rationes probabiliora quam ceteri mihi

νων λέγειν, καὶ οὐχ ἥκιστα τῶν ὀστῶν εἵνεκα τῶν Εὐρύτου, ἃ δὴ καὶ ἐν τοῖς ἔπειτά που λόγος ἐπέξεισί μοι. (3) Περιήρει δὲ ἐγεγόνεσαν ἐκ Γοργοφόνης τῆς Περσέως Ἀφαρεὺς καὶ Λεύκιππος. καὶ ὡς ἀπέθανε Περιήρης, ἔσχον οὗτοι τὴν Μεσσηνίων ἀρχήν· κυριώτερος δὲ ἔτι Ἀφαρεὺς ἦν. οὗτος βασιλεύσας πόλιν ᾤκισεν Ἀρήνην ἀπὸ τῆς Οἰβάλου θυγατρὸς, αὐτοῦ δὲ γυναικὸς τῆς αὐτῆς καὶ ἀδελφῆς ὁμομητρίας· καὶ γὰρ Οἰβάλῳ συνῴκησε Γοργοφόνη· καί μοι δὶς ἤδη τὰ ἐς αὐτὴν ὁ λόγος ἔν τε τῇ Ἀργολίδι ἐδήλωσε καὶ ἐν τῇ Λακωνικῇ συγγραφῇ. ὁ δ' οὖν Ἀφαρεὺς πόλιν τε ἔκτισεν ἐν τῇ Μεσσηνίᾳ τὴν Ἀρήνην, καὶ Νηλέα τὸν Κρηθέως τοῦ Αἰόλου, Ποσειδῶνος δὲ ἐπίκλησιν, ἀνεψιὸν ὄντα αὐτῷ, φεύγοντα ἐξ Ἰωλκοῦ Πελίαν, ἐδέξατο οἴκῳ, καὶ τῆς γῆς οἱ ἔδωκε τὰ ἐπὶ θαλάσσῃ, ἐν οἷς ἄλλαι τε ἦσαν πόλεις καὶ ἡ Πύλος, ἔνθα καὶ ᾤκησε καὶ τὸ βασίλειον κατεστήσατο ὁ Νηλεύς. (4) Ἀφίκετο δὲ ἐς τὴν Ἀρήνην καὶ Λύκος ὁ Πανδίονος, ὅτε καὶ αὐτὸς τὸν ἀδελφὸν Αἰγέα ἐξ Ἀθηνῶν ἔφευγε· καὶ τὰ ὄργια ἐπέδειξε τῶν με-

dicere videntur, tum in primis ob ea, quae de ossibus Euryti posterius commemorabimus. (3) Perieri geniti sunt e Gorgophone, Persei filia, Aphareus et Leucippus. Hi patre mortuo in Messenia regnarunt: auctoritate tamen superior fuit Aphareus. Hic dum regnaret, Arenen urbem condidit, *nomenque ei imposuit* a filia Oebali, uxore sua et eadem sorore ex una et eadem matre genita. Etenim cum Oebalo nupta fuit Gorgophone: ac bis quidem iam de ea nobis sermo fuit in superioribus libris, iis quos de Argolica et Laconica terra conscripsimus. Hic ipse itaque Aphareus et urbem in Messenia Arenen condidit, et Neleum Crethei filium, Aeoli (qui cognomento appellatus est Neptunus) nepotem, patruelem suum, Peliae ex Iolco minas fugientem, domo recepit sua, et agri ei partem maritimam assignavit: qua in parte et aliae erant urbes, et Pylos, in qua regiam suam constituit Neleus. (4) Venit autem Arenen et Lycus, Pandionis filius, quo tempore et ipse Aegei, fratris sui, metu Athenis profugit: atque

γάλων θεῶν Ἀφαρεῖ καὶ τοῖς παισὶ καὶ τῇ γυναικὶ Ἀρήνῃ.
ταῦτα δέ σφισιν ἐπεδείκνυτο ἀγαγὼν ἐς τὴν Ἀνδανίαν, ὅτι
καὶ τὴν Μεσσήνην ὁ Καύκων ἐμύησεν ἐνταῦθα. Ἀφαρεῖ
δὲ τῶν παίδων πρεσβύτερος μὲν καὶ ἀνδρειότερος Ἴδας,
νεώτερος δὲ ἦν Λυγκεὺς, ὃν ἔφη Πίνδαρος (ὅτῳ πιστὰ) οὕ- 284
τως ὀξὺ ὁρᾶν, ὡς καὶ διὰ στελέχους θεᾶσθαι δρυός.
(5) Λυγκέως μὲν δὴ παῖδα οὐκ ἴσμεν γενόμενον, Ἴδα δὲ
Κλεοπάτραν θυγατέρα ἐκ Μαρπήσσης, ἣ Μελεάγρῳ συν-
ῴκησεν. ὁ δὲ τὰ ἔπη ποιήσας τὸ Κύπρια Πρωτεσιλάου
φησὶν, ὃς, ὅτε κατὰ τὴν Τρῳάδα ἔσχον Ἕλληνες, ἀποβῆ-
ναι πρῶτος ἐτόλμησε, Πρωτεσιλάου τούτου τὴν γυναῖκα,
Πολυδώραν μὲν τὸ ὄνομα, θυγατέρα δὲ Μελεάγρου φησὶν
εἶναι τοῦ Οἰνέως. εἰ τοίνυν ἐστὶν ἀληθὲς, αἱ γυναῖκες
αὗται τρεῖς οὖσαι τὸν ἀριθμὸν, ἀπὸ Μαρπήσσης ἀρξάμε-
ναι, προαποθανοῦσι πᾶσαι τοῖς ἀνδράσιν ἑαυτὰς ἐπικατέ-
σφαξαν.

hic quidem magnarum dearum orgia Aphareo, et eius liberis, et Arenae uxori Andaniam deportata tradidit, *id scilicet secutus*, quod eodem in loco Messenen Caucon initiaverat. Aphareo filii duo fuere: Idas natu maior et virtute praestantior, minor Lynceus. Is (si cui credi possint, quae Pindarus dixisse videatur) oculis fuit tam perspicacibus, ut in quercetis per medios arborum truncos cerneret. (5) Hic an liberos reliquerit, compertum non habeo: Idas quidem filiam habuit Cleopatram ex Marpessa, quae Meleagri uxor fuit. Is qui Cypria carmina fecit, ait Protesilai (qui, quum ad Troadem appulissent Graeci, primus exscensionem facere ausus est) Protesilai inquam huius uxorem, Polydoram nomine, filiam fuisse Meleagri, Oenei neptem. Si ergo verum est, tres hae mulieres, initio a Marpessa facto, amissis viris semetipsas iugularunt.

CAPUT III.

Apharei domo exstincta, Messeniorum regnum ad Nestorem pervenit — de Aesculapii filiorum expeditione contra Ilium — Nelei posteri ab Heraclidis ejiciuntur et Cresphontes cum Aristodemi filiis de Messenia sortitus fraude illa potitur — de Cresphontis et ceterorum regum urbibus regiis, atque illius nece — Cresphontis filius superstes, Aepytus, ab Arcadibus in regnum restituitur, ejusque posteri Aepytidae appellantur — de Glauco, Aepyti filio, ejusque posteris regnum Messen. obtinentibus.

Ἐπεὶ δὲ τοῖς Ἀφαρέως παισὶ πρὸς τοὺς Διοσκούρους ἐγένετο ἀνεψιοὺς ὄντας μάχη περὶ τῶν βοῶν, καὶ τὸν μὲν Πολυδεύκης ἀπέκτεινεν, Ἴδαν δὲ ἐπέλαβε τὸ χρεὼν κεραυνωθέντα, ὁ μὲν Ἀφαρέως οἶκος γένους παντὸς ἠρήμωτο τοῦ ἄῤῥενος· ἐς δὲ Νέστορα τὸν τοῦ Νηλέως περιῆλθε Μεσσηνίων ἡ ἀρχὴ τῶν τε ἄλλων, καὶ ὅσων πρότερον ἐβασίλευεν Ἴδας, πλὴν ὅσοι τοῖς Ἀσκληπιοῦ παισὶν αὐτῶν ὑπήκουον. (2) *Καὶ γὰρ τοὺς Ἀσκληπιοῦ παῖδας στρατεῦσαί φασιν ἐς Ἴλιον Μεσσηνίους ὄντας. Ἀρσινόης γὰρ Ἀσκληπιὸν τῆς Λευκίππου, καὶ οὐ Κορωνίδος παῖδα εἶναι· καὶ Τρίκκαν δὲ καλοῦσιν ἔρημον ἐν τῇ Μεσσηνίᾳ χω-*

Cap. III. At enim posteaquam Apharei liberi cum Gemellis patruelibus suis de pecore dimicarunt, et Lynceum Pollux occidit, Idas vero fulmine ictus fato suo perfunctus est, Apharei domus tota, maribus omnibus consumtis, deleta est: tunc Messeniorum imperium ad Nestorem Nelei filium delatum: penes quem quum cetera omnia, tum vero quae Idae regno continebantur, fuerunt: iis tamen *populis* exceptis, quibus Aesculapii liberi imperarunt. (2) Aesculapii enim filios e Messenia tradunt ad obsidendam Ilion venisse: natum siquidem Aesculapium Arsinoe Leucippi filia, non Coronide. Ac Triccam sane desertum quendam in Messenia vicum appel-

ρίον· καὶ ἔπη τῶν Ὁμήρου καταλέγουσιν, ἐν οἷς τὸν Μα-
χάονα ὁ Νέστωρ τῷ οἰστῷ βεβλημένον περιέπων ἐστὶν εὐ-
νοϊκῶς· οὐκ ἂν οὖν αὐτὸν μὴ ἐς γείτονα καὶ ἀνθρώπων
βασιλέα ὁμοφύλων προθυμίαν τοσήνδε γε ἐπιδείξασθαι.
τοῖς δὲ καὶ μάλιστα ἤδη βεβαιοῦνται τὸν ἐς τοὺς Ἀσκλη-
πιάδας λόγον ἀποφαίνοντες ἐν Γερηνίᾳ Μαχάονος μνῆμα,
καὶ τὸ ἐν Φαραῖς τῶν Μαχάονος παίδων ἱερόν. (3) Δια-
πολεμηθέντος δὲ τοῦ πρὸς Ἴλιον πολέμου, καὶ Νέστορος,
ὡς ἐπανῆλθεν οἴκαδε, τελευτήσαντος, Δωριέων στόλος, καὶ
ἡ κάθοδος Ἡρακλειδῶν γενομένη δύο γενεαῖς ὕστερον, 285
ἐξέβαλε τοὺς Νηλέως ἀπογόνους ἐκ τῆς Μεσσηνίας. καί μοι
ταῦτα ἐγένετο ἤδη τῷ λόγῳ προσθήκη τῷ ἐς Τισαμενόν· πλὴν
τοσόνδε ἔτι δηλώσω. Τημένῳ τῶν Δωριέων Ἄργος ἐφέν-
των ἔχειν, Κρεσφόντης γῆν σφᾶς ᾔτει τὴν Μεσσηνίαν, ἅτε
καὶ αὐτὸς Ἀριστοδήμου πρεσβύτερος. Ἀριστόδημος μὲν
οὖν ἐτύγχανεν ἤδη τεθνεώς· Θήρας δὲ ὁ Αὐτεσίωνος τῷ
Κρεσφόντῃ μάλιστα ἠναντιοῦτο, τὸ μὲν ἀνέκαθεν Θηβαῖος

lant: versus Homeri *in testimonium* afferunt, quibus Machaonem Nestor sagitta percussum solatur. Neque enim, inquiunt, tantam omnino benevolentiae significationem ille dedisset, nisi et vicini, et gentilis casu regis commotus fuisset. Confirmantur haec, quae de Aesculapii liberis dicuntur, quod et Machaonis monumentum Gereniae ostenditur, et Pheris fanum Machaonis liberûm. (3) Iam vero confecto bello Troiano, quum diem suum post reditum Nestor obiisset, reduces postliminio Dorienses cum Herculis liberis duabus post aetatibus e Messenia Nelei posteros eiecerunt. Porro haec quasi cumulus quidam eorum fuerunt, qui ad Tisameni res pertinuerunt. Verum et illud restat exponendum. Quum Temeno Dorienses Argos assignassent, ab illis Cresphontes terram sibi Messeniam depoposcit, quippe qui Aristodemo natu fuit maior. Aristodemus enim ipse e vita iam excesserat. Theras vero Autesionis filius maiorem in modum Cresphonti adversabatur, Thebanus ille quidem, Polynicis Oedipi filii

τε καὶ ἀπόγονος πέμπτος Πολυνείκους τοῦ Οἰδίποδος, τότε δὲ ἐπετρόπευεν Ἀριστοδήμου τοὺς παῖδας, θεῖος ὢν πρὸς μητρός· Αὐτεσίωνος γὰρ θυγατέρα Ἀριστόδημος ἔγημεν ὄνομα Ἀργείαν. Κρεσφόντης δὲ (γενέσθαι γάρ οἱ ἤθελε τὴν Μεσσηνίαν πάντως μοῖραν) Τημένου δεῖται. παρεσκευασμένος τοῦτον τῷ κλήρῳ δῆθεν ἐφίησι. Τήμενος δὲ ἐς ὑδρίαν, ἐνόντος ἐν αὐτῇ καὶ ὕδατος, καθίησι τῶν Ἀριστοδήμου παίδων καὶ Κρεσφόντου τοὺς πάλους ἐπὶ διειρημένοις, μοῖραν ἀναιρεῖσθαι τῆς χώρας προτέρους, ὁποτέρων ἂν πάλος ἀνέλθῃ πρότερον. τοὺς μὲν δὴ πάλους ὁ Τήμενος ἐπεποίητο ἀμφοτέρους, ἀλλὰ τοῖς μὲν Ἀριστοδήμου παισὶ ξηρᾶς ὑπὸ ἡλίου, Κρεσφόντῃ δὲ ὀπτῆς πυρί· ὅτε δὴ τῶν Ἀριστοδήμου παίδων πάλος κατετέτηκτο, καὶ ὁ Κρεσφόντης οὕτω λαχὼν γῆν αἱρεῖται τὴν Μεσσηνίαν. Μεσσηνίων δὲ τῶν ἀρχαίων οὐκ ἐγένετο ὑπὸ τῶν Δωριέων ὁ δῆμος ἀνάστατος, ἀλλὰ βασιλεύεσθαί τε συγχωροῦσιν ὑπὸ Κρεσφόντου, καὶ ἀναδάσασθαι πρὸς τοὺς Δωριέας
286 τὴν γῆν. ταῦτα δέ σφισιν εἴκειν παρίστατο ὑποψίᾳ πρὸς τοὺς βασιλεύοντας, ὅτι ἦσαν ἐξ Ἰωλκοῦ τὸ ἀνέκαθεν Μινύαι. γυναῖκα δὲ ἔσχε Κρεσφόντης Μερόπην τὴν Κυψέ-

atnepos. Tutelam enim is tunc Aristodemi filiorum gerebat, quod eorum erat avunculus: uxorem siquidem duxerat Aristodemus Autesionis filiam nomine Argian. Cupiebat Cresphontes Messeniam sibi assignari: quare Temenum rogat, rem ut sorti committat. Ille in situlam, quum eam iam aqua complesset, sortes mittit, re ita constituta, ut sors utra prior exiisset, illi Messenia adiudicaretur: ac *subdole* quidem Aristodemi liberûm sortem e siccata sole argilla, Cresphontis e coctili laterculo fecit. Quo factum est, ut, illa soluta, haec constiterit, et per eam Cresphonti Messenia obtigerit. Neque vero prisci Messenii a Doriensibus eiecti sunt. Nam facile illi et Cresphonti, novo regi, paruerunt, et Dorienses in agri partem receperunt: atque eo libentius, quod invidiosa iam erat apud ipsos regum superiorum potentia, qui erant ab Iolco oriundi. Uxorem vero Cresphontes Meropen duxit, Cypseli

λον, βασιλεύοντος τότε Ἀρκάδων· ἀφ' ἧς ἄλλοι τε δὴ παῖδες ἐγένοντο αὐτῷ καὶ νεώτατος Αἴπυτος. (4) Τὰ δὲ βασίλεια, ἔνθα αὐτὸς καὶ οἱ παῖδες ἔμελλον οἰκήσειν, ᾠκοδομήσατο ἐν Στενυκλήρῳ. τὸ μὲν γὰρ ἀρχαῖον οἱ βασιλεῖς οἵ τε ἄλλοι καὶ ὁ Περιήρης ᾤκουν ἐν Ἀνδανίᾳ, κτίσαντος δὲ Ἀφαρέως Ἀρήνην, αὖθις Ἀφαρεὺς καὶ οἱ παῖδες ἐνταῦθα ᾤκησαν· ἐπὶ δὲ Νέστορος καὶ τῶν ἀπογόνων ἐν Πύλῳ τὰ βασίλεια ἦν· Κρεσφόντης δὲ ἐν Στενυκλήρῳ τὸν βασιλέα οἰκεῖν κατεστήσατο. Διοικούμενον δὲ αὐτὸν τὰ πολλὰ ἐς χάριν τοῦ δήμου μᾶλλον, οἱ τὰ χρήματα ἔχοντες αὐτόν τε Κρεσφόντην ἐπαναστάντες καὶ τοὺς υἱοὺς ἀποκτείνουσι τοὺς λοιπούς. (5) Ὁ δὲ Αἴπυτος (παῖδα γὰρ ἔτι ὄντα ἔτρεφεν αὐτὸν ὁ Κύψελος) περιγίνεται μόνος τοῦ οἴκου, καὶ ὡς ἀνὴρ ἐγένετο, οἱ Ἀρκάδες κατάγουσιν αὐτὸν ἐς Μεσσήνην· συγκατήγαγον δὲ καὶ οἱ λοιποὶ βασιλεῖς τῶν Δωριέων, οἵ τε Ἀριστοδήμου παῖδες καὶ Κεῖσος ὁ Τημένου. Αἴπυτος δὲ ὡς ἐβασίλευσεν, ἐτιμωρήσατο μὲν τοῦ πατρὸς τοὺς φονέας, ἐτιμωρήσατο δὲ καὶ ὅσοι τοῦ φόνου παραίτιοι καθεστήκεσαν. προσαγόμενος δὲ τοὺς

filiam, Arcadum tunc regis; e qua quum alios suscepit filios, tum vero qui natu minimus fuit, Aepytum. (4) Ac sibi quidem et liberis regiam Stenycleri exaedificavit, quum ante reges alii ab initio, et ipse etiam Perieres, Andaniae habitassent. Aphareus quoque postea quam Arenen munivit, in ea cum liberis imperii domicilium habuit. At Nestori, eiusque posteris, Pylos regia fuit. Postremo Cresphontes Stenycleri regem habitare voluit. Hunc potentiores, quod populariter nimis plebem esset amplexus, eiusque liberos, praeter Aepytum, occiderunt. (5) Solus enim Aepytus, quod apud Cypselum maternum avum adhuc puer educabatur, parenti et fratribus superstes fuit. Illum iam adultum Arcades in Messeniorum regnum, et una cum Arcadibus Doriensium reges, Aristodemi videlicet filii, et Cisus Temeni filius, restituerunt. Aepytus paterno regno recepto patris primum interfectores, quique eius fuerant caedis auctores, ultus est: deinde conci-

μὲν ἐν τέλει τῶν Μεσσηνίων θεραπείαις, ὅσοι δὲ ἦσαν τοῦ
δήμου, δωρεαῖς, ἐς τοσοῦτο προέβη τιμῆς, ὡς καὶ τοὺς
ἀπογόνους Αἰπυτίδας ἀντὶ Ἡρακλειδῶν κληθῆναι. (6) Γλαύ-
κῳ δὲ τῷ Αἰπύτου βασιλεύσαντι μετὰ Αἴπυτον, τὰ μὲν
ἄλλα ἐξήρκεσε μιμήσασθαι τὸν πατέρα ἔν τε τοῖς κοινοῖς
287 καὶ πρὸς τοὺς ἰδιώτας, εὐσεβείᾳ δὲ ἐς πλέον προέβη. καὶ
γὰρ τοῦ Διὸς τὸ ἐπὶ τῇ κορυφῇ τῆς Ἰθώμης τέμενος, ἄνευ
τῶν Πολυκάονος καὶ Μεσσήνης, οὐκ ἔχον παρὰ τοῖς Δω-
ριεῦσί πω τιμάς, Γλαῦκος ἦν ὁ καὶ τούτοις σέβειν κατα-
στησάμενος· καὶ Μαχάονι τῷ Ἀσκληπιοῦ πρῶτος ἔθυσεν
ἐν Γερηνίᾳ· γέρα δὲ ἀπένειμε Μεσσήνῃ τῇ Τριόπα τὰ νο-
μιζόμενα ἥρωσιν. Ἴσθμιος δὲ ὁ Γλαύκου καὶ ἱερὸν τῷ
Γοργάσῳ καὶ Νικομάχῳ τὸ ἐν Φαραῖς ἐποίησεν. Ἰσθμίου
δὲ γίνεται Δωτάδας, ὅς, ἐπίνεια καὶ ἄλλα τῆς Μεσσηνίας
παρεχομένης, τὸ ἐν Μοθώνῃ κατεσκευάσατο. Συβότας
δὲ ὁ Δωτάδα τῷ τε ποταμῷ κατεστήσατο τῷ Παμίσῳ κατὰ
ἔτος ἕκαστον θύειν τὸν βασιλεύοντα, καὶ Εὐρύτῳ τῷ Με-

liata sibi obsequiis nobilitate, plebe largitionibus delinita, eo pervenit honoris, ut Aepytidae posteri iam omnes appellati sint, quum ante Heraclidae dicerentur. (6) Huius filius Glaucus, a patre accepto imperio, par illi fuit in omnes ordines officio et aequitate, deorum vero cultu multo superior. Etenim quum in Iovis fano, quod in Ithomes vertice fuit, apud Dorienses Polycaon et Messene non colerentur, Glaucus, illis ut sui haberentur honores, instituit. Idemque Machaoni Aesculapii filio primus in Gerenia rem divinam fecit, et Messenae Triopae filiae solita heroibus decerni munera dedicavit. *Cuius pietatem* Isthmius eius filius *imitatus*, Gorgaso et Nicomacho Pheris templum erexit. Isthmio Dotadas genitus: qui ad cetera navalia, quae tunc in Messenia fuerunt, unum Mothonae munivit. Succedit Dotadae filius Sybotas. Is ut reges Pamiso amni anniversaria sacra facerent iussit, et ut ante magnarum dearum (quae ipso etiam regnante Andaniae

λανέως ἐναγίζειν ἐν Οἰχαλίᾳ πρὸ τῆς τελετῆς τῶν μεγάλων θεῶν, ἀγομένης ἔτι ἐν Ἀνδανίᾳ.

CAPUT IV.

Phinta regnante Messenii primum chorum in Delum mittunt et prima inter Messenios et Lacedaemonios discordia exoritur — ejus causa narratur — Phintae filiis regnantibus primum bellum Messenicum suscipitur — de bubus Polycharis ab Euaephno venditis, causa belli, narratio.

Ἐπὶ δὲ Φίντα τοῦ Συβότα πρῶτον Μεσσήνιοι τότε τῷ Ἀπόλλωνι ἐς Δῆλον θυσίαν καὶ ἀνδρῶν χορὸν ἀποστέλλουσι. τὸ δέ σφισιν ᾆσμα προσόδιον ἐς τὸν θεὸν ἐδίδαξεν Εὔμηλος· εἶναί τε ὡς ἀληθῶς Εὐμήλου νομίζεται μόνα τὰ ἔπη ταῦτα. Ἐγένετο δὲ καὶ πρὸς Λακεδαιμονίους ἐπὶ τῆς Φίντα βασιλείας διαφορὰ πρῶτον, ἀπὸ αἰτίας ἀμφισβητουμένης μὲν καὶ ταύτης, γενέσθαι δὲ οὕτω λεγομένης. (2) Ἔστιν ἐπὶ τοῖς ὅροις τοῖς Μεσσηνίας ἱερὸν Ἀρτέμιδος, καλουμένης Λιμνάτιδος· μετεῖχον δὲ αὐτοῦ μόνοι Δωριέων οἵ τε Μεσσήνιοι καὶ οἱ Λακεδαιμόνιοι. Λακεδαιμόνιοι μὲν

celebrabantur) initia Euryto Melanei filio parentaretur Oechaliae.

Cap. IV. Iam vero Phinta regnante, Sybotae filio, Apollini primum Messenii sacrum cum virorum choro Delon miserunt. Iis canticum, quo deum salutarent, (Prosodium appellant) fecit Eumelus: et haec certe carmina sola sunt, quae Eumelum fecisse pro comperto habetur. Huius ipsius Phintae temporibus discordiarum semina (incertum quanam ex causa) inter Messenios et Lacedaemonios extitere. Causa tamen huiusmodi prodita est. In Messeniorum finibus Dianae Limnatidis cognomento templum fuit, commune solis Doriensium Messeniis et Lacedaemoniis, nulli praeterea civitati. Ad

δή φασιν, ὡς παρθένους αὐτῶν παραγενομένας ἐς τὴν
288 ἑορτὴν, αὐτάς τε βιάσαιντο ἄνδρες τῶν Μεσσηνίων, καὶ τὸν βασιλέα σφῶν ἀποκτείναιεν πειρώμενον κωλύειν, Τήλεκλον Ἀρχελάου τοῦ Ἀγησιλάου τοῦ Δορύσσου τοῦ Λαβώτα τοῦ Ἐχεστράτου τοῦ Ἄγιδος. πρός τε δὴ τούτοις τὰς βιασθείσας τῶν παρθένων διεργάσασθαι λέγουσιν αὐτὰς ὑπὸ αἰσχύνης. Μεσσήνιοι δὲ τοῖς ἐλθοῦσι σφῶν ἐς τὸ ἱερὸν πρωτεύουσιν ἐν Μεσσήνῃ κατὰ ἀξίωμα, τούτοις φασὶν ἐπιβουλεῦσαι Τήλεκλον (αἴτιον δὲ εἶναι τῆς χώρας τῆς Μεσσηνίας τὴν ἀρετὴν), ἐπιβουλεύοντα δὲ ἐπιλέξαι Σπαρτιατῶν, ὁπόσοι πω γένεια οὐκ εἶχον. τούτους δὲ ἐσθῆτι καὶ κόσμῳ τῷ λοιπῷ σκευάσαντα ὡς παρθένους, ἀναπαυομένοις τοῖς Μεσσηνίοις ἐπεισαγαγεῖν, δόντα ἐγχειρίδια· καὶ τοὺς Μεσσηνίους ἀμυνομένους, τούς τε ἀγενείους νεανίσκους καὶ αὐτὸν ἀποκτεῖναι Τήλεκλον· Λακεδαιμονίους δὲ (οὐ γὰρ ἄνευ τοῦ κοινοῦ ταῦτα βουλεῦσαι σφῶν τὸν βασιλέα) συνειδότας, ὡς ἄρξαιεν ἀδικίας, τοῦ φόνου σφᾶς τοῦ Τηλέκλου δίκας οὐκ ἀπαιτῆσαι. ταῦτα μὲν οὖν

illud templum missas a se de more virgines violatas a Messeniis Lacedaemonii commemorant, ac regem etiam suum Teleclum Archelai filium, Agesilai nepotem, Dorysso, Labota, Echestrato, Agide, proavis oriundum, iniuriam propulsare conantem, interemptum: et ipsas quidem virgines dedecus voluntaria morte redemisse. At Messenii *longe diversa fama vulgarunt*: ad templum venientibus primoribus a Teleclo insidias factas. Nam quum Messeniam Lacedaemonii propter agri bonitatem in primis appeterent, disposuisse illum impuberes in morem virginum ornatos cum pugionibus, qui illos ex improviso sedentes adorirentur. Ibi Messenios ad vim arcendam accurrisse, et quum Teleclum ipsum, tum vero impuberes illos omnes occidisse. Lacedaemonios quidem, quod esset facinus publico consilio patratum, conscios a se iniuriam profectam, *neque res umquam repetisse*, neque regis sui caedem ut ulciscerentur in animum induxisse. Haec

ἑκάτεροι λέγουσι· πειθέσθω δὲ ὡς ἔχει τις ἐς τοὺς ἑτέρους σπουδῆς.

(3) Γενεᾷ δὲ ὕστερον βασιλεύοντος ἐν Λακεδαίμονι Ἀλκαμένους τοῦ Τηλέκλου, τῆς δὲ οἰκίας τῆς ἑτέρας Θεοπόμπου τοῦ Νικάνδρου τοῦ Χαρίλλου τοῦ Πολυδέκτου τοῦ Εὐνόμου τοῦ Πρυτάνιδος τοῦ Εὐρυπῶντος, Μεσσηνίων δὲ Ἀντιόχου καὶ Ἀνδροκλέους τῶν Φίντα, Λακεδαιμονίων καὶ Μεσσηνίων ἐξήρθη τὸ ἐς ἀλλήλους μῖσος. καὶ ἦρξαν οἱ Λακεδαιμόνιοι πολέμου, ἐπιγενομένης ἀφορμῆς σφισιν, ἐθελέχθρως μὲν ἔχουσι καὶ πολεμῆσαι πάντως ἐγνωκόσιν, οὐ μόνον ἀποχρώσης, ἀλλὰ καὶ τὰ μάλιστα εὐπροσώπου· μετὰ δὲ εἰρηνικωτέρας γνώμης κἂν διελύθη δικαστηρίου γνώσει. τὰ δὲ συμβάντα ἔσχεν οὕτω. (4) Πολυχάρης Μεσσήνιος τά τε ἄλλα οὐκ ἀφανής, ἦν καὶ νίκην Ὀλυμπίασιν ἀνῃρημένος. τετάρτην Ὀλυμπιάδα ἦγον Ἠλεῖοι, καὶ ἀγώνισμα ἦν σταδίου μόνον, ὅτε ὁ Πολυχά-

ab utrisque prodita sunt: credat vero quisque proinde ac in alterutram sit studiis civitatem propensior. (3) Post haec, exacta ferme aetate una, Alcamene Telecli filio Spartae imperante, ex altera vero regia familia Theopompo Nicandri filio, qui per posteritatis gradus VI a Charillo, Polydecte, Eunomo, Prytanide, Euryponte descendit, in Messeniis vero Antiocho et Androcle Phintae filiis, utriusque populi simultas in apertum bellum erupit. Priores Lacedaemonii arma cepere. Causa fuit eiusmodi, ut ad permovendos pacatos etiam et integros animos, nedum odio corruptos et exulceratos, et qui in belli cupiditatem iam plus nimio incubuerant, gravis, et ipsa rei quasi figura aequa videri potuerit: iure tamen et disceptatione controversiam omnem dirimere non fuisset difficillimum futurum, si animi ad pacem *quam ad bellum* fuissent propensiores. Res ita propemodum gesta est. (4) Polychares quidam Messenius fuit, quum cetera minime obscurus, tum vero Olympica palma nobilitatus. Quarta enim Olympiade, quum apud Eleos unicum esset de stadio

ρης ἐνίκησε. τούτῳ τῷ ἀνδρὶ ἐγένοντο βοῦς, καὶ (οὐ γ
289 ἐκέκτητο ἰδίαν γῆν, ὡς νομὰς ταῖς βουσὶν ἱκανὰς εἶνα
Σπαρτιάτῃ σφᾶς δίδωσιν Εὐαίφνῳ βόσκεσθαί τε ἐν ἐκ
νου, καὶ μοῖραν εἶναι καὶ Εὐαίφνῳ τοῦ καρποῦ τῶν βοῶ
ἦν δὲ ἄρα τοιόσδε τις ὁ Εὔαιφνος, κέρδη τε ἄδικα ἐ
πρόσθεν ἢ πιστὸς εἶναι ποιούμενος, καὶ ἄλλως αἱμύλο
ὃς καὶ τότε καταπλεύσασιν ἐς τὴν Λακωνικὴν ἐμπόρο
ἀποδόμενος βοῦς τὰς Πολυχάρους, ἦλθεν αὐτὸς ὡς Πολ
χάρην ἄγγελος· ἐλθὼν δὲ ἀποβάντας ἔλεγεν ἐς τὴν χώρ
λῃστὰς καὶ βιασαμένους αὐτὸν λείαν βοῦς τε ἄγεσθαι κ
βουκόλους. ἕως δὲ οὗτος παρέκειθεν, ἐν τούτῳ τῶν
βουκόλων ἀποδιδράσκει τοὺς ἐμπόρους· ἐπανήκων δὲ κ
ταλαμβάνει τε αὐτοῦ παρὰ τῷ δεσπότῃ τὸν Εὔαιφνον, κ
Πολυχάρους ἐναντίον ἤλεγχεν. ἁλισκόμενος δὲ καὶ ο
ἔχων ἀπαρνήσασθαι, πολλὰ μὲν αὐτὸν Πολυχάρην, πολ
δὲ καὶ τοῦ Πολυχάρους τὸν παῖδα ἱκέτευεν εἶναί οἱ συ
γνώμην. ἐν γὰρ τῇ ἀνθρωπίνῃ φύσει καὶ ἄλλων ἐνόντω

certamen, victor renunciatus est. Is boves habuit multa
quibus alendis quum propria non suppeditarent pascua, loc
vit eas Spartano homini Euaephno in ipsius agro pascenda
ea mercede, ut esset fructus, qui e bobus perciperetur, pa
ticeps. Erat eiusmodi vir ille, ut perfacile quaestui fide
posthaberet: alioqui disertus et blandus. Is in Laconiam n
vibus veniens, pecus mercatoribus venundedit; atque in
quasi inopinatae rei nuncius ultro ad Polycharen venit, pra
dones excursione in eum agrum compascuum facta, exto
taque sibi per vim praeda, boves et simul bubulcos abegis
Interea dum is fallaciter commentum Polychari persuadet,
bubulcis unus a mercatoribus aufugit. Qui reversus, Eu
phnum ibi apud dominum deprehendit, et coram Polych
redarguit. Convictus is quum pernegare non posset, *ad p*
ces confugit, supplexque id sibi ut ignosceret, quum Po
charem ipsum, tum eius filium rogabat: magnam enim vim in
minum natura quum alia habent multa, tum nihil est lucri

ἐφ' οἷς βιαζόμεθα ἄδικοι γίνεσθαι, τὰ κέρδη μεγίστην ἀνάγκην ἔχει. τιμὴν δὲ, ἥντινα ειλήφει τῶν βοῶν, λόγῳ ε ἀπέφαινε, καὶ τὸν παῖδα ἠξίου τὸν Πολυχάρους ἕπεσθαί οἱ κομιούμενον. ὡς δὲ προϊόντες ἐγίγνοντο ἐν τῇ Λακωνικῇ, ἔργον ἐτόλμησεν Εὔαιφνος ἀνοσιώτερον τοῦ προτέρου· φονεύει τοῦ Πολυχάρους τὸν υἱόν. ὁ δὲ ὡς καὶ ταῦτα ἔγνω πεπονθὼς, φοιτῶν ἐς τὴν Λακεδαίμονα τοῖς βασιλεῦσιν ἦν καὶ τοῖς ἐφόροις δι' ὄχλου, πολλὰ μὲν τὸν παῖδα ἀνακλαίων, καταριθμούμενος δὲ, οἷα ὑπὸ Εὐαίφνου πεπονθὼς ἦν, ὃν αὐτὸς ξένον ἐποιήσατο, καὶ πρὸ πάντων Λακεδαιμονίων ἐπίστευσεν. ὡς δέ οἱ συνεχῶς ἰόντι καὶ τὰς ἀρχὰς οὐδεμία ἐγίγνετο τιμωρία, ἐνταῦθα παρεφράπη τε ὁ Πολυχάρης ἐκ τοῦ νοῦ, καὶ τῷ θυμῷ χρώμενος, ἅτε ἔχων ἀφειδῶς ἤδη καὶ αὐτοῦ, πάντα τινὰ, ὃν λάβοι Λακεδαιμονίων, ἐτόλμα φονεύειν. Λακεδαιμόνιοι μὲν δὴ Πολυχάρους τε εἵνεκα οὐκ ἐκδοθέντος σφίσι, καὶ διὰ τὸν Τηλέκλου φόνον, καὶ πρότερον ἔτι ὑπόπτως ἔχον-

iditate ad animos cogendos valentius. Indicavit Euaephnus, quanti boves venditae essent, ac se pretium repositurum, si Polycharis filius secum isset, repromisit. *Cum eo itaque a patre iuvenis missus est.* In Laconiam ubi ventum est, foedius multo addidit ille sceleri scelus. Adolescentem enim interficit. Eius rei immanitate *graviter (ut par fuit)* commotus Polychares, Lacedaemonem ventitans ad reges et Ephoros, de filii caede assidue multisque cum lacrymis ad taedium usque querebatur: exponebat insuper, quas ab eo homine, quem sibi hospitem adsciverat, cuique prae cunctis Lacedaemoniis fidem habuerat, iniurias accepisset. Verum quum eadem apud omnes magistratus iterando nihil omnino ad rei poenam profecisset, iam mentis parum compos, furorique suo nimio plus indulgens, spreta sua salute, in quemcunque incidisset Lacedaemoniorum, eum tanquam hostem morte multabat. Eius belli itaque causas Lacedaemonii prae se ferunt, tum quod Polychares sibi deditus non esset, tum quod Teleclum Messenii oppressissent:

τες διὰ τὸ Κρεσφόντου κακούργημα ἐς τὸν κλῆρον, πολ
μῆσαι λέγουσι.

CAPUT V.

De iis, quae Messenii contradicentes narrant et quibus Lacedae moniorum avaritiam coarguunt — Messenii de Polycha tradendo deliberantes in partes et pugnam discedunt, in qu Androcles interficitur — Euphaë Messeniorum regnum o tinente Lacedaemonii, bello haud indicto, clam Amphean Messeniorum urbem, oppugnant et capiunt — de Athenie sium illius temporis magistratibus.

Μεσσήνιοι δὲ περὶ Τηλέκλου ἀντιλέγουσι τὰ εἰρημένα ἤδ μοι, καὶ Αἴπυτον τὸν Κρεσφόντου συγκαταχθέντα ἀπ φαίνουσιν ὑπὸ Ἀριστοδήμου τῶν παίδων· ὃ μήποτ ἂν ποιῆσαι σφᾶς Κρεσφόντῃ γε ὄντας διαφόρους. Πολυ χάρη δὲ ἐκδοῦναι μὲν ἐπὶ τιμωρίᾳ Λακεδαιμονίοις οὔ φα σιν, ὅτι μηδὲ ἐκεῖνοι σφίσιν Εὔαιφνον· ἐθέλειν μέν τ παρὰ Ἀργείοις συγγενέσιν οὖσιν ἀμφοτέρων ἐν Ἀμφ κτυονίᾳ διδόναι δίκας, ἐπιτρέπειν δὲ καὶ τῷ Ἀθήνῃσι δι καστηρίῳ, καλουμένῳ δὲ Ἀρείῳ πάγῳ, ὅτι δίκας τὰς φο

postremo quod simultates cum Messeniis haberent, *suscepta* ob commissam a Cresphonte in sortitione fraudem.

Cap. V. Contra de Teleclo dicunt Messenii, quae a m iam sunt exposita. Aepytum etiam ostendunt Cresphonti filium ab Aristodemi filiis restitutum. Non fuisse id factu ros, si quid illis cum Cresphonte fuisset dissidii. Deditum a se non fuisse Polycharem, quod neque ipsi dedidissent Euae phnum. Voluisse tamen se, vel apud Argivos, qui utrius que civitatis essent consanguinei, vel in Amphictyonum con silio, causam cognosci. Voluisse rem eandem Areopagitarum sententiis committere, quod iudicium illud de caede apud

νικὰς τὸ δικαστήριον τοῦτο ἐδόκει δικάζειν ἐκ παλαιοῦ. Λακεδαιμονίους δὲ οὐ διὰ ταῦτα πολεμῆσαί φασιν, ὑπὸ πλεονεξίας δὲ τῇ σφετέρᾳ τε ἐπιβουλεῦσαι, καὶ ἄλλα ἐργάσασθαι· προφέροντες μὲν σφισι τὰ Ἀρκάδων, προφέροντες δὲ καὶ τὰ Ἀργείων, ὡς οὔποτε ἐσχήκασι κόρον ἀποτεμνόμενοι τῆς χώρας αἰεί τι ἑκατέρων· Κροίσῳ τε αὐτοῖς δῶρα ἀποστείλαντι γενέσθαι φίλους βαρβάρων πρώτους, ἀφ' οὗ γε τούς τε ἄλλους τοὺς ἐν τῇ Ἀσίᾳ κατεδουλώσατο Ἕλληνας, καὶ ὅσοι Δωριεῖς ἐν τῇ Καρικῇ κατοικοῦσιν ἠπείρῳ. ἀποφαίνουσι δὲ καὶ ἡνίκα οἱ Φωκέων δυνάσται τὸ ἱερὸν τὸ ἐν Δελφοῖς κατειλήφασιν, ἰδίᾳ τε κατὰ ἄνδρα τοὺς βασιλεύοντας ἐν Σπάρτῃ καὶ τῶν ἄλλων τοὺς ἐπ' ἀξιώματος, καὶ κοινῇ τῶν τε ἐφόρων τὴν ἀρχὴν καὶ τὴν γερου- 291
σίαν μετασχόντας τῶν τοῦ θεοῦ. πρὸ δὲ δὴ πάντων, ὡς οὐδένων τοὺς Λακεδαιμονίους κέρδους εἵνεκα ὀκνήσαντας, τὴν συμμαχίαν ὀνειδίζουσί σφισι πρὸς Ἀπολλόδωρον τὸν ἐν Κασσανδρείᾳ τυραννήσαντα. ἀνθ' ὅτου δὲ Μεσσήνιοι

Athenienses iam pridem fuerat constitutum. Verum non eam bellandi causam Lacedaemoniis dicunt fuisse, sed quum alios Graeciae populos, tum se quoque illos immodica dominandi cupiditate inflammatos, *per calumnias* opprimere voluisse. In exemplum Arcadas et Argivos adducunt, quorum fines carpendi finem nullum Spartani fecerint. Commemorant praeterea Croesi donis delinitos, primos e Graecis cum barbaris amicitiam iniisse: quo sane tempore Croesus et alios Asiae populos Graecanicos et Cariae continentem terram, quam tunc Dorienses incolebant, imperio suo adiecerit. Addunt, Delphici Apollinis templo a Phocensium ducibus direpto, eius sacrilegii non privatim solum Spartae reges et optimates, verum et ipsum publice Ephororum magistratum, ac senatum participem fuisse. Illud certe non praetermittunt, quo facile arguant, Lacedaemonios nihil lucri causa non semper ausos: quod societate se cum Apollodoro Cassandriae tyranno coniunxerint. Sed cur postremum hoc factum tam acriter in-

τὸ ὄνειδος ἥγηνται τοῦτο οὕτω πικρὸν, οὗ μοι τῷ λόγῳ τῷ παρόντι ἦν ἐπεισάγεσθαι. ὅτι γὰρ μὴ τῶν Μεσσηνίων τὸ εὔψυχον καὶ χρόνου μῆκος, ὃν ἐπολέμησαν, διάφορα ἐγένετο τῆς Ἀπολλοδώρου τυραννίδος, ἔς γε τὰς συμφορὰς οὐ πολλῷ τινι ἀποδεῖ, ἃ οἱ Κασσανδρεῖς πεπόνθασι. ταῦτα μὲν οὖν δὴ αἴτια ἑκάτεροι τοῦ πολέμου γενέσθαι λέγουσι.

(2) Τότε δὲ πρεσβεία Λακεδαιμονίων ἥκουσα ἐξῄτει Πολυχάρη. οἱ δὲ τῶν Μεσσηνίων βασιλεῖς τοῖς μὲν πρέσβεσιν ἀπεκρίναντο, ὅτι βουλευσάμενοι μετὰ τοῦ δήμου τὰ δόξαντα ἐπιστελοῦσιν ἐς Σπάρτην, αὐτοὶ δὲ, ἐκείνων ἀπελθόντων, ἐς ἐκκλησίαν τοὺς πολίτας συνῆγον. αἱ δὲ γνῶμαι διάφοροι παρὰ πολὺ ἐγένοντο· Ἀνδροκλέους μὲν ἐκδιδόναι Πολυχάρην, ὡς ἀνόσιά τε καὶ πέρα δεινῶν εἰργασμένον· Ἀντίοχος δὲ ἄλλα τε ἀντέλεγε, καὶ τὸ ἁπάντων οἴκτιστον, εἰ Πολυχάρης ἐν ὀφθαλμοῖς πείσεται τοῖς Εὐαιφνου, καταριθμούμενος, ὅσα καὶ οἷα ἦν ἀνάγκη παθεῖν.

cessant Messenii, non est mihi propositum hoc loco disquirere. In Apollodori quidem tyrannide tollenda, etsi neque tamdiu, neque tanto animi ardore bellatum est, Cassandrensium tamen calamitates facile Messeniorum infortunia adaequarunt. Et ad huiusmodi sane causas uterque populus belli initia refert. (2) *Quum utrinque, uti superius a nobis est expositum, factae essent iniuriae*, venere tunc ad Messenios Lacedaemoniorum legati, qui dedi sibi Polycharem postularunt: at Messeniorum reges relaturos ea de re se ad populum responderunt, ac deinde per publicas literas, quod populus iussisset, Spartanos rescituros. Quare quum profecti iam essent legati, concione vocata, sententiae dictae sunt valde diversae. Androcles enim Polycharem auctorem impii et nefarii facinoris dedendum omnino censebat. Antiochus vero quum alia contra dixit, tum *illud in primis*, miserrimum fore Polycharem ante oculos Euaephni poenas pendere. Enumerabat, quàm multa et quam gravia essent futura, quae perpeti illum necesse fo-

τέλος δὲ ἐς τοσοῦτον προήχθησαν οἵ τε Ἀνδροκλεῖ καὶ οἱ
τῷ Ἀντιόχῳ συσπεύδοντες, ὥστε καὶ τὰ ὅπλα ἔλαβον.
οὐ μὴν ἐς μακράν γε προῆλθέ σφισιν ἡ μάχη· περιόντες
γὰρ ἀριθμῷ καὶ πολὺ οἱ σὺν Ἀντιόχῳ, τόν τε Ἀνδροκλέα
καὶ τῶν περὶ αὐτὸν τοὺς λόγου μάλιστα ἀξίους ἀποκτείνου-
σιν. Ἀντίοχος δὲ βασιλεύων ἤδη μόνος, ἔπεμπεν ἐς Σπάρ-
την, ὡς ἐπιτρέπειν ἐθέλοι τοῖς δικαστηρίοις, ἃ ἤδη λέλε-
κταί μοι. Λακεδαιμόνιοι δὲ οὐ λέγονται τοῖς κομίσασι τὰ 292
γράμματα ἀποκρίνασθαι. (3) Μησὶ δὲ οὐ πολλοῖς ὕστε-
ρον Ἀντιόχου τελευτήσαντος, Εὐφάης ὁ Ἀντιόχου παρέ-
λαβε τὴν ἀρχήν. Λακεδαιμόνιοι δὲ οὔτε κήρυκα ἀποστέλ-
λουσι προεροῦντα Μεσσηνίοις πόλεμον, οὔτε προαπειπά-
μενοι τὴν φιλίαν, κρύφα δὲ καὶ μάλιστα ὡς ἐδύναντο ἐν
ἀποῤῥήτῳ παρασκευασάμενοι, προομνύουσιν ὅρκον, μήτε
τοῦ πολέμου μῆκος, ἢν μὴ δι' ὀλίγου κριθῇ, μήτε τὰς
συμφορὰς, εἰ μεγάλαι πολεμοῦσι γένοιντο, ἀποστρέψειν
σφᾶς, πρὶν ἢ κτήσαιντο χώραν τὴν Μεσσηνίαν δορυάλω-

ret. Postremo eo contentio evasit, ut a sua alterutrius factione arma caperentur. Verum *facile* ac brevi finem habuit ea dimicatio. Nam qui cum Antiocho erant, multo superiores numero quum essent, et Androclem ipsum, et earum partium optimum quemque interemerunt. Antiochus quum solus regnum occupasset, per literas Spartanis denunciat, se iis iudicum consiliis, quae ante nominavimus, totam controversiam commissurum. At illi nihil omnino tabellariis respondisse dicuntur. Paucis post mensibus quum in demortui Antiochi locum regnare coepisset eius filius Euphaes, Lacedaemonii neque per fetialem bellum Messeniis indixerunt, neque omnino aperte eorum amicitiae renunciarunt, verum (quam maxime potuerunt) clandestinis consiliis bello apparato, iusiurandum conceperunt, non esse arma se posituros, neque bellandi diuturnitate (si bellum in longinquum tempus duceretur) neque ullius cladis magnitudine, priusquam agros et urbes Messeniorum vi captas imperio adiecissent suo. Haec

τον. ταῦτα προομόσαντες, ἔξοδον νύκτωρ ἐποιοῦντο ἐπὶ Ἄμφειαν, Ἀλκαμένην τὸν Τηλέκλου τῆς στρατιᾶς ἡγεμόνα ἀποδείξαντες. ἡ δὲ Ἄμφεια πρὸς τῇ Λακωνικῇ πόλισμα ἦν ἐν τῇ Μεσσηνίᾳ, μεγέθει μὲν οὐ μέγα, ἐπὶ λόφου δὲ ὑψηλοῦ κείμενον, καὶ ὑδάτων πηγὰς εἶχεν ἀφθόνους· ἐδόκει δὲ καὶ ἄλλως εἰς τὸν πάντα πόλεμον ὁρμητήριόν σφισιν ἐπιτήδειον ἡ Ἄμφεια εἶναι. καὶ τό τε πόλισμα αἱροῦσι πυλῶν ἀνεῳγμένων, καὶ φυλακῆς οὐκ ἐνούσης, καὶ τῶν Μεσσηνίων τοὺς ἐγκαταληφθέντας φονεύουσι, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς, τοὺς δὲ, ὡς ᾔσθοντο, πρός τε ἱερὰ θεῶν καὶ βωμοὺς καθημένους ἱκέτας· ὀλίγοι δὲ καὶ οἱ διαφυγόντες ἐγένοντο. (4) Ταύτην Λακεδαιμόνιοι πρώτην ἐπὶ Μεσσηνίους ἔξοδον ἐποιήσαντο, ἔτει δευτέρῳ τῆς ἐνάτης Ὀλυμπιάδος, ἣν Ξενοδόκος Μεσσήνιος ἐνίκα στάδιον. Ἀθήνησι δὲ οὐκ ἦσάν πω τότε οἱ τῷ κλήρῳ κατ' ἐνιαυτὸν ἄρχοντες. τοὺς γὰρ ἀπὸ Μελάνθου, καλουμένους δὲ Μεδοντίδας, καταρχὰς μὲν ἀφείλοντο ὁ δῆμος τῆς ἐξουσίας τὸ πολὺ, καὶ ἀντὶ βασιλείας μετέστησεν ἐς ἀρχὴν

ante iurati, noctu copias Amphean versus eduxerunt; provincia Alcameni, Telecli filio, decreta. Fuit Amphea in Messenia Laconiae finitimum oppidum, non magnum illud quidem, sed in praecelso colle situm, circumfluens aquarum perennium copia. Opportunus maxime visus est locus, unde omnis se belli apparatus effunderet. Oppidum itaque capiunt patentibus portis, nec ullo obstante praesidio. Messenii, qui sunt intus deprehensi, omnes ad unum interfecti, in ipsis cubilibus alii, alii vero, quum animadversa calamitate ad templa et aras deorum supplices confugissent; pauci omnino periculum effugerunt. (4) Haec prima fuerunt in eo bello suscipiendo Lacedaemoniorum exordia altero anno nonae Olympiadis, qua Messenius Xenodocus de stadio victor renunciatus est, quum Athenis nondum sorte annui magistratus ducerentur, quod scilicet civitas ea Melanthi posteros, qui sunt Medontidae appellati, primum quidem in ordinem redactos, aequo iure et legibus magistratum gerere iussit:

ὑπεύθυνον· ὕστερον δὲ καὶ προθεσμίαν ἐτῶν δέκα ἐποίησεν αὐτοῖς τῆς ἀρχῆς. τότε δὲ ὑπὸ τὴν κατάληψιν τῆς Ἀμφείας Αἰσιμίδης Ἀθηναίοις ἦρχεν ὁ Αἰσχύλου πέμπτον ἔτος.

CAPUT VI.

De belli Messenici denominatione ejusque scriptoribus — de Aristomene ejusque aetate — Messenii, Amphea capta, ad Stenyclerum concionem populi habent, et bellum parant.

Πρὶν δὲ ἢ συγγράφειν με τὸν πόλεμον, καὶ ὁπόσα πολε- 293
ιοῦσιν ἑκατέροις ὁ δαίμων παθεῖν ἢ δρᾶσαι παρεσκεύασεν, ἔργα διακρῖναί τε καὶ ἡλικίαν πρότερον ἠθέλησα ἀνδρὸς Μεσσηνίου. τὸν γὰρ πόλεμον τοῦτον γενόμενον μὲν Λακεδαιμονίων καὶ τῶν συμμάχων πρὸς Μεσσηνίους καὶ τοὺς ἐπικούρους, ὀνομασθέντα δὲ οὐκ ἀπὸ τῶν ἐπιστρατευσάντων, ὥσπερ γε ὁ Μηδικὸς καὶ ὁ Πελοποννήσιος, Μεσσήνιον δὲ ἀπὸ τῶν συμφορῶν, καθὰ δὴ καὶ τὸν ἐπὶ Ἰλίῳ κληθῆναι Τρωϊκὸν, καὶ οὐχ Ἑλληνικὸν ἐξενίκησε, τοῦτον δὴ γὰρ τῶν Μεσσηνίων τὸν πόλεμον Ῥιανός τε ἐν τοῖς

deinde cavit, ne ultra annos X imperium continuarent. Quo itaque tempore Amphea capta est, Aesimides Atheniensis, Aeschyli filius, quintum iam annum summae reipublicae praeerat.

Cap. VI. Sed antequam bellum conscribam et quae utrique bellantium parti divinitus patienda aut facienda obvenerunt, statui Messenii hominis res gestas et aetatem exquirere. Hoc certe bellum, quod a Lacedaemoniis eorumque sociis cum Messeniis et iis populis, qui auxilia Messeniis miserunt, gestum est, non ab iis, qui priores arma ceperunt, nomen duxit, uti Persicum et Peloponnesiacum; sed a Messeniorum clade Messenicum est appellatum: sicuti et illud, quod ad Ilium Graeci gesserunt, pervicit usus ut Troianum, non Graecum, appellaretur. Hoc ipsum Messenicum bellum perscripsere

ἔπεσιν ἐποίησεν ὁ Βηναῖος, καὶ ὁ Πριηνεὺς Μύρων· λό-
γοι δὲ πεζοὶ Μύρωνός ἐστιν ἡ συγγραφή. συνεχῶς μὲν δὴ
τὰ πάντα ἐξαρχῆς ἐς τοῦ πολέμου τὴν τελευτὴν οὐδετέρῳ
διήνυσται, μέρος δὲ, ὡς ἑκάτερος ἠρέσκετο. ὁ μὲν τῆς τ
Ἀμφείας τὴν ἅλωσιν, καὶ τὰ ἐφεξῆς συνέθηκεν, οὐ πρόσω
τῆς Ἀριστοδήμου τελευτῆς· Ῥιανὸς δὲ τοῦδε μὲν τοῦ πρώ
του τῶν πολέμων οὐδὲ ἥψατο ἀρχήν. ὁπόσα δὲ χρόνῳ
συνέβη τοῖς Μεσσηνίοις ἀποστᾶσιν ἀπὸ Λακεδαιμονίων,
δὲ καὶ ταῦτα μὲν οὐ τὰ πάντα ἔγραψε, τῆς μάχης δὲ τ
ὕστερα, ἣν ἐμαχέσαντο ἐπὶ τῇ Τάφρῳ τῇ καλουμένῃ με
γάλῃ. (2) Ἄνδρα οὖν Μεσσήνιον (τούτου γὰρ δὴ ἕνεκ
τὸν πάντα ἐποιησάμην Ῥιανοῦ καὶ Μύρωνος λόγον) Ἀρ
στομένην, ὃς πρῶτος καὶ μάλιστα τὸ Μεσσήνης ὄνομα ἐ
ἀξίωμα προήγαγε, τοῦτον τὸν ἄνδρα ἐπεισήγαγε μὲν
Πριηνεὺς ἐς τὴν συγγραφὴν, Ῥιανῷ δὲ ἐν τοῖς ἔπεσιν οὐ
294 δὲν Ἀριστομένης ἐστὶν ἀφανέστερος, ἢ Ἀχιλλεὺς ἐν Ἰλιά

Rhianus Benaeus versibus, soluta oratione Prienensis Myron
sed eorum neuter a belli initio ad finem perpetua serie e
omnia persecutus. Nam arbitratu uterque suo partem eiu
belli, sibi quam voluit, assumsit. Myron ab Ampheae eve
sione exorsus, omnia deinceps conscripsit, quae usque a
Aristodemi mortem consecuta sunt: atque eum historia
suae finem praescripsit. At Rhianus primum bellum prorsu
non attigit, verum ea duntaxat, quae Messeniis post def
ctionem a Lacedaemoniis evenerunt. Sed neque haec omni
singillatim literis mandavit: verum quae post pugnam ge
sunt, quae ad fossam, cui Magnae nomen, commissa est, (
et Messenium Aristomenem, cuius maxime causa hanc feci d
Rhiano et Myrone mentionem, quod is scilicet primus, et om
nium maxime, Messeniorum nomen virtute sua illustrari
eum, inquam, virum Myron Prienensis historiae suae inse
ruit: ac Rhiano in suo poëmate Aristomenes nihilo est ob
scurior, quam Homero Achilles in Iliade. Quum itaqu

Ὁμήρῳ. διάφορα οὖν ἐπὶ τοσοῦτον εἰρηκότων, προέσθαι μὲν τὸν ἕτερόν μοι τῶν λόγων, καὶ οὐχ ἅμα ἀμφοτέρους, ὑπελείπετο. Ῥιανὸς δέ μοι ποιῆσαι μᾶλλον ἐφαίνετο εἰκότα ἐς τὴν Ἀριστομένους ἡλικίαν. Μύρωνα δὲ ἐπί τε ἄλλοις καταμαθεῖν ἔστιν οὐ προορώμενον, εἰ ψευδῆ τε καὶ οὐ πιθανὰ δόξει λέγειν, καὶ οὐχ ἥκιστα ἐν τῇδε τῇ Μεσσηνίᾳ συγγραφῇ. πεποίηκε γὰρ, ὡς ἀποκτείνειε Θεόπομπον τὸν Λακεδαιμονίων βασιλέα Ἀριστομένης, ὀλίγον πρὸ τῆς Ἀριστοδήμου τελευτῆς. Θεόπομπον δὲ οὔτε μάχης γιγνομένης οὔτε ἄλλως προαποθανόντα ἴσμεν, πρὶν ἢ διαπολεμηθῆναι τὸν πόλεμον. οὗτος δὲ ὁ Θεόπομπος ἦν καὶ ὁ πέρας ἐπιθεὶς τῷ πολέμῳ. μαρτυρεῖ δέ μοι καὶ τὰ ἐλεγεῖα τῶν Τυρταίου λέγοντα·

Ἡμετέρῳ βασιλῆϊ θεοῖσι φίλῳ Θεοπόμπῳ,
Ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον.

ὁ τοίνυν Ἀριστομένης δόξῃ γε ἐμῇ γέγονεν ἐπὶ τοῦ πολέμου τοῦ ὑστέρου, καὶ τὰ ἐς αὐτὸν, ἐπειδὰν ἐς τοῦτο ὁ λόγος ἀφίκηται, τηνικαῦτα ἐπέξειμι.

inter illos non satis conveniat, reliquum mihi illud est, ut eorum alterius, non utriusque, auctoritatem reiiciam. Rhianus quidem maiorem veritatis de Aristomenis *praesertim* aetate rationem habuisse videtur. Myron vero, quod facile ex aliis eius scriptis cognoscas, atque ex hoc in primis Messenico eius opere, parum omnino, quam probabilia diceret, attendit. Scriptum enim reliquit, Lacedaemoniorum regem Theopompum ab Aristomene interfectum, paulo antequam e vita decederet Aristodemus: quum Theopompum neque in praelio, neque alio quovis mortis genere occidisse compertum habeamus, nisi confecto demum bello, quando hic ille Theopompus fuit, qui bello finem imposuit. Eius rei testimonio sunt Tyrtaei elegi:

Regi *olim* nostro divûm curae Theopompo,
Per quem Messene lata choris capitur.

Viguit itaque, mea quidem opinione, Aristomenes posteriore bello: cuius res gestas, quum ad eam belli partem nostra ora-

(3) Οἱ δὲ Μεσσήνιοι τότε ὡς τὰ περὶ τὴν Ἄμφειαν ἤκουον παρ' αὐτῶν τῶν ἀποσωθέντων ἐκ τῆς ἁλώσεως, συνελέγοντο ἐς Στενύκληρον ἀπὸ τῶν πόλεων. ἀθροισθέντος δὲ ἐς ἐκκλησίαν τοῦ δήμου, καὶ ἄλλοι τῶν ἐν τέλει καὶ τελευταῖος ὁ βασιλεὺς παρεκελεύετο, μήτε τῆς Ἀμφείας καταπεπλῆχθαι τὴν πόρθησιν, ὡς τὸν πάντα ἤδη κεκριμένον δι' αὐτῆς πόλεμον, μήτε ὡς τῆς σφετέρας κρείσσονα τῶν Λακεδαιμονίων δεδοικέναι τὴν παρασκευήν· μελέτην μὲν γὰρ ἐκείνοις τῶν πολεμικῶν ἐκ χρόνου πλείονος, σφίσι δὲ εἶναι τήν τε ἀνάγκην ἰσχυροτέραν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι, καὶ τὸ εὐμενέστερον ἔσεσθαι παρὰ τῶν θεῶν ἀμύνουσι τῇ οἰκείᾳ, καὶ οὐκ ἀδικίας ἄρχουσι.

tio pervenerit, accuratius persequar. (3) Messenii ubi primum captam Amphean cognoverunt ex eorum sermone, qui *illius noctis* cladem effugerant, ex omnibus civitatibus in unum ad Stenyclerum convenerunt. Ubi vocato ad concionem populo, optimi quique priori loco, ac postremo rex ipse exterritos hominum animos ob Ampheae oppressionem confirmarunt, quum dicerent, non esse protinus de universi belli exitu ex isto adverso casu iudicium faciendum, neque omnino esse ad id bellum gerendum quam se apparatiores Lacedaemonios. Illos quidem ad res bellicas longioris temporis afferre exercitationem; sibi vero necessitatem impositam ad excitandos ad virtutem animos acriorem, Causam praeterea suam fore Dis ipsis favorabiliorem, quum et fines suos defenderent, et hostes ipsi nulla iniuria lacessissent.

CAPUT VII.

Lacedaemonii in Messeniam incursiones faciunt, et praedam agunt — Euphaës, rex Messenior., exercitum una cum servis contra hostes educit, et proelium conseritur — anno proximo Lacedaemonii denuo exercitum contra Messenios ducunt, et hi adversa acie in hostes contendunt — utriusque exercitus duces oratione suos exhortantur.

Τοιαῦτα ὁ Εὐφάης εἰπὼν διέλυε τὸν σύλλογον. τὸ δὲ 295
ἀπὸ τούτου πάντας ἔσχεν ἤδη τοὺς Μεσσηνίους ἐν ὅπλοις,
τούς τε οὐκ εἰδότας ἐπαναγκάζων διδάσκεσθαι τὰ πολε-
μικά, καὶ τοῖς ἐπισταμένοις ἐπιμελεστέραν ἢ πρότερον τὴν
ἄσκησιν εἶναι. Λακεδαιμόνιοι δὲ καταδρομὰς ἐποιοῦντο
ἐς τὴν Μεσσηνίαν, καὶ τὴν μὲν χώραν οὐκ ἐλυμαίνοντο,
ἅτε δὴ νομίζοντες οἰκείαν, οὐδὲ δένδρα ἔκοπτον, οὐδὲ οἰκή-
ματα κατέβαλλον· οἱ δὲ λείαν, εἰ περιτύχοιεν, ἤλαυνον,
καὶ σῖτον καὶ τὸν ἄλλον καρπὸν ἀφῃροῦντο. πρὸς δὲ τὰς
πόλεις ποιούμενοι προσβολάς, εἷλον μὲν οὐδεμίαν, ἅτε
καὶ τείχεσιν ὠχυρωμένας καὶ δι' ἀκριβείας φρουρουμένας,
λαμβάνοντες δὲ τραύματα, ἀπεχώρουν ἄπρακτοι, καὶ τε-
λευτῶντες οὐκέτι ἀπεπειρῶντο τῶν πόλεων. ἐλῄστευον δὲ

Cap. VII. Haec et alia huiusmodi quum dixisset Euphaes, concionem dimisit: et exinde Messenios omnes in armis habuit. Nam et tirones ad belli munia erudiendos curabat, et veteranum militem assidua exercitatione confirmabat. Interea Lacedaemonii in hostilem quidem agrum incursiones faciebant: verum (quippe qui suum illum iam esse interpretarentur) neque arbores succidere, neque villas demoliri; praedam tantum, si quam nacti essent, agere, frumenta fructusque alios asportare. Urbes praeterea aliquot oppugnare aggressi, nullam omnino expugnarunt, quum et propugnaculis et firmioribus praesidiis munitae essent: quin per irritos conatus multis acceptis vulneribus retrocedere coacti, postremo oppidorum oppugnationibus prorsus abstinuerunt. Populabantur

καὶ οἱ Μεσσήνιοι τά τε ἐπιθαλάσσια τῆς Λακωνικῆς, καὶ ὅσαι γεωργίαι περὶ τὸ Ταΰγετον ἦσαν. (2) Τετάρτῳ δὲ ἔτει μετὰ τῆς Ἀμφείας τὴν ἅλωσιν Εὐφάης τῷ θυμῷ χρήσασθαι τῷ Μεσσηνίων προθυμούμενος ἀκμαζόντων ἐς τοὺς Λακεδαιμονίους ταῖς ὀργαῖς, καὶ ἅμα τὴν ἄσκησιν ἤδη σφίσιν αὐτάρκη νομίζων εἶναι, προεῖπεν ἔξοδον, συνακολουθεῖν δὲ καὶ τοὺς οἰκέτας προσέτασσε, φέροντας ξύλα καὶ ἄλλα, ὅσα πρόσφορα ἐς ποίησιν χαρακώματος. ἐπυνθάνοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι παρὰ τῶν ἐν Ἀμφείᾳ φρουρῶν τοὺς Μεσσηνίους ἐξιόντας. ἐξεστρατεύοντο οὖν καὶ οὗτοι. καὶ, ἦν γὰρ ἐν τῇ Μεσσηνίᾳ χωρίον, ἄλλως μὲν ἐς ἀγῶνα ἐπιτήδειον, χαράδρα δὲ προσεβέβλητο αὐτοῦ βαθεῖα, ἐνταῦθα τοὺς Μεσσηνίους παρέτασσεν ὁ Εὐφάης, ἀποδείξας στρατηγὸν Κλέοννιν. τῆς τε ἵππου καὶ τῶν ψιλῶν, οἳ συναμφότεροι ἐλάσσους πεντακοσίων ἦσαν, Πυθάρατος καὶ Ἄντανδρος ἡγοῦντο. ὡς δὲ συνῄει τὰ στρατόπεδα, τοῖς μὲν ὁπλίταις καὶ ἀφειδῶς ὅμως καὶ ἀκρατέστερον ὑπὸ τοῦ μίσους φερομένοις ἐπὶ ἀλλήλους

rursus Messenii maritimos Laconiae fines, et quae circa Taygetum erant arva omnia. (2) Quartus iam mensis exierat post captam Amphean, quum Euphaes Messeniorum alacritate confisus, quorum animos ira in Lacedaemonios ardere videbat, ac simul satis iam ratus per assiduas exercitationes ad rei militaris scientiam profectum, educturum se exercitum edixit, servisque, ut se sequerentur, imperavit, cum materia, et omni iaciendi valli instrumento. Id quum Lacedaemonii rescissent ex iis, qui ad Amphean in praesidio erant, et ipsi copias eduxerunt suas. Erat in Messeniorum finibus campus ad signa conferenda alioqui idoneus, nisi quod profundior eum alveus dividebat. Ad eum alveum suam instruxit aciem Euphaes. Imperatorem Cleonnin declaravit. Equites, et levem armaturam, pauciores utrinque quingenis, Pytharatus, et Antander ducebant. Ubi in unum acies concurrere, gravem armaturam, utrinque praecipiti animi ardore pro inveterato odio

οὐ παρέσχεν ἐλθεῖν ἐς χεῖρας ἡ χαράδρα διείργουσα· τὸ δ' ἱππικὸν καὶ οἱ ψιλοὶ συμμίσγουσι μὲν κατὰ τὸ ὑπὲρ τὴν χαράδραν. ἦσαν δὲ οὔτε πλῆθος, οὔτε ἐμπειρίᾳ διαφέ- 296
ροντες οὐδέτεροι, καὶ διὰ τοῦτο ἰσόῤῥοπος ἡ μάχη σφίσιν ἐγένετο. Ἐν ὅσῳ δὲ οὗτοι συνεστήκασιν, ἐν τοσούτῳ τοὺς οἰκέτας ἐκέλευεν ὁ *Εὐφάης*, πρῶτον μὲν τὰ κατὰ νῶτον τοῦ στρατοπέδου φράξασθαι τοῖς σταυροῖς, μετὰ δὲ, τὰ πλευρὰ ἀμφότερα. ἐπεὶ δὲ ἥ τε νὺξ ἐπέλαβε καὶ ἡ μάχη διελέλυτο, τότε ἤδη καὶ τὰ πρὸ τοῦ στρατοπέδου κατὰ τὴν χαράδραν ἐφράξαντο. ὥστε ἐπισχούσης ἡμέρας, τῆς τε προνοίας τοῦ *Εὐφάους* τοῖς *Λακεδαιμονίοις* ἐπιπίπτει λογισμὸς, εἰχόν τε οὔτε ὅπως μάχεσθαι χρὴ πρὸς τοὺς *Μεσσηνίους* μὴ προϊόντας ἐκ τοῦ χάρακος, προσκαθῆσθαί τε ἀπεγίνωσκον, ἀπαράσκευοι τοῖς πᾶσιν ὁμοίως ὄντες. καὶ τότε μὲν ἀποχωροῦσιν οἴκαδε. (3) Ἐνιαυτῷ δὲ ὕστερον κακιζόντων σφᾶς τῶν γεγηρακότων, καὶ δειλίαν τε ὁμοῦ προφερόντων καὶ τοῦ ὅρκου τὴν ὑπεροψίαν, οὕτω δευτέραν ἐκ τοῦ προφανοῦς ἐπὶ *Μεσσηνίους* στρατείαν ἐποιοῦντο. ἡγοῦντο δὲ οἱ βασιλεῖς ἀμφότεροι, *Θεόπομπός* τε ὁ *Νικάν*-

impressionem facientem, medius alveus cohibuit. Equites vero et levis armatura, quae numero et virtute utrinque par fuit, supra alvei intervallum praelium inierunt. Anceps diu certamen. Interea dum acriter dimicatur, iubet Euphaes servos iacto vallo primum tergum, deinde et latera sui agminis aggere munire. Quum vero nox ingrueret, et pugna esset soluta, tunc et frontem castrorum circa alveum muniri iussit. Quare cum prima luce consilio Euphais animadverso, facile intellexerunt Lacedaemonii, neque sibi pugnandi potestatem fore cum Messeniis, qui iam e castris non prodirent, et ad ea obsidenda, quum imparati ad id venissent, nullam in promptu esse facultatem. Domum itaque reverterunt. (3) Deinde qui consecutus est anno, quum iuventuti seniores ignaviam et iurisiurandi contemptum exprobrantes, grave convicium facerent, aperte altera in Messenios expeditio suscepta est. Rex uterque Theopompus Nicandri filius, et Alcamenis Poly-

δρου, καὶ Πολύδωρος ὁ Ἀλκαμένους· Ἀλκαμένης δὲ οὐ
ἔτι περιῆν. ἀντεστρατοπεδεύοντο δὲ καὶ οἱ Μεσσήνιοι
καὶ πειρωμένων μάχης τῶν Σπαρτιατῶν ἄρχειν, ἀντεπεξῄ-
σαν. Λακεδαιμονίοις δὲ ἡγεῖτο Πολύδωρος μὲν κατὰ τὸ κέρα
τὸ ἀριστερὸν, Θεόπομπος δὲ ἐπὶ τῷ δεξιῷ, τὸ μέσον δ
εἶχεν Εὐρυλέων, τὰ μὲν παρόντα Λακεδαιμόνιος, τὰ ἐ
ἀρχῆς δὲ ἀπὸ Κάδμου, καὶ ἐκ Θηβῶν, Αἰγέως τοῦ Οἰολύ
κου τοῦ Θήρα τοῦ Αὐτεσίωνος ἀπόγονος πέμπτος. τοῖ
δὲ Μεσσηνίοις κατὰ μὲν τὸ δεξιὸν τῶν Λακεδαιμονίων ἀν
τετάσσοντο Ἄντανδρός τε καὶ Εὐφάης, τὸ δὲ ἕτερον κέρα
τὸ κατὰ τὸν Πολύδωρον Πυθάρατος εἶχε· Κλέοννις δὲ τ
μέσον. (4) Συνιέναι δὲ ἤδη μελλόντων, ἐπεὶ παριόντες οἱ
βασιλεῖς προέτρεπον τοὺς αὐτῶν, πρὸς μὲν δὴ τοὺς Λα
κεδαιμονίους βραχεῖαν κατὰ τὸ ἐπιχώριον τὴν παράκλησι
ἐποιεῖτο ὁ Θεόπομπος, τοῦ τε ὅρκου τοῦ κατὰ τῶν Μεσ
297 σηνίων ἀναμιμνήσκων, καὶ ὡς καλόν σφισι τὸ φιλοτίμημα
τῶν πατέρων, οἳ τοὺς περιοίκους κατεδουλώσαντο, φανῇ

dorus (decesserat enim Alcamenes ipse) exercitum eduxerunt. His cum agmine suo occurrerunt Messenii: ad pugnamque lacessiti, adversa acie in hostem contenderunt. Laevo Lacedaemoniorum cornu Polydorus, Theopompus dextero praefuit: mediam aciem ducebat Euryleon, Lacedaemone quidem natus, sed Thebis a Cadmo oriundus. Aegei enim filius quum esset, ad Oiolycum, Theran et Autesionem quinto posteritatis gradu origines suas referebat. Iam vero contra dexterum Lacedaemoniorum cornu Antander et Euphaes: adversus sinistrum, quod Polydorus regebat, stetit Pytharatus. In media acie Cleonnis. (4) Quum prope iam esset, ut signa conferrent, progressi in medium duces, suos utrinque ad rem strenue gerendam cohortati sunt. Ac Theopompus quidem suos perbrevi, Lacedaemoniorum more, oratione adhortatus, memores esse iussit concepti contra Messenios iurisiurandi; pulcrum, praeclarum et honestum fore, si patribus, qui finitimos

και λαμπρότερα εἰργασμένους, καὶ χώραν εὐδαιμονεστέραν προσκεκτημένους. Εὐφάης δὲ μακρότερα μὲν εἶπεν, ἢ ὁ Σπαρτιάτης, οὐ πλείω δὲ οὐδ' οὗτος, ἢ ἐφιέντα ἑώρα τὸν καιρόν. οὐ γὰρ περὶ γῆς μόνον οὐδὲ κτημάτων τὸν ἀγῶνα ἀπέφαινε γενησόμενον, εἰδέναι δὲ ἔφη σαφῶς, ἃ νικωμένους ἐπιλήψεται· γυναῖκας μὲν γὰρ ἀχθήσεσθαι καὶ τέκνα ἐν ἀνδραπόδων μέρει, τοῖς δὲ ἐν ἡλικίᾳ τὸ ἐλαφρότατον ἔσεσθαι θάνατον, ἢν μετ' αἰκίας μὴ γένηται· συλήσεσθαι δέ σφισι καὶ τὰ ἱερὰ, καὶ τὰς πατρίδας ἐμπρήσεσθαι· λέγειν δὲ οὐκ εἰκάζων, μάρτυρα δὲ ἐναργῆ πᾶσιν εἶναι τῶν ἐγκαταληφθέντων ἐν Ἀμφείᾳ τὰ πάθη· πρό τε δὴ τηλικούτων κακῶν κέρδος εἶναι καλῶς τινα ἀποθανεῖν· πολὺ δὲ εἶναι ῥᾷον ἀηττήτοις οὖσιν ἔτι, καὶ τὰς τόλμας καθεστηκόσιν ἐξ ἴσου, προθυμίᾳ τοὺς ἀντιτεταγμένους ὑπερβαλεῖν, ἢ προαποβαλόντας τὸ φρόνημα ἐπανορθοῦσθαι τὰ ἐπταισμένα. τοιαῦτα μὲν ὁ Εὐφάης εἶπεν.

in servitutem redegissent, splendidiora edidisse facinora, et feliciorem suis finibus adjecisse regionem viderentur. At Euphaes longiore quam Spartanus usus est oratione; nihilo plura tamen et hic dixit, quam tempus pati posse videretur. Non esse de agro tantum et fortunis propositum certamen: habere se prae oculis, quae victos maneret sors: coniuges et parvulos liberos in servitutem abductum iri: iis vero, qui iam adolevissent, levissimam poenam mortem fore, ea modo si absque contumelia et cruciatu contigisset: futurum, ut deorum templa diriperentur, sua cuiusque patria incendio deleretur. Neque vero se haec ex coniectura dicere; minime obscura unicuique documenta esse posse calamitates eas, quas belli initio, qui ad Ampheam oppressi sunt, passi fuerant: redimi hanc eventorum atrocitatem honesta morte posse. Facilius esse multo, quum invicti adhuc sint, et animorum audacia hostibus pares, prompta alacritate adversarios superare, quam, abiecto prius animo, post in clade sarcienda laborare. Haec Euphaes.

CAPUT VIII.

De proelio a Messeniis cum Lacedaemoniis commisso et fortiter utrinque factis narratio.

Ἐπεὶ δὲ ἑκατέροις ἐσήμηναν οἱ ἡγεμόνες, Μεσσήνιοι μὲν δρόμῳ [τῷ] ἐς τοὺς Λακεδαιμονίους ἐχρῶντο, καὶ ἀφειδῶς αὑτῶν εἶχον, ἅτε ἄνθρωποι θανατῶντες ὑπὸ τοῦ θυμοῦ· καὶ αὐτὸς ἕκαστος πρῶτος ἔσπευδεν ἄρξαι μάχης. ἀντεπῄεσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι σπουδῇ καὶ οὗτοι, πρόνοιαν δὲ ὅμως ἐποιοῦντο, μὴ διαλυθῆναί σφισι τὴν τάξιν. ὡς δὲ πλησίον ἐγίγνοντο, ἀπειλαῖς ἐχρῶντο τῶν τε ὅπλων τῇ κινήσει καὶ ἐνορῶντες ἐς ἀλλήλους δεινὸν, ἔς τε λοιδορίας προήγοντο· οἱ μὲν, οἰκέτας αὑτῶν ἤδη τοὺς Μεσσηνίους, καὶ οὐδὲν ἐλευθερωτέρους ἀποκαλοῦντες τῶν εἱλώτων· οἱ δὲ, ἐκείνους τῷ τε ἐγχειρήματι ἀνοσίους (ἐπεὶ πλεονεξίας εἵνεκα ἐπὶ ἄνδρας συγγενεῖς ἐπίασι) καὶ θεῶν ἀσεβεῖς, ὅσοι Δωριεῦσι πατρῷοι, τῶν τε ἄλλων καὶ μάλιστα Ἡρακλέους. ηδη τε ὁμοῦ τοῖς ὀνείδεσι καὶ ἔργων

Cap. VIII. Ubi vero ducum iussu classica utrinque cecinerunt, cursu Messenii in hostem effusi, impressionem fecerunt: quippe qui ira concitati, mortem cupidius oppeterent, et pro se quisque prior pugnae aleam experiri festinaret. Lacedaemonii et ipsi gressum contra alacriter tulerunt: caverunt tamen quammaxime, ne turbatis ordinibus acies solveretur. Quum iam prope esset, ut congrederentur, primum minis, armorum motu, ac trucibus se invicem oculis lacessebant: contumeliae etiam utrinque iactatae. Lacedaemonii servos esse suos Messenios dicere, nihilo illos quidem Hilotis liberiores. At contra Messenii, ad impium illos facinus aggressos, qui incensi dominandi cupiditate, cognatis suis negotium facesserent, et quum aliorum qui Dorico nomini patrii essent di, tum vero Herculis ipsius numina laederent. Iam

ἤπτοντο, ἀθρόοι τε πρὸς ἀθρόους ὠθισμῷ χρώμενοι μάλιστα οἱ Λακεδαιμόνιοι, καὶ ἀνὴρ ἀνδρὶ ἐπιόντες. τέχνῃ 298 μὲν οὖν ἔς τὰ πολεμικὰ ὁμοῦ καὶ μελέτῃ πολὺ οἱ Λακεδαιμόνιοι προέσχον, πρὸς δὲ καὶ τῷ πλήθει. τούς τε γὰρ περιοίκους ὑπηκόους ἤδη καὶ συνακολουθοῦντας εἶχον. Ἀσιναῖοί τε οἱ Δρύοπες, γενεᾷ πρότερον ὑπὸ Ἀργείων ἐκ τῆς σφετέρας ἀνεστηκότες, καὶ ἥκοντες ἐς τὴν Λακεδαίμονα ἱκέται, κατ᾽ ἀνάγκην συνεστρατεύοντο. πρὸς δὲ τοὺς ψιλοὺς τῶν Μεσσηνίων τοξότας Κρῆτας ἐπήγοντο μισθωτούς. * Μεσσηνίους δὲ ἐς ἅπαντα ἐς τὸ ἴσον ἥ τε ἀπόνοια καὶ τὸ ἐς τὸν θάνατον εὔθυμον, καὶ ὁπόσα μὲν πάσχοιεν, ἀναγκαῖα μᾶλλον τοῖς πατρίδα σεμνύνουσιν, ἢ δεινὰ ἐνόμιζον. ἃ δὲ ἔδρων, αὐτοί τε ἡγοῦντο εἰργάσθαι μειζόνως, καὶ τοῖς Λακεδαιμονίοις συμβαίνειν χαλεπώτερα. καὶ οἱ μὲν αὐτῶν προεκπηδῶντες τῆς τάξεως, τολμήματα λαμπρὰ ἀπεδείκνυντο, τοῖς δὲ καὶ ἐπικαίρως τετρωμένοις

vero quum a probris ad manus ventum esset, acriter se vicissim impellere. Maiore vero impetu hostem Lacedaemonii trudebant. Urgebat iam vir virum comminus. Et bellandi quidem arte atque exercitatione superiores erant Lacedaemonii, quin etiam numero. Erant enim in eorum potestate finitimi iam prope omnes, iidemque eius belli socii: et Asinaei, ac Dryopes, ab Argivis aetate una ante sedibus suis pulsi, quum Lacedaemonem supplices venissent, iam necessitate adducti arma coniunxerant. Contra levem vero Messeniorum armaturam Cretenses venerant sagittarii, mercede conducti. Messenios quidem quum *futura, si victi essent,* desperatio, tum pariter mortis contemptus incitabat: quum et quae paterentur omnia, iis, qui patriam suam maxime illustrem esse vellent, necessaria potius quam gravia ducerent: quae vero facerent, quo alacritatis essent pleniora, eo magis ad hostis conatus debilitandos apposita. Et eorum sane multi extra agmen suum exilientes, praeclara edebant summae virtutis facinora: quin et in iis, qui lethalibus acceptis vulneribus iam

καὶ ἐμπνέουσιν ὀλίγον, ὅμως ἡ ἀπόνοια ἤκμαζε. παρακλήσεις τε ἐγίγνοντο, καὶ οἱ μὲν ζῶντες καὶ ἔτι ἄτρωτοι τοὺς τραυματίας παρώξυνον, πρὶν ἢ τὴν ἐσχάτην τινὶ ἐφεστηκέναι μοῖραν, ἀντιδράσαντα, ὅ τι καὶ δύναιτο, σὺν ἡδονῇ δέχεσθαι τὸ πεπρωμένον· οἱ δὲ ὁπότε αἴσθοιντο οἱ τραυματίαι τὴν ἰσχὺν σφᾶς ὑπολείπουσαν, καὶ τὸ πνεῦμα οὐ παραμένον, διεκελεύοντο τοῖς δρῶσι, μὴ χείρονας ἢ αὐτοὶ γίγνεσθαι, μηδὲ ἐς ἀνωφελὲς τῇ πατρίδι καὶ τὴν ἐκείνων τελευτὴν καταστῆσαι. Λακεδαιμόνιοι δὲ πρότερον τῇ μὲν ἐς ἀλλήλους δεήσει οὐκ ἐχρῶντο, καὶ ἐς τὰ παράδοξα τῶν τολμημάτων οὐ κατὰ ταὐτὰ ἑτοίμως τοῖς Μεσσηνίοις εἶχον· ἅτε δὲ εὐθὺς ἐκ παίδων τὰ πολεμικὰ ἐπιστάμενοι, βαθυτέρᾳ τε τῇ φάλαγγι ἐχρῶντο, καὶ τοὺς Μεσ-
299 σηνίους ἤλπιζον οὔτε χρόνον ἴσον καρτερήσειν ἀντιτεταγμένους, οὔτε πρὸς τὸν ἐν τοῖς ὅπλοις κάματον, ἢ τὰ τραύματα ἀνθέξειν. (2) Ἰδίᾳ μὲν τοιαῦτα ἐν ἑκατέρῳ τῷ στρατεύματι ἔς τε τὰ ἔργα ἦν, καὶ ἐς τὰς γνώμας τῶν μα-

prope animam agerent, vigor ille apparebat, qui solet a desperatione proficisci. Audiebantur mutuae cohortationes. Viventes namque et integri, saucios hortabantur, ut, priusquam fato suo defungerentur, se dignum aliquid gererent, quo possent mortem suam voluptate oppetere. Saucii rursus, quum dilabi iam vires sentirent, neque possent amplius spiritum retinere, superstites monebant, ne se deteriores essent, neve committerent, ut sua mors nihil omnino patriam iuvisse videretur. At Lacedaemonii pugnae initio neque se vicissim adhortabantur, neque ad inopinata audaciae specimina tam promti erant quam Messenii: verum, qui a pueris bellicas artes essent edocti, se intra densiorem phalangem continebant, quod hostem sperabant neque tamdiu in acie persistere, neque in armis laborem, nec vulnera perpeti posse. (2) Propria haec in utraque acie quum quod ad facinora, tum quod ad animos pugnantium attinet, fuere.

ομένων· κοινὰ δὲ ἀπ' ἀμφοτέρων· οὔτε γὰρ ἱκεσίας οἱ ονευόμενοι καὶ χρημάτων ὑποσχέσεσιν ἐχρῶντο, τάχα ἐν που μὴ πείσειν διὰ τὸ ἔχθος ἀπεγνωκότες, τὸ δὲ πλεῖ-ιον, ἀπαξιοῦντες, ὡς οὐ τὰ πρότερά γε κακιοῦσιν. οἵ τε ποκτείναντες ἀπείχοντο καὶ αὐχήματος ὁμοίως καὶ ὀνει-ῶν, οὐκ ἔχοντές πω βεβαίαν οὐδέτεροι τὴν ἐλπίδα, εἰ ρατήσουσι. παραδοξότερα δὲ ἀπέθνησκον οἱ τῶν κειμέ-ων σκυλεύειν τινὰ ἐπιχειροῦντες. ἢ γὰρ τοῦ σώματος υμνόν τι ὑποφήναντες ἠκοντίζοντο καὶ ἐτύπτοντο, οὐ ροορώμενοι διὰ τὴν ἐν τῷ παρόντι ἀσχολίαν, ἢ καὶ ὑπὸ ῶν σκυλευομένων ἔτι ἐμπνεόντων διεφθείροντο. (3) Ἐμά-οντο δὲ καὶ οἱ βασιλεῖς ἀξίως λόγου. Θεόπομπος δὲ καὶ ρατέστερον ὥρμητο ὡς αὐτὸν ἀποκτενῶν Εὐφάη. Εὐ-άης δὲ ὁρῶν ἐπιόντα, εἶπεν ἄρα πρὸς τὸν Ἄντανδρον, ὐδὲν εἶναι τὰ Θεοπόμπου διάφορα ἢ ὁ πρόγονος αὐτοῦ Πολυνείκης ἐτόλμησε· Πολυνείκην τε γὰρ στρατιὰν ἐπὶ

Commune illud fuit utrisque, quod nemo vel caedem depre-abatur, vel in pecunia salutis spem repositam habebat. Dif-idebant enim fortasse propter odii magnitudinem, se quic-quam profecturos: et, quod caput fuit, indignabantur se non priores mortem adversario obtulisse. Iam qui hostem nterficiebant, neque se gloriose iactabant, neque probra om-nino ulla iaciebant. In neutram enim erat partem spes pro-pensior, utri essent utris e certamine superiores discessuri. Accidebat in primis insignis illis mors, qui iacentem spoliare ggressi, vel *eminus*, nudata aliqua parte corporis, missilibus gebantur; vel *cominus* de improviso, quum aliud agerent, aedebantur; vel ab iis ipsis etiam, quibus spolia detrahe-ant, adhuc spirantibus confodiebantur. (3) Fuit et regum psorum illustris dimicatio. Theopompus intemperantius se n Euphaen infesto telo intulit. Euphaes in se vadentem onspicatus, Antandrum appellans: Non sunt, inquit, quae Theopompus molitur, diversa a Polynicis, a quo oriundus it, ausis. Ille enim quum adversum patriam ab Argis exer-

τὴν πατρίδα ἀγαγόντα ἐξ Ἄργους ἀποκτεῖναι τὸν ἀδελφὸ αὐτοχειρὶ, καὶ ἀποθανεῖν ὑπὸ ἐκείνου, Θεόπομπόν τε ἐθ λειν ἐς τὸ ἴσον καταστῆσαι μιάσματος τοῖς ἀπὸ Λαΐου κα Οἰδίποδος τὸ Ἡρακλειδῶν γένος· οὐ μέντοι χαίροντά γ ἀπὸ τῆς μάχης διακριθήσεσθαι. τοιαῦτα ἐπιλέγων, ἀντι πήει καὶ οὗτος. ἐνταῦθα ἥ τε πᾶσα μάχη κεκμηκότων ὅμω ἐς τὸ ἀκμαιότατον αὖθις ἤρθη, καὶ τοῖς τε σώμασιν ἀνε ῤῥώννυντο, καὶ τὸ ἀφειδὲς ἐς τὸν θάνατον παρ' ἀμφοτέ ρων ηὐξάνετο, ὥστε εἰκάσαι ἄν τις, τοῦ ἔργου τότε σφᾶ πρῶτον ἅπτεσθαι. τέλος δὲ οἱ περὶ τὸν Εὐφάη τῆς τε ἀπο νοίας τῷ ὑπερβάλλοντι, μανίας ὄντες ἐγγύτατα, καὶ ὑπ
800 ἀνδραγαθίας (πᾶν γὰρ δὴ τὸ περὶ τὸν βασιλέα οἱ λογάδε τῶν Μεσσηνίων ἦσαν) βιάζονται τοὺς ἀντιτεταγμένους, κα αὐτὸν τὸν Θεόπομπον ἀπώσαντο, καὶ Λακεδαιμονίων τοὺ καθ' αὐτοὺς ἐτρέψαντο. τὸ δὲ ἕτερον κέρας τοῖς Μεσση νίοις ἐταλαιπώρει. Πυθάρατός τε γὰρ ὁ στρατηγὸς ἐτε θνήκει, καὶ αὐτοὶ διὰ τὴν ἀναρχίαν ἀτακτότερον καὶ ἀθύμως

citum duxisset, sua manu fratrem occidit, et ab eo vicissim est interemptus. Iste etiam quaerit Herculis posteritatem eodem parricidii scelere contaminare, quo Laii et Oedipodis familia se polluit. At enim non discedet ille satis laetus a praelio. Haec dicens, et ipse in hostem invasit. Ibi praelium, quod fatigatis in utraque acie militibus iam prope elanguescebat, confirmatis corporibus, et aucto mortis contemptu, acrius exarsit. Quare primis congressibus, primaeque signorum collationi, instaurata pugna prope similis, si quibus forte spectare licitum fuisset, videri potuit. Postremo Euphais globus, qui electissimis viris constabat, versa iam prope immodica illa audacia in furorem, virtute etiam sua usus, in adversum hostem impetu facto, Theopompum ipsum loco deturbant, et Lacedaemonios sibi oppositos in fugam vertunt. Sed alterum coepit Messeniorum cornu graviter laborare. Quum enim Pytharatus cecidisset, qui in ea agminis parte steterant, duce iam amisso, et ordines deseruerunt, et animum non pa-

ἄχον οὐδ' οὗτοι. φεύγουσι δὲ, οὔτε τοῖς Μεσσηνίοις ὁ Πολύδωρος, οὔτε οἱ περὶ τὸν Εὐφάη τοῖς Λακεδαιμονίοις ἠκολούθησαν. Εὐφάει γὰρ καὶ τοῖς περὶ αὐτὸν αἱρετώτερα ἐφαίνετο ἀμύνειν τοῖς ἡττωμένοις· οὐ μέντοι Πολυδώρῳ γε οὐδὲ τοῖς περὶ αὐτὸν συμμίσγουσιν· ἐν σκότῳ γὰρ ἤδη τὰ γινόμενα ἦν. καὶ τοὺς Λακεδαιμονίους ἅμα εἶργε, μὴ πρόσω τοῖς ἀποχωροῦσιν ἐπακολουθεῖν, οὐχ ἥκιστα ἡ ἀπειρία τῶν τόπων. ἦν δὲ αὐτοῖς καὶ ἄλλως πάτριον, σχολαιοτέρας τὰς διώξεις ποιεῖσθαι, μὴ διαλῦσαι τὴν τάξιν πλείονα ἔχοντας πρόνοιαν, ἤ τινα ἀποκτεῖναι φεύγοντα. τὰ δὲ μέσα ἀμφοτέροις, ᾗ Λακεδαιμονίων ὁ Εὐρυλέων, Μεσσηνίων δὲ Κλέοννις ἡγεῖτο, ἰσοπαλῶς μὲν ἠγωνίζοντο· διέλυσε δὲ ἀπ' ἀλλήλων καὶ τούτους ἐπελθοῦσα ἡ νύξ. (4) Ταύτην τὴν μάχην παρ' ἀμφοτέρων μόνα ἢ μάλιστα ἐμαχέσαντο τὰ ὁπλιτικά. οἱ δὲ ἐπὶ τῶν ἵππων ὀλίγοι τε ἦσαν, καὶ οὐδὲν, ὥστε καὶ μνημονευθῆναι, διεπράξαντο. οὐ γάρ τοι ἀγαθοὶ τότε ἱππεύειν ἦσαν

rum desponderunt. Non tamen aut fugientes Messenios Polydorus, aut Lacedaemonios est Euphaes insecutus. Satius enim Euphaes et Messeniorum principes esse putarunt, laborantibus suis opem ferre. Non tamen cum Polydoro eiusve cohorte manum conseruerunt. Nox enim iam omnia tenebris obduxerat. Ipsos etiam Lacedaemonios, quo minus fugientem hostem insequerentur, plurimum quidem locorum ignoratio deterruit. Retardavit eos etiam patria disciplina. Traditum enim a maioribus morem religiose tuentes, in fugam versos hostes non urgebant cupidius: quod providentius curandum putabant, ne turbarentur ordines, quam ut fugientes caederent. Media utrinque acies, hinc Euryleonte, illinc Cleonni duce, aequo marte pugnavit. Nox superveniens certamen diremit. (4) Commissum est hoc praelium ex utraque parte gravi maxime peditum armatura. Equestres enim copiae, et parvae fuere, et nihil omnino memoria dignum gesserunt. Nondum enim Peloponnesii equitandi peritiam fuerant adepti.

οἱ Πελοποννήσιοι. τῶν δὲ Μεσσηνίων οἱ ψιλοί, καὶ πα
Λακεδαιμονίοις Κρῆτες, οὐδὲ συνέμιξαν ἀρχήν· τῷ γ
πεζῷ τῷ σφετέρῳ κατὰ τρόπον ἔτι ἑκάτεροι τὸν ἀρχαῖ
ἐπετάχθησαν. ἐς δὲ τὴν ἐπιοῦσαν μάχης μὲν οὐδέτε
διενοοῦντο ἄρχειν, οὐδὲ ἱστάναι πρότεροι τρόπαιον. πρ
ούσης δὲ τῆς ἡμέρας, ὑπὲρ ἀναιρέσεως τῶν νεκρῶν ἐπε
ρυκεύοντο, καί, ἐπειδὴ παρ' ἀμφοτέρων συνεχωρήθη, θ
πτειν ἔμελλον ἤδη τὸ ἐντεῦθεν.

CAPUT IX.

Messenii post hanc pugnam calamitatibus afflicti in montem
urbem Ithomen secedunt — Delphos mittunt ad oracul
consulendum — ad oraculi effatum exsequendum virgin
ex Aepytidarum genere quaerunt — Aristodemus filiam i
molandam tradit, ac dein ipse illam interficit.

301 Τοῖς δὲ Μεσσηνίοις μετὰ τὴν μάχην πονηρὰ γίνεσθαι τ
πράγματα ἤρχετο. δαπάνη τε γὰρ χρημάτων ἀπειρήκεσα
ἃ τῶν πόλεων ἀνήλισκον ἐς τὰς φρουράς, καὶ οἱ δοῦλ
παρὰ τοὺς Λακεδαιμονίους ηὐτομόλουν· ταῖς δὲ καὶ ν
σος ἐνέπεσε· καὶ ταραχὰς μὲν παρέσχεν ἡ νόσος ὡς λοιμ

Expediti vero Messeniorum, et Lacedaemoniorum Cretens
sagittarii ne congressi quidem sunt, quod more maiorum utr
que in pedestris aciei subsidiis steterant. Postero die su
primam lucem neutri pugnam aggredi, aut erigere tropaeu
occuparunt. Ubi iam processit dies, de cadaveribus tolle
dis per caduceatores pactis induciis, ad suos se uterque exe
citus humandos convertit.

Cap. IX. Post eam pugnam Messeniorum res multis co
ptae calamitatibus affligi: primum quidem, quod immodi
in urbium praesidia erogata pecunia, iam unde exercitum ale
rent, non habebant: deinde et servitia ad Lacedaemoni
perfugere: postremo morbus quidam pesti assimilis, etsi i

ἐφ̓ς, οὐ μὴν ἐς ἅπαντάς γε ἐχώρησε. βουλευομένοις δὲ πρὸς τὰ παρόντα ἐδόκει, τὰ μὲν πολλὰ πολίσματα, τὰ ἐς μεσόγαιαν πάντα, ἐκλείπειν, ἐς δὲ τὸ ὄρος ἀνοικίζεσθαι τὴν Ἰθώμην. ἦν δὲ καὶ πόλισμα αὐτόθι οὐ μέγα, ὃ καὶ Ὅμηρόν φασιν ἔχειν ἐν καταλόγῳ·

καὶ Ἰθώμην κλωμακόεσσαν.

ἐς τοῦτο τὸ πόλισμα ἀνῳκίζοντο, ἐπεκτείναντες τὸν ἀρχαῖον περίβολον, ἔρυμα εἶναι πᾶσιν αὔταρκες. ἦν δὲ τι χωρίον καὶ ἄλλως ἐχυρόν· ἡ γὰρ Ἰθώμη μεγέθει τε οὐδενὸς ἀποδεῖ τῶν ὀρῶν, ὁπόσα ἐντὸς ἐστιν Ἰσθμοῦ, καὶ δύσβατος κατὰ τοῦτο μάλιστα ἦν. (2) Ἐδόκει δὲ καὶ θεωρὸν πέμψαι σφίσιν ἐς Δελφούς. ἀποστέλλουσιν οὖν Τίσιν τὸν Ἄλκιδος, καὶ ἀξιώματι οὐδενὸς ὕστερον, καὶ ὅτι προσκεῖσθαι μαντικῇ μάλιστα ἐνομίζετο. τοῦτον τὸν Τίσιν ἐπανιόντα ἐκ Δελφῶν λοχῶσιν ἄνδρες Λακεδαιμονίων ἀπὸ τῆς ἐν Ἀμφείᾳ φρουρᾶς· λοχήσαντες δὲ (οὐ γὰρ ὑπεῖ-

universo omnino non est grassatus, magnam tamen rebus cunctis perturbationem attulit. De summa rerum consulentibus, placuit pleraque oppida, quae in meditullio sita essent, deserere, in Ithomen vero montem secedere. Erat in eo oppidum non ita magnum, cuius factam esse ab Homero in Graecorum copiis recensendis mentionem credunt, quum Ithomen salebrosam dicit. Facta huc secessione, vetus pomoerium, quatenus sat esset toti, quae illuc convenerat, multitudini tuendae, ampliarunt. Erat loci natura castellum egregie munitum. Nam et mons ipse nulli est eorum, qui intra Isthmum sunt, magnitudine inferior: et propterea *omni ex parte* aditu erat difficillimus. (2) Ibi quum consedissent, Delphos mittere statuerunt, qui de belli exitu oraculum consuleret. Missus itaque est Tisis Alcidis filius, vir, quum ceteris laudibus praestans, tum vero divinandi sollertiae maxime deditus. Hunc Delphis redeuntem ex insidiis Lacedaemoniorum aliquot de praesidio ab Amphea adoriuntur: sed enim acriter sed defen-

κεν αἰχμάλωτος γενέσθαι) περιμένοντα οὖν ἀμύνεσθαι καὶ ἀνθεστηκότα ἐτίτρωσκον· ἐς ὃ γίνεται βοή σφισιν ἐξ ἀφανοῦς, Τὸν χρησμοφόρον μέθες. καὶ Τίσις μὲν, ὡς ἀπεσώθη τάχιστα ἐς Ἰθώμην, καὶ τὴν μαντείαν παρὰ τὸν βασιλέα ἀνήνεγκε, μετ' οὐ πολὺ ὑπὸ τῶν τραυμάτων τελευτᾷ. τοὺς δὲ Μεσσηνίους συναθροίσας ὁ Εὐφάης ἐπεδείκνυ τὸν χρησμόν·

Κούρην ἄχραντον νερτέροισι δαίμοσι,
Κλήρῳ λαχοῦσαν Αἰπυτιδῶν ἀφ' αἵματος,
Θυηπολεῖτε νυκτέροισιν ἐν σφαγαῖς.
302 *Ἢν δ' ἐκφύγῃ γε, καὶ παρ' ἀλλοίου τότε*
Θύειν, διδόντος ἐς σφαγὴν ἑκουσίως.

(8) Ταῦτα τοῦ θεοῦ δηλώσαντος, αὐτίκα ἐκληροῦντο ὅσαι παρθένοι τοῦ Αἰπυτιδῶν γένους ἦσαν. καὶ, ἐπελάμβανε γὰρ Λυκίσκου θυγατέρα ὁ κλῆρος, ταύτην Ἐπήβολος ὁ μάντις ἀπηγόρευεν ὡς οὐ δέοι θύειν, οὐ γὰρ εἶναι Λυκίσκου, τὴν δὲ γυναῖκα, ἣ Λυκίσκῳ συνῴκησεν,

dentem et repugnantem capere non potuerunt: hominem certe sauciandi finem non prius fecerunt, quam vox audita, a quo missa incertum, ORACULI NUNCIUM DIMITTE. Ac Tisis quidem ad suos reversus, regi responsum exponit, neque ita multo post ex illis vulneribus diem obiit suum. Convocatis in concionem Messeniis oraculum Euphaes recitat, *quod fuit huiusmodi:*

Nescia viri puella geniis inferis
Aepytidûm ab alto sorte ducta sanguine
Det polla nocturnis secanda caedibus.
Vos haec ad undas Hallyi facite sacra,
Libenter ipsam virginem dantes neci.

(8) Oraculi voce audita, virgines statim omnes ex Aepytidarum familia sorti commissae. Quumque Lycisci filia ducta fuisset, eam Epebolus vates sacrari vetuit, quod diceret, non esse e Lycisco genitam; verum uxorem Lycisci eam sibi, quum

ὡς τεκεῖν οὔκουν οἵα τε ἦν, ἐν τούτῳ τὴν παῖδα ὑποβαλέσθαι. ἐν ὅσῳ οὗτος ἀνεδίδασκε τὰ ἐς αὐτὴν, ἐν τοσῷδε ὁ Λυκίσκος ἐπαγόμενος ἅμα καὶ τὴν παρθένον ηὐτομόλησεν ἐς Σπάρτην. (4) Ἐχόντων δὲ ἀθύμως τῶν Μεσσηνίων, ὡς Λυκίσκον ἀποδράντα ᾔσθοντο, ἐνταῦθά σφισιν Ἀριστόδημος ἀνὴρ καὶ γένους τοῦ Αἰπυτιδῶν, καὶ Λυκίσκου τῇ τε ἄλλῃ δόξῃ, καὶ τὰ ἐς πόλεμον ἐπιφανέστερος, ἐδίδου τὴν θυγατέρα ἑκὼν θῦσαι. τὰ δὲ ἀνθρώπων, καὶ οὐχ ἥκιστα τὸ πρόθυμον ἡ Πεπρωμένη κατὰ ταὐτὰ ἐπικρύπτει, καὶ εἰ ψηφῖδα ἐπιλάβοι ἰλὺς ποταμοῦ· ὅπου καὶ τότε Ἀριστοδήμῳ διασώσασθαι Μεσσήνην ἀγώνισμα ποιουμένῳ τὸ ἐμπόδιον ἐπήγαγε τοιόνδε. (5) Ἀνὴρ τῶν Μεσσηνίων (τὸ δὲ ὄνομα οὐ λέγουσιν) ἐρῶν ἔτυχε τοῦ Ἀριστοδήμου τῆς θυγατρὸς, τότε δὲ ἔμελλε καὶ γυναῖκα ἄξεσθαι. οὗτος καταρχὰς ἐς ἀμφισβήτησιν Ἀριστοδήμῳ προῆλθεν, ἐκεῖνον μὲν ἐγγυήσαντά οἱ μηκέτι εἶναι κύριον τῆς παιδὸς, αὐτὸς δὲ ἐγγυησάμενος κυριώτερος ἐκείνου γίνεσθαι. δεύτερα δὲ ὡς τοῦτο οὐχ ἑώρα οἱ κατορθούμενον, ἐπ' ἀναίσχυντον τρέπεται λόγον, συγγενέσθαι τε τῇ παιδὶ, καὶ

sterilis esset, supposuisse. Interea dum vates haec ad populum agit, Lyciscus *clam* assumta puella Spartam profugit. (4) Quae res ubi vulgata est, quum hominum mentes vehementer commovisset, Aristodemus, et ipse ex eadem Aepytidarum gente, vir et ceteris vitae ornamentis, et bellica virtute Lycisco clarior, ultro filiam immolandam obtulit. Verum hominum plerumque *in rebus praeclare gerendis* alacritatem nihilo fere minus fatum, quam calculos fluviorum limus, obruit. Nam patriam *per filiae devotionem* servare cupienti Aristodemo obiecit se huiusmodi offensio. (5) Messenius civis, cuius nomen non proditur, forte Aristodemi filiam amabat, ac propediem erat uxorem ducturus. Is itaque *ex sponsu agere, puellam vindicans*; acriter negare, quae ubi desponsa esset, in patris eam amplius esse potestate: suum esse, qui sponsus sit, in illam ius omne. Qua ratione quum parum proficeret, impudenti mendacio vitiatam a se

κύειν ἐξ αὐτοῦ. τέλος δὲ ἐς τοσοῦτον Ἀριστόδημον προή-
γαγεν, ὡς ἐκμανέντα ὑπὸ τοῦ θυμοῦ τὴν θυγατέρα ἀπο-
303 κτεῖναι. μετὰ δὲ, ἀνέτεμνε, καὶ ἐπεδείκνυεν αὐτὴν οὐκ
ἔχουσαν ἐν γαστρί. παρὼν δὲ Ἐπήβολος ἐκέλευεν ἄλλον
τινὰ τὸν θυγατέρα ἐπιδώσοντα γενέσθαι· τῆς γὰρ τοῦ
Ἀριστοδήμου πλέον εἶναί σφισιν ἀποθανούσης οὐδέν· φο-
νεῦσαι γὰρ τὸν πατέρα αὐτήν, θεοῖς δὲ, οἷς ἡ Πυθία προσ-
έταξεν, οὐ θῦσαι. τοιαῦτα εἰπόντος τοῦ μάντεως, τὸ
πλῆθος τῶν Μεσσηνίων ὥρμησαν ἀποκτενοῦντες τὸν μνη-
στῆρα τῆς παιδὸς, ὡς Ἀριστοδήμῳ τε μίασμα εἰκαῖον προσ-
άψαντα, καὶ σφίσι τῆς σωτηρίας τὴν ἐλπίδα ἀμφίβολον
πεποιηκότα. ἦν δὲ ὁ ἀνὴρ οὗτος ἐς τὰ μάλιστα τῷ Εὐ-
φάει φίλος. πείθει τοὺς Μεσσηνίους Εὐφάης, τόν τε
χρησμὸν ἔχειν τέλος, ἀποθανούσης τῆς παιδὸς, καὶ σφί-
σιν ἀποχρᾶν τὰ ὑπὸ Ἀριστοδήμου πεποιημένα. λέγοντος
δὲ ταῦτα, ἔφασαν τὰ ὄντα λέγειν, ὅσοι τοῦ Αἰπυτιδῶν
γένους ἦσαν· ἀπεῖναι γάρ σφισι τὸ δέος τὸ ἐπὶ τῇ
θυγατρὶ ἕκαστός γε ἔσπευδε. καὶ οἱ μὲν τοῦ βασιλέως τῇ

puellam, et gravidam iam esse affirmat. Qua pertinacia eo furoris Aristodemum impulit, ut filiam statim occiderit, et eius utero exciso plane omnibus ostenderit non fuisse praegnantem. Ibi alium iussit Epebolus vates filiam devovere, nam Aristodemi filiae caedem nihil ipsis prodesse: interfectam enim eam a patre, non diis illis, quibus Pythia iusserat, mactatam. Haec populum docente vate, nihil propius fuit, quam ut, impetu facto, ab universa concione puellae procus ille interficeretur: quippe qui et Aristodemum parricidii obligasset, et ipsis salutis suae spem in dubium revocasset. Erat ille Euphai ut qui maxime amicus. Persuadet itaque Euphaes consummatum esse oraculum puellae caede; quaeque ab Aristodemo patrata sint, sufficere ipsis debere. Ei vehementer Aepytidae omnes assensi sunt, quod nihil malebant eorum unusquisque, quam liberari se devovendae filiae

ραινέσει πειθόμενοι τὴν ἐκκλησίαν διαλύουσι, καὶ ἀπ' τῆς πρός τε θυσίας καὶ θεῶν ἑορτὴν τρέπονται.

CAPUT X.

nto anno post Lacedaemonii contra Ithomen exercitum ducunt — cum Messeniis aequo Marte pugnant — in hac pugna Euphaës, rex Messen., vulneribus confectus moritur — Aristodemus rex a Messeniis electus bellum continuat.

Λακεδαιμόνιοι δὲ ἀκούσαντες τὸν γενόμενον Μεσσηνίοις ρησμὸν, ἀθύμως διέκειντο καὶ αὐτοὶ καὶ οἱ βασιλεῖς, ἔς ε τὰ λοιπὰ καὶ ἄρχειν ὀκνοῦντες μάχης.

Ἔτει δὲ ἕκτῳ μετὰ τὸν ἐξ Ἰθώμης Λυκίσκου δρασμὸν ι Λακεδαιμόνιοι (τὰ γὰρ ἱερὰ ἐγίνετο αὐτοῖς αἴσια) στρατεύουσιν ἐπὶ τὴν Ἰθώμην. οἱ δὲ Κρῆτες οὐκέτι παρόντες φίσιν ἔτυχον· ὑστέρησαν δὲ καὶ οἱ τῶν Μεσσηνίων σύμμαχοι. δι' ὑποψίας γὰρ οἱ Σπαρτιᾶται καὶ ἄλλοις ἤδη Πελοποννησίων, καὶ Ἀρκάσιν ἦσαν καὶ Ἀργείοις μάλιστα. αὶ οἱ μὲν Ἀργεῖοι κρύφα ἔμελλον τῶν Λακεδαιμονίων ἀφίξεσθαι, καὶ ἰδίᾳ δὴ μᾶλλον ἢ μετὰ δόγματος κοινοῦ· οῖς δὲ Ἀρκάσιν ἡ στρατιὰ μὲν ἠγείρετο ἐκ τοῦ φανεροῦ· 304

netu. Quare facile tumultum omnem regis oratio sedavit. Ad sacra deinde et festos ludos omnes conversi.

CAP. X. Lacedaemonii de oraculo certiores facti, re- us suis magnopere diffidere: ac reges ipsi in primis ad bel- um moliendum multo segniores facti. Anno demum post ycisci fugam octavo, Lacedaemonii quum perlitassent, Itho- nen duxerunt. Iam Cretenses aberant; et Messeniis etiam ocii minus praesto fuerunt. Suspecti enim erant Spartanis uum alii Peloponnesii, tum vero Arcades, et Argivi maxime. Ac Argivi quidem clam auxilia ad id bellum communi con- ilio decreverunt, privatae militiae nomine: Arcades aperte lelectum habuerunt: sed neque hi satis mature venerunt.

παρέτυχον δὲ οὐδ' οὗτοι. τοὺς γὰρ Μεσσηνίους καὶ ἄνευ συμμάχων κινδυνεῦσαι προήγαγεν ἡ δόξα τοῦ χρησμοῦ (2) Τὰ μὲν οὖν πολλὰ οὐδέν τι ἐγένετο διάφορα ἢ καὶ ἐπὶ τῆς προτέρας μάχης· ἥ τε ἡμέρα καὶ τότε μαχομένους προαπέλιπεν. οὐ μέν τοι βιασθῆναί γε οὐδέτερον κέρας, ἢ καὶ λόχον μνημονεύουσιν. ἐπεὶ μηδὲ τὴν τάξιν, ὡς ἀπ' ἀρχῆς ἐτάχθησαν, συμμεῖναί φασιν, ἀλλ' ἀφ' ἑκατέρων τοὺς ἀρίστους συνελθόντας ἐς τὸ μεσαίτατον, ἐνταῦθα τὸ πάντα ἔχειν πόνον. ὁ γὰρ Εὐφάης πλέον τι, ἢ βασιλέα εἰκὸς ἦν, προθυμούμενος, καὶ ἀφειδῶς τοῖς περὶ τὸν Θεόπομπον ἐγκείμενος, τραύματα πολλά τε καὶ οὐκ ἰάσιμα λαμβάνει. λειποψυχήσαντα δὲ αὐτὸν καὶ πεσόντα οἱ Λακεδαιμόνιοι καὶ ὀλίγον ὅμως ἐμπνέοντα ἐποιοῦντο παρ' αὐτοὺς ἑλκύσαι σπουδήν. ἐπήγειρε δὲ καὶ τοὺς Μεσσηνίους ἥ τε ἐς τὸν Εὐφάη προϋπάρχουσα εὔνοια καὶ τὰ ὀνείδη τὰ μέλλοντα· φονευομένοις τε ὑπὲρ τοῦ βασιλέως ἄμεινόν σφισιν ἐφαίνετο προέσθαι τὰς ψυχάς, ἢ ἐκεῖνον

Nam oraculi fiducia facile Messenios adduxit, ut belli aleam experirentur sociorum copiis non expectatis. (2) Fuit hoc secundum praelium eventu ipso non aliud valde a superiore. Pugnantes quidem lux defecit: sed neutrum in hac pugna cornu nec manipulum vi repulsum memorant. Neutra enim acies, quem ab initio instituerat, ordinem servavit: verum fortissimi quique in medium se agmen ab utraque parte receperunt: ibique multo acerrimum exstitit certamen. Ipse enim Euphaes audacior, quam regem decebat, et intemperantius in Theopompi cohortem invectus, vulnera multa, et e lethalia accepit. Humi stratum et animam prope agentem paululum tamen etiamnum spirantem, ad se rapere Lacedaemonii conati sunt. Ibi exarsere in pugnam Messeniorum animi. Incitabat eos in regem suum pristina benevolentia, neque minus retinendi decoris studium: atque animas quidem suas manifesto periculo obiicere, et ad unum omnes caedi satius ducebant, quam per summam ignominiam regi quenquam

προσμένων ἀποσωθῆναί τινα. (3) Τότε μὲν δὴ πεσὼν ὁ Εὐφάης τήν τε μάχην ἐπεμήκυνε, καὶ προήγαγεν ἐς πλέον παρὰ ἑκατέρων τὰ τολμήματα· ὕστερον δὲ ἀνήνεγκε μὲν καὶ ᾔσθετο, ὅτι οὐκ ἔλαττον ἐσχήκασιν ἐν τῷ ἔργῳ, ἡμέραις δὲ οὐ πολλαῖς ἀποθνήσκει, βασιλεύσας Μεσσηνίων τρία ἔτη καὶ δέκα, καὶ πολεμήσας Λακεδαιμονίοις τὸν πάντα τῆς βασιλείας χρόνον. (4) Εὐφάει δὲ οὐκ ὄντων παίδων, τὸν αἱρεθέντα ὑπὸ τοῦ δήμου κατελείπετο ἔχειν τὴν ἀρχήν· Κλέοννίς τε καὶ Δᾶμις ἐς ἀμφισβήτησιν Ἀριστοδήμῳ προῆλθον, τά τε ἄλλα καὶ τὰ ἐς πόλεμον διαφέρειν νομιζόμενοι. τὸν δὲ Ἄντανδρον οἱ πολέμιοι κατειργάσαντο ἐν τῇ μάχῃ, προκινδυνεύοντα Εὐφάους. ἦσαν δὲ καὶ τῶν μάντεων αἱ γνῶμαι κατὰ ταὐτὰ ἀμφοτέρων, Ἐπηβόλου καὶ Ὀφιονέως, μὴ σφᾶς ἀνδρὶ ἐναγεῖ καὶ θυγατρὸς μίασμα ἐπικειμένῳ δοῦναι τὴν Αἰπύτου καὶ τῶν ἀπογόνων τιμήν. ᾑρέθη δὲ ὅμως καὶ ἐβασίλευσεν Ἀριστόδημος. ὁ δὲ Ὀφιονεὺς οὗτος ὁ τῶν Μεσσηνίων μάντις, τυφλὸς ὢν εὐθὺς ἐκ γενε- 305
τῆς, μαντικήν τινα εἶχε τοιαύτην. πυνθανόμενος τὰ γι-

superstitem esse. (3) Euphais casus et pugnae tempus produxit, et utriusque exercitus virtutem incendit. *Relatus in castra* Euphaes, *ac* paululum recreatus, suos ex eo certamine sensit non inferiores discessisse. Paucis vero post diebus e vita excessit, quum annos regnasset XIII, ac totum regni tempus cum Lacedaemoniis bellando consumsisset. (4) Is quum sine liberis moreretur, regnum populi arbitrio permisit: Cleonnis et Damis cum Aristodemo contendere, quod se quum cetera vitae dignitate, tum rebus belli gestis longe praestantiores putarent. Antander enim in pugna ceciderat, morte pro Euphae oppetita. Adversabantur praeterea vatum duorum, Epeboli et Ophionei, sententiae, non esse dicentium Aepyti et eius posterûm imperium homini filiae caede polluto decernendum. Obtinuit tamen *populi suffragio* regnum Aristodemus. Ophioneus ipse Messeniorum vates, *cuius modo mentionem feci*, quum ortu coecus esset, huiusmodi divinationis

νόμενα, ἑκάστοις ἰδίᾳ τε καὶ ἐν κοινῷ προέλεγεν οὕτω τὰ μέλλοντα. οὗτος μὲν τρόπον ἐμαντεύετο τὸν εἰρημένον. Ἀριστόδημος δὲ βασιλεύσας, τῷ τε δήμῳ διέμενε τὰ εἰκότα χαρίζεσθαι προθυμούμενος, καὶ τοὺς ἐν τέλει τούς τε ἄλλους καὶ μάλιστα Κλέοννιν καὶ Δᾶμιν ἦγεν ἐν τιμῇ. διὰ θεραπείας δὲ εἶχε καὶ τὰ τῶν συμμάχων, Ἀρκάδων τε τοῖς δυνατοῖς, καὶ ἐς Ἄργος καὶ ἐς Σικυῶνα ἀποστέλλων δῶρα. τὸν δὲ πόλεμον ἐπὶ τῆς Ἀριστοδήμου βασιλείας ἐπολέμουν, λῃστείαις τε κατ' ὀλίγους ἀεὶ καὶ περὶ τὴν ὡραίαν καταδρομαῖς ἐς τὴν ἀλλήλων χρώμενοι. Συνεσέβαλλον δὲ καὶ παρὰ τῶν Ἀρκάδων τοῖς Μεσσηνίοις ἐς τὴν Λακωνικήν. Ἀργεῖοι δὲ προαναφῆναι μὲν τὸ ἐς τοὺς Λακεδαιμονίους ἔχθος οὐκ ἠξίουν, γινομένου δὲ ἀγῶνος, παρεσκευάζοντο ὡς μεθέξοντες.

genere utebatur. Quaerebat *de consultoribus suis*, quid quisque vel privatim vel publice egisset; exinde futura coniiciebat. Aristodemus, *ut ad eum redeam*, regnum adeptus, suis in omnes ordines meritis, tam plebis quam optimatum studiosissimus fuit; in primis vero Cleonnin et Damin quovis est honore dignatus. Idem etiam studiose socios colens, per legatos Arcadum, Argivorum et Sicyoniorum primoribus munera misit. Enimvero bellum Aristodemo imperante *utrinque* paucis in hostilem agrum populatoribus immittendis, et incursionibus sub ipsa messis tempora faciendis gestum. Et cum Messeniis quidem missi ab Arcadibus milites in Laconicum agrum excurrere: quum interea Argivi neutiquam ex professo Lacedaemonios lacessere ausi sint: ita tamen omnia compararunt, ut contra eos, si pugna commissa esset, omnino praelium cum Messeniis inituros appareret.

CAPUT XI.

Quinto anno regni Aristodemi Lacedaemoniis et Messeniis socii auxilio veniunt, et sic proelium committitur — de hoc proelio, quo Lacedaemonii fugantur, narratio.

Πέμπτῳ δὲ ἔτει τῆς Ἀριστοδήμου μελλόντων ἐκ προῤῥήσεως συμβολὴν ποιήσεσθαι (τῷ τε γὰρ μήκει τοῦ πολέμου καὶ τοῖς δαπανήμασιν ἀπειρήκεσαν) οὕτω παρεγένοντο ἀμφοτέροις καὶ οἱ σύμμαχοι· Λακεδαιμονίοις μὲν Κορίνθιοι, Πελοποννησίων μόνοι· τοῖς δὲ Μεσσηνίοις οἵ τε Ἀρκάδες πανστρατιᾷ, καὶ Ἀργείων καὶ Σικυωνίων λογάδες. Λακεδαιμόνιοι μὲν οὖν Κορινθίοις καὶ τοῖς εἵλωσι καὶ ὅσοι περίοικοι συνεστρατεύοντο, τὸ μέσον ἐπιτρέψαντες, ἐπὶ τοῖς κέρασιν αὐτοί τε καὶ οἱ βασιλεῖς ἐτάσσοντο, βαθείᾳ τε ὡς οὔπω πρότερον καὶ πυκνῇ τῇ φάλαγγι. τῷ δὲ Ἀριστοδήμῳ καὶ τοῖς περὶ αὐτὸν διετάχθη τὰ ἐς τὴν μάχην οὕτως. ὅσοι τῶν Ἀρκάδων ἢ τῶν Μεσσηνίων τὰ μὲν σώματα ἦσαν ἐῤῥωμένοι καὶ ἀγαθοὶ τὰς ψυχὰς, ὅπλα δὲ οὐκ εἶχον ἰσχυρὰ, τούτοις τῶν ὅπλων τὰ χρησιμώτατα ἐπέλεξε, καὶ ὡς τὸ ἔργον ἤπειγεν, ὁμοῦ τοῖς Ἀργείοις καὶ

Cap. XI. Quintum iam annum regnabat Aristodemus, quum ad statum condictum praelii diem (belli enim diuturnitate, et impensae magnitudine, fracti admodum erant ac debilitati) sui utrisque socii praesto fuere: Lacedaemonios ex omnibus Peloponnesiis Corinthii soli iuvere. At Messeniis in auxilium venere cum universo exercitu Arcades, et Argivorum ac Sicyoniorum lectissimi quique. Steterunt in Spartanorum acie media Hilotae, et finitimi: cornibus reges imperarunt: phalange usi sunt tam densa et conferta, quam antea unquam. Aristodemus copias suas in hunc modum instruxit. Messeniis et Arcadibus, qui corporibus essent valentissimi, quorumque virtus maxime eniteret, arma divisit optima et lectissima: quumque martium opus urgeret, inter Argivos et

armis alioqui positam: nam antequam Lacedaemonii contra bellicas leges proditionem in Messenios comparassent, et Aristocrates Arcas proditionis facinus ausus esset, virtute ac fortuna e diis comite pugnantes decernebant. Constat vero Lacedaemonios eosdem et insequentibus deinde temporibus, quum ad Aegospotamos classi Atheniensium in statione oppositi essent, et alios hostium praetores, et Adimantum in primis mercede sibi devinxisse. (3) At enim et ipsos Lacedaemonios oppressit aliquando poena, quae Neoptolemea dicitur, ex eo scilicet, quod, quum ad Hercei Iovis aram Neoptolemus Achillis filius Priamum iugulasset, et ipsi postea accidit, ut ad Apollinis Delphici aram interimeretur. Venit inde in proverbii consuetudinem, ut, quoties, qua quis alterum affecisset iniuria, eam ipse passus esset, Neoptolemea ultio diceretur. Nam quum maxime opibus florerent Lacedaemonii, deleta Atheniensium classe, magna Asiae parte Agesilai ductu occupata, tunc eis non licuit totum Persae adimere

ἀλλὰ σφᾶς ὁ βάρβαρος περιῆλθε τῷ ἐκείνων εὑρήματι, ἐς Κόρινθον καὶ Ἄργος καὶ ἐς Ἀθήνας τε καὶ Θήβας χρήματα ἀποστείλας. ὅ τε ὀνομαζόμενος Κορινθιακὸς πόλεμος ἀπὸ τούτων ἐξήφθη τῶν χρημάτων, ὡς ἀπολείπειν Ἀγησίλαον ἀναγκασθῆναι τὰ ἐν τῇ Ἀσίᾳ. Λακεδαιμονίοις μὲν τὸ ἐν Μεσσηνίοις σόφισμα ὁ δαίμων ἔμελλεν αὐτοῖς
322 ἀποφανεῖν συμφοράν. (4) Ἀριστοκράτης δὲ ὡς τὰ χρήματα ἐδέξατο ἐκ Λακεδαίμονος, τὸ μὲν παραυτίκα ἔκρυπτεν ἐς τοὺς Ἀρκάδας, οἷα ἐπεβούλευε, μελλόντων δὲ ἐς χεῖρας ἤδη συνέρχεσθαι, τηνικαῦτα ἐξεφόβησεν αὐτοὺς, ὡς ἐν δυσχωρίᾳ τέ εἰσιν ἀπειλημμένοι, καὶ ἀναχώρησις οὐκ ἔσται αὐτοῖς, ἢν κρατηθῶσιν· τά τε ἱερὰ σφίσιν οὐκ ἔφη γεγονέναι κατὰ γνώμην. ἐκέλευεν οὖν πάντα τινὰ, ἐπειδὰν αὐτὸς σημήνῃ, φυγῇ χρῆσθαι. ὡς δὲ οἱ Λακεδαιμόνιοι συνέμισγον, καὶ ἦσαν ἐς τὸ κατ' αὐτοὺς οἱ Μεσσήνιοι τετραμμένοι, ἐνταῦθα Ἀριστοκράτης ἀρχομένης τῆς μάχης ἀπῆγε τοὺς Ἀρκάδας, καὶ τοῖς Μεσσηνίοις τό τε ἀριστερὸν καὶ μέσον ἠρήμωτο. οἱ γὰρ Ἀρκάδες σφίσιν

imperium, sed ipsorum arte Persarum rex usus, missa Corinthum, Argos, Athenas, Thebas pecunia, bellum in Spartanos concitavit, quod est Corinthiacum appellatum. Quae fuit causa, ut Agesilaus in Graeciam, omissa Asiatica expeditione, exercitum reportare cogeretur. Dolum itaque Lacedaemoniorum Di suo tempore in ipsorum vertere perniciem. (4) Aristocrates vero, accepta a Lacedaemoniis pecunia, Arcadas primum, quid moliretur, celavit: deinde vero quum utraque acies signa collatura esset, suis terrorem et trepidationem fecit, *quasi commonefaciens*, si ad manus ventum esset, viotis ex iniquo loco exitum nullum fore: et sibi quidem sacrificanti affirmavit nihil laeti exta portendisse. Edixit itaque, ut, signo a se dato, pro se quisque fuga saluti suae consuleret. Quare, quum iam praelium iniretur, omnesque in hostem conversi essent Messenii, Aristocrates abduxit Arcadas, Messeniisque laevum cornu et acies media nudata est. In

εἶχον ἀμφότερα, ἅτε ἀπόντων μὲν Ἠλείων τῆς μάχης, ἀπόντων δὲ Ἀργείων καὶ Σικυωνίων. προσεξειργάσθη δὲ καὶ ἄλλο τῷ Ἀριστοκράτει· διὰ γὰρ Μεσσηνίων ἐποιεῖτο τὴν φυγήν. οἱ δὲ πρὸς τὸ ἀνέλπιστον τῶν παρόντων ἐγίνοντο ἔκφρονες, καὶ ἅμα ὑπὸ τῆς διεξόδου τῆς κατὰ σφᾶς τῶν Ἀρκάδων ἐταράσσοντο· ὥστε αὐτῶν ἐδέησαν οἱ πολλοὶ καὶ ἐπιλαθέσθαι τῶν ἐν χερσίν. ἀντὶ γὰρ τῶν Λακεδαιμονίων ἐπιφερομένων ἤδη, πρὸς τοὺς Ἀρκάδας ἀφεώρων φεύγοντας, καὶ οἱ μὲν παραμεῖναί σφισιν ἱκέτευον, οἱ δὲ καὶ λοιδορίαις ἐς αὐτοὺς ὡς ἐς ἄνδρας προδότας καὶ οὐ δικαίους ἐχρῶντο. (5) Λακεδαιμονίοις δὲ ἥ τε κύκλωσις τῶν Μεσσηνίων μονωθέντων ἐγένετο οὐ χαλεπή, καὶ νίκην ἑτοιμοτάτην πασῶν καὶ ἀπονώτατα ἀνείλοντο. Ἀριστομένης δὲ καὶ οἱ σὺν αὐτῷ συνέμειναν μὲν, καὶ τῶν Λακεδαιμονίων τοὺς μάλιστα ἐγκειμένους ἀνείργειν ἐπειρῶντο· ὀλίγοι δὲ ὄντες οὐ μεγάλα ὠφέλουν. τῶν δὲ Μεσσηνίων τοῦ μὲν δήμου τοσοῦτον πλῆθος ἀνηλώθησαν, ὡς τὰ πρῶτα Λακεδαιμονίων δεσπότας ἀντὶ δούλων ἔσεσθαι νομίζον-

utraque enim agminis parte constiterant Arcades, quum neque Elei, neque Argivi, nec Sicyonii pugnae interessent. Praeterea, quo esset efficacior proditio, Aristocrates fugiens per medios Messenios evasit. Insperata ista praesentium mutatione consternati Messenii, simulque isto Arcadum per suum agmen transitu turbati, non multum abfuit quin eius, quod in manibus erat, obliviscerentur: omissis enim Lacedaemoniis, qui se magno impetu in ipsos inferebant, ad Arcadas iam fuga sese proripientes respectabant, aliique supplices orabant, ut manerent, alii conviciis illos et maledictis incessebant, proditores et foedifragos appellantes. (5) Spartani interea facile destitutos undique circumdato agmine cinxerunt, et obviam maxime quam minimo labore ac periculo sibi victoriam vindicarunt. Aristomenes cum cohorte sua locum tenuit, et incumbentis impetum hostis aliquandiu sustinuit: sed fuere tam pauci numero non magno utique praesidio. Periit omnis prope multitudo: et qui ante de servis dominos Lacedaemoniorum se futuros rati fuerant, iam ne

ταις τότε μηδὲ ἐς τὴν σωτηρίαν αὐτὴν ἐπέχειν ἐλπίδα. ἀπέθανον δὲ καὶ τῶν πρωτευόντων ἄλλοι τε καὶ Ἀνδροκλῆς
323 καὶ Φίντας, καὶ λόγου μάλιστα ἀξίως ἀγωνισάμενος Φάνας, ὃς πρότερον τούτων ἔτι δολιχοῦ νίκην Ὀλυμπίασιν ἦν ἀνῃρημένος. (6) Ἀριστομένης δὲ μετὰ τὴν μάχην τοὺς διαπεφευγότας τῶν Μεσσηνίων συνήθροιζε, καὶ Ἀνδανίαν μὲν καὶ εἴ τι ἄλλο ἐν μεσογαίᾳ πόλισμα ἔπεισε τὰ πολλὰ ἐκλείπειν, ἐς δὲ τὴν Εἶραν τὸ ὄρος ἀνοικίζεσθαι. συνεληλαμένοις δὲ ἐς τοῦτο τὸ χωρίον, προσεκάθηντο οἱ Λακεδαιμόνιοι πολιορκίᾳ σφᾶς αὐτίκα ἐξαιρήσειν νομίζοντες. ἀντήρκεσαν δὲ ὅμως οἱ Μεσσήνιοι, καὶ μετὰ τὴν ἐν Τάφρῳ συμφορὰν ἑνί τε καὶ δέκα ἔτεσιν ἀμυνόμενοι. τὸν δὲ χρόνον τῆς πολιορκίας γενέσθαι τοσοῦτον, δηλοῖ καὶ τάδε ὑπὸ Ῥιανοῦ πεποιημένα ἐς τοὺς Λακεδαιμονίους·

Οὔρεος ἀῤγεννοῖο περὶ πτύχας ἐστρατόωντο
Χείματά τε ποιάς τε δύω καὶ εἴκοσι πάσας.

χειμῶνας γὰρ καὶ θέρη κατέλεξε, πόας εἰπὼν τὸν χλωρὸν σῖτον, ἢ ὀλίγον πρὸ ἀμητοῦ.

reliquam quidem salutis ullam spem retinebant. Occubuere tamen et principum nonnulli, interque eos Androcles, Phintas, et, cuius clarissime in eo praelio virtus eluxit, Phanas, Olympica de longiore curriculo victoria iam ante illustris. (6) Aristomenes praelii reliquias collegit: quumque suis, ut Andania et oppidis, quae a mari longius abessent, relictis, se in Iran montem reciperent, suasisset, eo in loco obsidionem hostium post acceptam ad Fossam cladem annos nihil minus XI sustinuit, quum tamen castellum illud cum ea spe Lacedaemonii oppugnare adorti essent, quasi primo impetu capi posset. Testatur, tam longum totius obsidionis tempus fuisse, his versibus Rhianus:

Montis ad albentis clivos tenuere Lacones
Castra bis undenas herbas hyemesque in totum.

Circumscripsit scilicet annos per hyemes et aestates. Nam quum herbas dixit, viridem segetem, vel *anni tempus*, quod paulo ante messem est, significavit.

CAPUT XVIII.

Messenii, Ira occupata, ex Laconico agro omnis generis praedas agunt — de frugum inopia et seditione inde Spartae orta — Aristomenes Amyclas capit, vulneratur et vivus captus in Caeadam conjicitur — inde miro modo evadit et in Iram redit.

Μεσσήνιοι δὲ ὡς ἐς τὴν Εἶραν ἀνῳκίσθησαν, τῆς τε ἄλλης ἐξείργοντο, πλὴν ὅσον σφίσιν οἱ Πύλιοι τὰ ἐπὶ θαλάσσῃ καὶ οἱ Μοθωναῖοι διέσωζον, ἐλῄστευον τήν τε Λακωνικὴν καὶ τὴν σφετέραν, πολεμίαν ἤδη καὶ ταύτην νομίζοντες. ἄλλοι δὴ συνίσταντο ἐς τὰς καταδρομάς, ὡς ἕκαστοι τύχοιεν, [καὶ] Ἀριστομένης δὲ τοὺς περὶ αὐτὸν λογάδας ἐς τριακοσίων ἀριθμὸν προήγαγεν. ἦγον μὲν δὴ τὰ Λακεδαιμονίων καὶ ἔφερον, ὅ τι καὶ δύναιτο αὐτῶν ἕκαστος. ἑλόντες δὲ σῖτον καὶ βοσκήματα καὶ οἶνον ἀνήλισκον, ἔπιπλα δὲ καὶ ἀνθρώπους ἀπεδίδοσαν χρημάτων. ὥστε καὶ ἐποιήσαντο οἱ Λακεδαιμόνιοι δόγμα, ἅτε τοῖς ἐν τῇ Εἴρᾳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦντες, τὴν Μεσσηνίαν καὶ τῆς Λακωνικῆς τὴν προσεχῆ, ἕως ἂν πολεμῶ-

Cap. XVIII. Ira occupata, reliquo omni agro exclusi Messenii, praeter oram tamen maritimam, quam illis integram et incolumem Pylii et Mothonaei praestiterunt, praedas non magis ex Laconico, quam ex suo ipsorum agro agebant, utrumque iam hostilem esse iudicantes. Fiebant quum ab aliis passim, ut fors ferret, excursiones; tum in primis Aristomenes quum in unum ad trecentos lectissimos viros coegisset, agebant illi rapiebantque omnia, undecunque quis poterat: fruges nempe, vinum, pecus absumebant: mancipia, supellectilem, dominis aestimata reddebant. Coegit ea agrorum direptio Lacedaemonios edicto cavere, (quod arva non sibi, sed iis, qui in Iran secesserant, seri videbant) ne colerentur, bello durante, Messenici et Laconici agri

σιν, ἐᾷν ἄσπορον. (2) Καὶ ἀπὸ τούτου σιτοδεία ἐγένετ ἐν Σπάρτῃ, καὶ ὁμοῦ τῇ σιτοδείᾳ στάσις· οὐ γὰρ ἠνεί χοντο οἱ ταύτῃ τὰ κτήματα ἔχοντες, τὰ σφέτερα ἀργὰ εἶ ναι. καὶ τούτοις μὲν τὰ διάφορα διέλυε Τυρταῖος. (3) Ἀρι
324 στομένης δὲ ἔχων τοὺς λογάδας, τὴν μὲν ἔξοδον περὶ βα θεῖαν ἐποιήσατο ἑσπέραν, ἔφθη δὲ ὑπὸ τάχους τὴν ἐς Ἀμύ κλας ἀνύσας πρὸ ἀνίσχοντος ἡλίου· καὶ Ἀμύκλας τὸ πόλι σμα εἷλέ τε καὶ διήρπασε, καὶ τὴν ἀποχώρησιν ἐποιήσατο πρὶν ἢ τοὺς ἐκ τῆς Σπάρτης προςβοηθῆσαι. κατέτρεχε δ καὶ ὕστερον τὴν χώραν, ἐς ὃ Λακεδαιμονίων λόχοις πλέο ἢ τοῖς ἡμίσεσι καὶ τοῖς βασιλεῦσιν ἀμφοτέροις συμβαλὼ ἄλλα τε ἔσχεν ἀμυνόμενος τραύματα, καὶ πληγέντι ὑπ λίθου τὴν κεφαλὴν αὐτῷ σκοτοδινιῶσιν οἱ ὀφθαλμοί, κα πεσόντα ἀθρόοι τῶν Λακεδαιμονίων ἐπιδραμόντες ζῶντ αἱροῦσιν· ἥλωσαν δὲ καὶ τῶν περὶ αὐτὸν ἐς πεντήκοντα τούτους ἔγνωσαν οἱ Λακεδαιμόνιοι ῥίψαι πάντας ἐς τὸ Καιάδαν. ἐσβάλλουσι δὲ ἐνταῦθα, οὓς ἂν ἐπὶ μεγίστοι

finitimae partes. (2) Ex eo frugum egestas, et inde seditio consecuta, locupletibus aegre ferentibus arationes ibi deseri. Eum fremitum versibus suis Tyrtaeus compressit. (3) Interea Aristomenes cum sua manu sera iam vespera egressus, Amy clas magnis itineribus contendit: quo quum primo diluculo pervenisset, subito impetu oppidum cepit ac diripuit: atque inde ad suos se prius recepit, quam e Sparta subsidium mit teretur. Excursionibus hostilem agrum non prius destiti infestum reddere, quam Lacedaemoniorum manipulos dimi dia parte plures cum ambobus regibus nactus, facto cum illis praelio, praesentique se animo defendens, et vulnera ali accepit, et percusso lapidis ictu capite, caligantibus oculis vertigine correptus, *prope exanimis* corruit. Vix adhuc spirantem catervatim irruentes Lacedaemonii, et cum eo quin quaginta de eius praetoria cohorte captivos Spartam pertraxere Quos quum in Caeadam abiiciendos censuissent, (*sic alte dehi scentem foveam vocant*, in quam maximis criminibus capit

τιμωροῦνται. (4) Οἱ μὲν δὴ ἄλλοι Μεσσηνίων ἐσπίπτοντες
ἀπώλλυντο αὐτίκα· Ἀριστομένην δὲ ἔς τε τὰ ἄλλα θεῶν
τις, καὶ δὴ καὶ τότε ἐφύλασσεν. οἱ δὲ ἀποσεμνύνοντες
τὰ κατ' αὐτὸν, Ἀριστομένει φασὶν ἐμβληθέντι ἐς τὸν
Καιάδαν ὄρνιθα τὸν ἀετὸν ὑποπέτεσθαι, καὶ ἀνέχειν ταῖς
πτέρυξιν, ἐς ὃ κατήνεγκεν αὐτὸν ἐς τὸ πέρας, οὔτε πηρω-
θέντα οὐδὲν τοῦ σώματος, οὔτε τραῦμα ἐπιλαβόντα. ἔμελλε
δὲ ἄρα καὶ αὐτόθεν ὁ δαίμων ἔξοδον ἀποφαίνειν αὐτῷ.
καὶ ὁ μὲν ὡς ἐς τὸ τέρμα ἦλθε τοῦ βαράθρου, κατεκλίθη
τε καὶ ἐφελκυσάμενος τὴν χλαμύδα ἀνέμενεν, ὥς πάντως
οἱ ἀποθανεῖν πεπρωμένον. τρίτῃ δὲ ὕστερον ἡμέρᾳ ψό-
φου τε αἰσθάνεται, καὶ ἐκκαλυψάμενος (ἐδύνατο δὲ ἤδη
διὰ τοῦ σκότους διορᾶν) ἀλώπεκα εἶδεν ἁπτομένην τῶν
νεκρῶν. ὑπονοήσας δὲ ἔσοδον εἶναι τῷ θηρίῳ ποθὲν,
ἀνέμενεν ἐγγύς οἱ τὴν ἀλώπεκα γενέσθαι, γενομένης δὲ
λαμβάνεται· τῇ δὲ ἑτέρᾳ χειρὶ, ὁπότε ἐς αὐτὸν ἐπιστρέ-
φοιτο, τὴν χλαμύδα προὔβαλλέν οἱ καὶ δάκνειν παρεῖχε. 325
τὰ μὲν δὴ πλείω θεούσῃ συνέθει, τὰ δὲ ἄγαν δυσέξοδα καὶ

damnatos praecipites mittunt). (4) alii quidem omnes ad unum periere: Aristomenem, qui saepe alias, idem et tunc servavit Deus. Cuius qui res gestas magnificentius extollunt, advolasse aquilam dicunt, quae cadentis corpus passis alis subiens, ita illum libraverit, ut omni ex parte illaesus ad eius barathri ima delatus fuerit. Fato certe nescio quo exitus ei e tetro illo hiatu monstratus est. Nam quum in imo iam specu constitisset, veste obvolutus decubuit, extremam, quam proxime abesse putabat, vitae horam exspectans. Triduum erat ibi iam commoratus, quum audito strepitu quodam, retecta facie, per sublustres tenebras vulpem vidit cadavera appetentem. Cogitans itaque per ostiolum omnino aliquod bestiam illuc penetrasse, ea quantisper propius accederet, opperiebatur. Id quum, uti volebat, accidisset, feram manu altera prehendit; altera, quoties se illa convertisset, chlamydem mordicus prensandam obiiciebat: et currentem quidem, qua se via dabat, cursu consequebatur: trahendum vero se belluae per

ἐφείλκετο ὑπ' αὐτῆς. ὀψὲ δέ ποτε ὀπήν τε εἶδεν ἀλώπεκι ἐς διάδυσιν ἱκανὴν καὶ φέγγος δι' αὐτῆς. καὶ τὴν μὲν ὡς ἀπὸ τοῦ Ἀριστομένους ἠλευθερώθη, τὸ φωλίον ἔμελλεν ὑποδέξασθαι· Ἀριστομένης δὲ (οὐ γάρ τι ἡ ὀπὴ καὶ τούτῳ παρέχειν ἐδύνατο ἔξοδον) εὐρυτέραν τε ταῖς χερσὶν ἐποίησε, καὶ οἴκαδε ἐς τὴν Εἶραν ἀποσώζεται, παραδόξῳ μὲν τύχῃ καὶ ἐς τὴν ἅλωσιν χρησάμενος· τὸ γάρ οἱ φρόνημα ἦν καὶ τὰ τολμήματα μείζονα, ἢ ὡς ἐλπίσαι τινὰ, Ἀριστομένην αἰχμάλωτον ἂν γενέσθαι· παραδοξοτέρα δέ ἐστι καὶ πάντων προδηλότατα οὐκ ἄνευ θεοῦ ἡ ἐκ τοῦ Καιάδα σωτηρία.

invia praebebat. Vidit postremo cuniculum nihilo ampliorem, quam unde posset vulpes evadere, per quem luminis se aliquid ostendebat. Per illum quadrupes, ut primum dimisit eam quasi manumissam Aristomenes, lustrum suum repetiit. At Aristomenes angustam illam ac minime perviam cavernulam manibus aperiens, in Iram ad suos tandem evasit. Fuit eius fortuna, quum captus est, mira et inopinata: (maior enim viri spiritus erat, maior ex rerum gestarum magnitudine audacia, quam ut quisquam capi illum posse sperare debuerit) sed nihil fuit admirabilius, nullum certius, id non sine divini numinis auxilio contigisse, argumentum, quam quod e Caeada elabi potuerit.

CAPUT XIX.

Aristomenes Corinthios Lacedaemoniis opem laturos noctu opprimit — sacra, quae Hecatomphonia vocantur, facit — Lacedaemonii inducias XL dierum pangunt, per quos sagittarii Cretenses Aristomenem incautum capiunt — Aristomenes a virgine quadam vinculis liberatur.

Λακεδαιμονίοις δὲ παραυτίκα μὲν ὑπὸ ἀνδρῶν ἀπηγγέλλετο αὐτομόλων, ὡς Ἀριστομένης ἐπανήκοι σῶς. νομιζομένου δὲ ἀπίστου κατὰ ταὐτὰ καὶ εἴ τινα τεθνεῶτα ἐλέγετο ἀναβιῶναι, παρ' αὐτοῦ τοιόνδε Ἀριστομένους ὑπῆρξεν ἐς πίστιν. Κορίνθιοι Λακεδαιμονίοις δύναμιν ὡς συνεξαιρήσοντας τὴν Εἶραν ἀποστέλλουσι. τούτους παρὰ τῶν κατασκόπων πυνθανόμενος ὁ Ἀριστομένης τῇ πορείᾳ τε ἀτακτότερον χρῆσθαι καὶ ταῖς στρατοπεδείαις ἀφυλάκτως, ἐπιτίθεται νύκτωρ σφίσι· καὶ τῶν τε ἄλλων καθευδόντων ἔτι ἐφόνευσε τοὺς πολλοὺς, καὶ τοὺς ἡγεμόνας, Ὑπερμενίδη καὶ Ἀχλαδαῖον καὶ Λυσίστρατον καὶ Εἴδεκτον ἀποκτίννυσι. διαρπάσας δὲ καὶ τὴν σκηνὴν τὴν στρατηγίδα, παρέστησεν εὖ εἰδέναι Σπαρτιάταις, ὡς Ἀριστομένης, καὶ οὐκ ἄλλος Μεσσηνίων, ἐστὶν ὁ ταῦτα εἰργασμένος. (2) Ἔθυσε δὲ καὶ τῷ Διὶ τῷ Ἰθωμάτᾳ τὴν θυσίαν, ἣν Ἑκατομφόνια

Cap. XIX. Ubi salvum Lacedaemoniis renunciarunt perfugae quidam Aristomenem ad suos rediisse, non plus credi posse visum est, quam si mortuum hominem revixisse audissent. Ex huiusmodi vero eventu veritati fides quaesita est. Mittebantur a Corinthiis auxilia Spartanis ad Iran oppugnandam. Eos milites Aristomenes quum per speculatores comperisset dissipatos et incustoditis castris iter facere, noctu dormientes adortus, et alios complures, et eorum duces Hypermenidem, Achladaeum, Lysistratum, et Idectum occidit; ac mox castrorum praetorium diripuit. Id facile cognoscere Lacedaemonii potuerunt ab Aristomene, neque ab alio quoquam gestum. (2) Fecit post haec Aristomenes Ithomatae Iovi

326 ὀνομάζουσιν. αὕτη δὲ καθεστήκει μὲν ἐκ παλαιοτάτου· θύειν δὲ αὐτὴν Μεσσηνίων ἐνομίζετο, ὁπόσοι πολεμίους ἄνδρας κατεργάσαιντο ἑκατόν. Ἀριστομένει δὲ, ὅτε ἐπὶ Κάπρου σήματι ἐμαχέσατο, θύσαντι Ἑκατομφόνια πρῶτον, δεύτερα ἤδη θῦσαι καὶ ὁ ἐν τῇ νυκτὶ τῶν Κορινθίων παρέσχε φόνος. τοῦτον μὲν δὴ λέγουσι καὶ ἐπὶ ταῖς ὕστερον θῦσαι καταδρομαῖς θυσίαν τρίτην. (3) Λακεδαιμόνιοι δὲ (ἐπῄει γὰρ Ὑακίνθια) πρὸς τοὺς ἐν τῇ Εἴρᾳ τεσσαράκοντα ἐποιήσαντο ἡμερῶν σπονδὰς, καὶ αὐτοὶ μὲν ἀναχωρήσαντες οἴκαδε ἑώρταζον. Κρῆτες δὲ τοξόται (μετεπέμψαντο γὰρ ἔκ τε Λύκτου καὶ ἑτέρων πόλεων μισθωτοὺς) οὗτοί σφισιν ἀνὰ τὴν Μεσσηνίαν ἐπλανῶντο. Ἀριστομένην οὖν, ἅτε ἐν σπονδαῖς ἀπωτέρω τῆς Εἴρας γενόμενον καὶ προϊόντα ἀδεέστερον, ἑπτὰ ἄνδρες ἀπὸ τῶν τοξοτῶν τούτων ἐλόχησαν· συλλαβόντες δὲ τοῖς ἱμᾶσιν, οἷς εἶχον ἐπὶ ταῖς φαρέτραις, δέουσιν· ἑσπέρα γὰρ ἐπῄει. δύο μὲν οὖν ἐς Σπάρτην ἀπ' αὐτῶν ἐλθόντες, Λακεδαιμονίοις Ἀριστομένην εὐηγγελίζοντο ἡλωκέναι· οἱ λοιποὶ δὲ ἀπο-

sacrum, quod Hecatomphonia vocant, *quasi Centicidium dicas*. Id sacrum fieri patrio instituto veteri traditum ab iis, qui in pugna hostes centum occidissent. Prima itaque, quum ad Apri monumentum pugnatum est, Hecatomphonia fecit Aristomenes: altera, quum oppressos nocturna pugna Corinthios cecidisset: tertia ab eodem peracta sacra referunt, aliis excursionibus *pari, aut eo maiore, caeso hostium numero*. (3) Spartani, Hyacinthiis, quae iam aderant, *solenni ritu* interfuturi, dierum XL inducias cum Messeniis, qui in Ira sedem habebant, pepigerunt. Ac dum illi quidem ludos celebrant, Cretenses sagittarii e Lycto et aliis Cretae urbibus evocati, interea in agrum Messeniorum excursiones facere non desinebant. Aberat Aristomenes ab Ira. Ei securius induciarum fiducia vaganti insidias ex eo sagittariorum numero VII faciunt, captumque (quod nox appeteret) pharetrarum loris vinciunt. Mox id ex illis duo gratulabundi Spartam nunciant, captum Aristomenem; reliqui in tugurium quoddam

χωροῦσιν ἐς ἀγρόν τινα ἐν τῇ Μεσσηνίᾳ. (4) Ἐνταῦθα
ᾤκει κόρη σὺν μητρὶ παρθένος, πατρὸς ὀρφανή. τῇ δὲ
προτέρᾳ νυκτὶ εἶδεν ὄψιν ἡ παῖς, ὡς λέοντα ἐς τὸν ἀγρὸν
λύκοι σφίσιν ἤγαγον δεδεμένον, καὶ οὐκ ἔχοντα ὄνυχας.
αὐτὴ δὲ τοῦ δεσμοῦ τὸν λέοντα ἀπέλυσε, καὶ ἀνευροῦσα
ἔδωκε τοὺς ὄνυχας· οὕτω τε διασπασθῆναι τοὺς λύκους
ἔδοξεν ὑπὸ τοῦ λέοντος. τότε δὲ ὡς τὸν Ἀριστομένην
ἐσάγουσιν οἱ Κρῆτες, συνεφρόνησεν ἡ παρθένος ὕπαρ
ἥκειν τὸ ἐν τῇ νυκτὶ οἱ πεφηνὸς, καὶ ἀνηρώτα τὴν μητέ-
ρα, ὅστις εἴη· μαθοῦσα δὲ ἐπεῤῥώσθη τε, καὶ ἀπιδοῦσα
ἐς αὐτὸν, τὸ προσταχθὲν συνῆκεν. οἶνον οὖν τοῖς Κρη- 327
σὶν ἐγχέουσα ἀνέδην, ὡς σφᾶς ἡ μέθη κατελάμβανεν, ὑφαι-
ρεῖται τοῦ μάλιστα ὑπνωμένου τὸ ἐγχειρίδιον. τὰ μὲν
δὴ δεσμὰ τοῦ Ἀριστομένους ἔτεμεν ἡ παρθένος· ὁ δὲ πα-
ραλαβὼν τὸ ξίφος διειργάσατο. ταύτην τὴν παρθένον
λαμβάνει γυναῖκα Γόργος Ἀριστομένους· ἐδίδου δὲ Ἀρι-
στομένης, τῇ παιδὶ ἐκτίνων σῶστρα· ἐπεὶ Γόργῳ οὐκ ἦν
πω δέκατον καὶ ὄγδοον ἔτος, ὅτε ἔγημεν.

Messenici agri captivum pertrahunt. (4) Habitabat in eo *gurgustio* orba patre virgo una cum matre sua. Ea superiore proxima nocte per somnium visa fuerat sibi videre, pertrahi illuc a lupis leonem vinctum ereptis unguibus; illum se e vinculis exemisse, et cum eo tanquam cum viro congressam, ungues illi dedisse; nec multo post a leone lupos laniatos. Deducto itaque a Cretensibus *ad eam casam* Aristomene, agnovit puella expressam vero eventu somnii imaginem: uaesivit ex matre, quisnam ille esset; auditoque viri nomine, confirmavit se; et quum in eum intueretur, facile, quod significaret, intellexit. Vinum itaque *largius* Cretensibus fudit; quumque se vinolenti omnes abiecissent, ei, quem graviore somno consopitum animadvertit, pugiunculum eripuit; eo ipsa abscidit vincula insidiatoresque Aristomenes iugulavit suos. Virginem illam, pro navata saluti suae opera, a filio suo Gorgo uxorem accipi voluit Aristomenes, quum tamen non esset ille annorum maior decem et octo.

CAPUT XX.

Ira undecimo post obsessionem anno expugnatur, et oraculi eff tum sic exitum habet — Aristomenes quoddam Messenioru arcanum defodit in monte Ithome — de exitio Messen adulterio et proditione importato.

Ἐνδεκάτῳ δὲ ἔτει τῆς πολιορκίας τήν τε Εἶραν ἐπέπρω ἁλῶναι, καὶ ἀναστάτους γενέσθαι Μεσσηνίους. καὶ δ σφισιν ἐπετέλεσεν ὁ θεὸς Ἀριστομένει καὶ Θεόκλῳ χρησθ τι. τούτοις γὰρ ἐλθοῦσιν ἐς Δελφοὺς μετὰ τὴν ἐπὶ τ Τάφρῳ πληγὴν, καὶ ἐπερομένοις ὑπὲρ σωτηρίας, τοσόν εἶπεν ἡ Πυθία·

Εὖτε τράγος πίνῃσι Νέδης ἑλικόῤῥοον ὕδωρ,
Οὐκ ἔτι Μεσσήνην ῥύομαι. σχεδόθεν γὰρ ὄλεθρος.

εἰσὶ δὲ αἱ πηγαὶ τῆς Νέδας ἐν ὄρει τῷ Λυκαίῳ. προε θὼν δὲ ὁ ποταμὸς διὰ τῆς Ἀρκάδων, καὶ ἐπιστρέψας αὖ θις ἐς τὴν Μεσσηνίαν, ὁρίζει τὰ ἐπὶ θαλάσσῃ Μεσσηνίοι καὶ Ἠλείοις τὴν γῆν. τότε δὲ οἱ μὲν τοὺς αἶγας τοὺς ἄῤ ῥενας ἐδεδοίκεσαν, μὴ πίνωσιν ἀπὸ τῆς Νέδας· τοῖς δ

Cap. XX. Undecimo obsidionis anno et Iram capi, e Messenios suis eiici sedibus, volebant fata. Et sane quae de salu tis ratione post cladem ad Fossam acceptam sciscitantibus Ari stomeni et Theoclo Delphicus Apollo responsa dederat, ips rei eventu comprobata sunt. His autem versibus respondi fatidica virgo:

Ipse, Nedes dum hircus bibat alta fluenta, nec ultra,
Messenen servo. Prope enim instant tristia fata.

Sunt autem Nedae fontes in monte Lycaeo: fluvius ipse pe Arcadas lapsus, verso in Messeniam alveo, Messeniorum e Eleorum fines maritimos dividit. Ac tunc illi quidem cap *ambiguis verbis* providendum sibi putarunt, ne hirci de Ned potarent. Aliud vero longe innuerat deus, quod fuit huius

ἄρα ὁ δαίμων προεσήμαινε τοιόνδε. τὸ δένδρον τὸν ἐρινεὸν εἰσὶν Ἑλλήνων οἳ καλοῦσιν ὄλυνθον, Μεσσήνιοι δὲ αὐτοὶ τράγον. τότε οὖν πρὸς τῇ Νέδᾳ πεφυκὼς ἐρινεὸς οὐκ ἐς εὐθὺ ηὔξετο, ἀλλὰ ἔς τε τὸ ῥεῦμα ἐπέστρεφε, καὶ τοῦ ὕδατος ἄκροις τοῖς φύλλοις ἔψαυε. θεασάμενος δὲ ὁ μάντις Θέοκλος συνεβάλλετο, ὡς τὸν τράγον τὸν πίνοντα ἐκ τῆς Νέδας προεῖπεν ἡ Πυθία τὸν ἐρινεὸν τοῦτον, καὶ ὡς ἤδη Μεσσηνίοις ἥκει τὸ χρεών· καὶ ἐς μὲν τοὺς ἄλλους 328
εἶχεν ἐν ἀποῤῥήτῳ, Ἀριστομένην δὲ πρός τε τὸν ἐρινεὸν ἤγαγε, καὶ ἀνεδίδασκεν, ὡς τῆς σωτηρίας ἐξήκοι σφίσιν ὁ χρόνος. Ἀριστομένης δὲ ἔχειν οὕτω πείθεται, καὶ ἀναβολὴν οὐκ ἔτι εἶναί σφισι. προενοήσατο δὲ καὶ ἐκ τῶν παρόντων. (2) Καὶ, ἦν γάρ τι ἐν ἀποῤῥήτῳ τοῖς Μεσσηνίοις· ἔμελλε δὲ ἀφανισθὲν ὑποβρύχιον τὴν Μεσσήνην κρύψειν τὸν πάντα αἰῶνα· φυλαχθὲν δὲ, οἱ Λύκου τοῦ Πανδίονος χρησμοὶ Μεσσηνίους ἔλεγον χρόνῳ ποτὲ ἀνα-

modi. Caprifici stirpem plerique olynthon, Messenii ipsi caprum (τράγον) nominant. Eo quidem tempore caprificus forte in ripa Nedae enata, quum non in sublime se crescens erexisset, sed in amnem prona inclinasset, extremis iam frondibus aquam contingebat. Id Theoclus vates conspicatus, *argute* coniecit, illam caprifici plantam hircum esse, qui de Neda, sicuti Pythia praedixerat, biberet; ac iam fatale Messeniis exitium imminere. Re tamen apud alios dissimulata, uni Aristomeni ad eum locum deducto oraculum explicat, hominique, quod res erat, persuadet, tempus quo reliquum quid spei erat effluxisse, civitatis suae perniciem differri amplius nullo pacto posse: quod ipsum tamen Aristomenes etiam *partim* ex praesenti rerum statu, *partim ex fatorum aliis quibusdam arcanis* praesenserat. (2) Quare quum haberent operta quaedam *sacra* Messenii, quae si abolerentur, funditus in posterum omne tempus Messenen occasuram: sin conservata illa fuissent, redivivum olim imperium ex ipsis ruinis erupturum, Lyci, Pandionis filii, votici-

σώσεσθαι τὴν χώραν. τοῦτο δὴ ὁ Ἀριστομένης, ἅτε ἐπιστάμενος τοὺς χρησμοὺς, ἐπεὶ νὺξ ἐγίγνετο, ἐκόμιζε. παραγενόμενος δὲ, ἔνθα τῆς Ἰθώμης ἦν τὸ ἐρημότατον, κατώρυξεν ἐς Ἰθώμην τὸ ὄρος, καὶ Δία Ἰθώμην ἔχοντα, καὶ θεοὺς, οἳ Μεσσηνίους ἐς ἐκεῖνο ἔσωζον, φύλακας μεῖναι τῆς παρακαταθήκης ἡγούμενος, μηδὲ ἐπὶ Λακεδαιμονίοις ποιῆσαι τὴν μόνην καθόδου Μεσσηνίοις ἐλπίδα. (3) Μετὰ δὲ τοῦτο τοῖς Μεσσηνίοις ἤρχετο, καθὸ καὶ Τρωσὶν ἔτι πρότερον, γίγνεσθαι κακὰ ἀπὸ μοιχείας. ἐπεκράτουν μὲν αὐτοὶ ἔτι τοῦ τε ὄρους, καὶ τοῦ πρὸς τὴν Εἶραν ἄχρι τῆς Νέδας· ἦσαν δὲ οἰκήσεις καὶ ἔξω πυλῶν ἐνίοις. αὐτόμολος δὲ ἐς αὐτοὺς ἐκ τῆς Λακωνικῆς ἄλλος μὲν ἀφίκετο οὐδεὶς, οἰκέτης δὲ Ἐμπεράμου βουκόλος ἐλαύνων τοῦ δεσπότου τὰς βοῦς· ὁ δὲ Ἐμπέραμος ἦν ἀνὴρ ἐν
329 Σπάρτῃ δόκιμος. οὗτος ὁ βουκόλος ἔνεμεν οὐ πόῤῥω τῆς Νέδας. ἀνδρὸς οὖν τῶν Μεσσηνίων τῶν οὐκ ἐντὸς τείχους ἐχόντων οἴκησιν γυναῖκα εἶδεν ἐφ' ὕδωρ ἐλθοῦσαν. ἐρασθεὶς δὲ, διαλεχθῆναι ἐτόλμησε, καὶ δοὺς δῶρα, συγ-

niis praedictum fuerat; neque id ignoraret Aristomenes, noctu *clam* egressus in maxime devia ac deserta Ithomes parte sacra ea defodit, Iovi Ithomatae et dis ceteris, quorum ope ad eum diem Messeniorum res steterat, ratus curae fore, ut incolume depositum observaretur, neque omnino id in Lacedaemoniorum potestatem veniret, quod iam solum ad posteri temporis spem Messenici nominis reliquiae haberent. (3) Messenios tunc quidem, ut olim Troianos, *diverso tamen modo*, adulterium ad extremum exitium perpulit. Ira occupata, subiectos etiam monti campos usque ad Nedae ripas tenebant. Habitabant nonnulli paulum extra portas: neque interea quisquam e Laconia venit ad eos perfuga. Unus propius accessit Emperami (clari hominis inter Spartanos) servus. Is quum domini pecus pasceret, quotidie fere boves prae se ad Nedam agebat. Ibi Messenii hominis in suburbano habitantis uxorem aquatum venientem conspicatus, eius amore captus est. Foeminam primo *benignis verbis* ad colloquium, deinde donis

γίνεται. καὶ ἀπὸ τούτου τὸν ἄνδρα παρεφύλασσεν αὐτῆς, ὁπότε ἀποχωρήσειεν ἐς τὴν φρουράν. ἀνὰ μέρος δὲ τοῖς Μεσσηνίοις τῆς ἀκροπόλεως ἐπήγετο ἡ φυλακή· ταύτῃ γὰρ τοὺς πολεμίους μάλιστα ἐδεδοίκεσαν, μὴ ὑπερβῶσιν αὐτοῖς ἐς τὴν πόλιν. ὁπότε οὖν οὗτος ἀποχωρήσειε, τηνικαῦτα ὁ βουκόλος ἐφοίτα παρὰ τὴν γυναῖκα. καί ποτε ἔτυχε σὺν ἄλλοις ἐς ἐκεῖνον περιήκουσα ἐν τῇ νυκτὶ φυλακὴ, ἔτυχε δὲ καὶ ὕειν πολλῷ τὸν θεὸν, καὶ ἐκλείπουσιν οἱ Μεσσήνιοι τὴν φρουράν· τὸ γὰρ ὕδωρ ἐβιάζετο σφᾶς ἀθρόον ἐκ τοῦ οὐρανοῦ καταχεόμενον, οὔτε ἐπάλξεων ᾠκοδομημένων, οὔτε πύργων, ὑπὸ σπουδῆς τοῦ τειχισμοῦ. καὶ ἅμα οὐδὲ κινήσεσθαι τοὺς Λακεδαιμονίους ἤλπιζον ἐν ἀσελήνῳ νυκτὶ καὶ οὕτω χειμερίῳ. Ἀριστομένης δὲ οὐ πολλαῖς πρότερον ἡμέραις Κεφαλλῆνα ἔμπορον, ἑαυτῷ ξένον, καὶ ἐσάγοντα ἐς τὴν Εἶραν, ὁπόσων ἐδέοντο, ἑαλωκότα ὑπὸ Λακεδαιμονίων καὶ τοξοτῶν Ἀπτεραίων, ὧν ἦρχεν Εὐρύαλος Σπαρτιάτης, τοῦτον τὸν Κεφαλλῆνα ἀφαιρού-

ad stupri consuetudinem pellexit. Observabat hic, quo tempore eius vir custodias obiret. Suam enim quaeque vicem civitatis pars arcis praesidium obtinebat. Nam ab ea maxime parte, ne intra moenia se inferret hostis, metuebant. Qua itaque hora domo ille discedebat, bubulcus ad eius uxorem ventitabat. Forte ita accidit, ut esset illi nocturna vigilia cum praesidiariis militibus obeunda, per effusissimos vero ea nocte imbres stationem deserere cogerentur, qui excubabant. Ut enim in festinatis munitionibus, neque proiectum muri neque turres habebant, quo coeli incommoda effugerent: et eo quidem securius abire, quod pluvia et hyberna nocte, silente luna, negotium ne sibi hostis facesseret, nihil verebantur. Praeterea Aristomenes vigilias pro more circumire non poterat. Nam quum non multis ante diebus Lacedaemonii, assumtis Apteraeis iaculatoribus, Euryalo Spartano duce, Cephallenium mercatorem, frumenta et alios, quibus opus erat, commeatus Iran solitum comportare,

μένος, ἐκεῖνον μὲν καὶ τὰ χρήματα, ὁπόσα ἦγεν, ἀπέσωσεν, αὐτὸς δὲ ἐτέτρωτο, καὶ οὐκ ἐδύνατο ἐπιφοιτᾶν τοῖς φυλάσσουσι, καθάπερ εἰώθει. τοῦτο μάλιστα αἴτιον ἐγένετο ἐκλειφθῆναι τὴν ἀκρόπολιν. τῶν τε δὴ ἄλλων ἕκαστος ἀνεχώρησεν ἀπὸ τῆς φρουρᾶς, καὶ τῆς ὑπὸ τοῦ βουκόλου μοιχευομένης ὁ ἀνήρ. ὁ δὲ τηνικαῦτα ἔνδον εἶχε τὸν βουκόλον, αἰσθάνεταί τε τοῦ ἀνδρὸς ἐπιόντος, καὶ αὐτίκα, ὡς τάχους εἶχεν, ἀποκρύπτει τὸν ἄνθρωπον. ἐσελθόντα δὲ τὸν ἄνδρα ἐφιλοφρονεῖτο, ὡς οὔπω πρότερον, καὶ ἠρώτα, καθ' ἥντινα αἰτίαν ἥκοι. ὁ δὲ οὔτε μοιχευ-
330 ομένην εἰδὼς, οὔτε ἔνδον ὄντα τὸν βουκόλον, ἐχρῆτο τῷ ἀληθεῖ λόγῳ, καὶ αὐτός τε διὰ τοῦ ὄμβρου τὸ βίαιον καὶ τῶν ἄλλων ἕκαστον ἔφασκεν ἀπολελοιπέναι τὴν φρουράν. ἐπηκροᾶτο δὲ λέγοντος ὁ βουκόλος, καὶ ὡς ἀκριβῶς ἐπύθετο ἕκαστα, αὖθις ἐκ τῶν Μεσσηνίων ἐς τοὺς Λακεδαιμονίους ἀφίκετο αὐτόμολος. Λακεδαιμονίοις δὲ οἱ μὲν βασιλεῖς ἀπὸ στρατοπέδου τηνικαῦτα ἀπῆσαν, πολεμαρχῶν δὲ τότε Ἐμπέραμος ὁ τοῦ βουκόλου δεσπότης προσεκάθητο τῇ Εἴρᾳ. ἀφικόμενος οὖν ἐς τοῦτον πρῶτα μὲν

intercepissent, illum Aristomenes *publice* sibi *ac privatim* hospitem, omnemque eius pecuniam servarat: vulnus ipse in pugna acceperat. Imperatoris itaque metu soluti vigiles, eo licentius praesidium deseruere: et sane in eo desertorum numero Spartani pastoris amicae vir fuit. Domum itaque rediit ille, quum intus esset adulter. Id ubi sensit mulier, quam celerrime potuit, occultato amatore, virum benignius etiam multo, quam consueverat, accipit. Percontatur deinde, quamobrem *spe sua* celerius redisset. Hic ille, qui neque corruptam uxorem, neque moechum domi suae latere poterat suspicari, veram exponit facti causam: tempestatis vi non se magis quam socios omnes e praesidio pulsos. Subauscultabat pastor. Simulac itaque nudatam arcem praesidio intellexit, quam raptim potuit, in castra Lacedaemoniorum effugit. Aberant rex uterque; et bubulci dominus Emperamus copiis, quae Iran obsidebant, praefectus fuerat. Ad

τὸ ἐπὶ τῷ δρασμῷ παρῃτεῖτο ἁμάρτημα, δεύτερα δὲ ἀνεδίδασκεν, ὡς τὴν Εἶραν ἐν τῷ παρόντι μάλιστα αἱρήσουσιν, αὐτὰ ἕκαστα, ὁπόσα ᾔσθετο τοῦ Μεσσηνίου, διηγούμενος.

CAPUT XXI.

De Ira proditione expugnata narratio.

Ἔδοξέ τε δὴ λέγειν πιστὰ, καὶ ἡγεῖτο Ἐμπεράμῳ καὶ τοῖς Σπαρτιάταις. ἦν δὲ ἡ πορεία χαλεπὴ σφισιν, ἅτε ἐν σκότῳ, καὶ οὐκ ἀνιέντος τοῦ ὑετοῦ· ὅμως δὲ ὑπὸ προθυμίας ἤνυσαν, καὶ ὡς κατὰ τὴν ἀκρόπολιν τῆς Εἴρας ἐγίνοντο, ὑπερέβαινον κλίμακάς τε προστιθέντες, καὶ ὅτῳ τις ἐδύνατο ἄλλῳ τρόπῳ. τοῖς δὲ Μεσσηνίοις παρείχετο μὲν τοῦ παρόντος κακοῦ καὶ ἄλλα αἴσθησιν, μάλιστα δὲ οἱ κύνες οὐ κατὰ τὰ εἰωθότα ὑλακτοῦντες, ἀλλὰ συνεχεστέρᾳ καὶ βιαιοτέρᾳ τῇ κραυγῇ χρώμενοι. γνόντες οὖν τὸν ὕστατον δμοῦ καὶ ἀναγκαιότατον σφᾶς ἀγῶνα ἐπειλη-

eum perductus, deprecatur primum noxam fugae bubulcus: deinde docet, appositum illud esse ad Iran capiendam tempus, quae ex Messenii oratione exceperat, singula totidem verbis referens.

Cap. XXI. Habita est eius verbis fides: ac mox eundem servum suum itineris ducem secutus Emperamus, via perdifficili, per densissimas tenebras, nihil imbre remittente, superatis tamen animi alacritate difficultatibus, ad arcem agmen deduxit. Ibi scalis admotis, et quo quisque eniti valuit modo, munimenta transcenderunt. Messeniis imminens exitium et alia portenderant signa, et canum voces observatae sunt, non quales latrantium esse consueverunt, sed vehementes et perpetui ululatus. Quare cum in summum iam discrimen rem deductam viderent, non undique contra-

φόρα, οὐδὲ τὰ ὅπλα ἅπαντα ἀνελάμβανον, ἀλλ' ὅτῳ πρ… χείρῳ μάλιστα ἐντύχοι τις, ἁρπάζοντες ἤμυνον τῇ πατρίδ… ἢ μόνη σφίσιν ἐλείπετο ἐκ τῆς Μεσσηνίας πάσης. πρῶτ… δὲ ᾔσθοντο ἔνδον τῶν πολεμίων ὄντων, καὶ ἐβοήθουν ἐ… αὐτοὺς πρῶτοι, Γόργος τε ὁ Ἀριστομένους καὶ Ἀριστο… μένης αὐτὸς, Θέοκλός τε ὁ μάντις, καὶ Μάντικλος ὁ Θε… κλου· σὺν δὲ αὐτοῖς Εὐεργετίδας, ἀνὴρ καὶ ἄλλως ἐν Με… σήνῃ τιμώμενος, καὶ διὰ τὴν γυναῖκα ἐπὶ πλέον ἀξιώμα… τος ἥκων· ἀδελφὴν γὰρ εἶχεν Ἀριστομένους Ἁγναγόρα… τότε δὲ οἱ μὲν ἄλλοι συνιέντες, ὡς ἐν δικτύοις εἰσὶν ἐση… μένοι, ὅμως καὶ ἐκ τῶν παρόντων εἶχόν τινα ἐλπίδα. (2) Ἀριστομένης δὲ καὶ ὁ μάντις ἠπίσταντο μὲν οὐδεμία…
331 ἔτι ἀναβολὴν ὀλέθρου Μεσσηνίοις οὖσαν, ἅτε εἰδότες κα… τὸν χρησμὸν, ὃν ᾐνίξατο ἐς τὸν τράγον ἡ Πυθία· ἐπέκρυπτον δὲ οὐδὲν ἧσσον, καὶ ἦν σφίσιν ἐς τοὺς ἄλλους ἀπόρρητον. ἐπιόντες δὲ τὴν πόλιν σπουδῇ, καὶ ἐπὶ πάντας ἐρχόμενοι, τοῖς τε ἐντυγχάνουσιν, ὁπότε αἰσθάνοιντο ὄν-

ctis armis, et apparatu universo; sed *passim* eo quisque telo arrepto, quod casus obtulisset, terram eam, in qua sola iam ex omni Messenia patriae nomen remanserat, tutari conabantur. Primi hostem esse intra muros sensere, primique cum armis occurrerunt, Gorgus Aristomenis filius, et Aristomenes ipse; cumque illis Theoclus vates, et item Theocli filius Manticlus: praeterea Euergetidas, vir quum per se egregius et honoratus, tum per nuptias nobilitatus. Nupta enim cum eo erat Hagnagora, Aristomenis soror. Ac tunc quidem, quamvis se quasi intra retia captos, atque undique circumventos et oppressos animadverterent, spei tamen adhuc aliquid, ut in perditis rebus, habuere. (2) Aristomenes quidem et vates satis norant patriae fata differri amplius non posse: (tenebant enim memoria, quid oraculo de capro ambagibus significatum fuisset) neque id tamen, *ne patria quidem iam cadente*, prodendum esse vulgo putarunt: quin festinanter per oppidum discurrantes, ac modo hos, modo illos prensantes, ut quisque obvius esset factus, mo-

τας Μεσσηνίους, παρεκελεύοντο ἄνδρας ἀγαθοὺς εἶναι, καὶ ἐκ τῶν οἰκιῶν ἀνεκάλουν τοὺς ἔτι ὑπολειπομένους. (3) Ἐν μὲν δὴ νυκτὶ οὐδὲν ἄξιον ἐπράχθη λόγου παρ' οὐδετέρων. τοῖς μὲν γὰρ ἡ ἀπειρία τῶν τόπων καὶ ἡ τόλμα Ἀριστομένους παρεῖχε μελλησμόν· τοῖς δὲ Μεσσηνίοις οὔτε παρὰ τῶν στρατηγῶν σύνθημα ἐγεγόνει φθάνοντας εἰληφέναι, τάς τε δᾶδας, ἢ εἴ τινα λαμπτῆρα ἄλλοῖον ἅψαιτό τις, ὕων ἂν ἐσβέννυεν ὁ θεός. ἐπειδὴ δὲ ἡμέρα τε ἦν, καὶ ἀλλήλους καθορᾷν ἐδύναντο, ἐνταῦθα Ἀριστομένης καὶ Θέοκλος ἐπειρῶντο ἐς πᾶσαν ἀπόνοιαν προάγειν τοὺς Μεσσηνίους, ἄλλα τε, ὁπόσα εἰκὸς ἦν, διδάσκοντες, καὶ Σμυρναίων τὰ τολμήματα ἀναμιμνήσκοντες· ὡς Ἰώνων μοῖρα ὄντες Γύγην τὸν Δασκύλου καὶ Λυδοὺς ἔχοντας σφῶν τὴν πόλιν ὑπὸ ἀρετῆς καὶ προθυμίας ἐκβάλοιεν. (4) Οἱ Μεσσήνιοι δὲ ἀκούοντες ἀπονοίας τε ἐνεπίπλαντο, καὶ συνιστάμενοι καθ' ὁπόσους ἕκαστοι τύχοιεν, ἐφέροντο ἐς τοὺς Λακεδαιμονίους. ὥρμησαν δὲ καὶ γυναῖκες τῷ κεράμῳ, καὶ ὅτῳ δύναιτο ἑκάστη, τοὺς πολεμίους βάλλειν.

nere, hortari, a pristina virtute ne desciscerent; alios etiam e suis ad rem gerendam domibus cunctantes evocare. (3) Atque ea quidem nocte nihil ab alterutris memorabile gestum est. Illos enim quum locorum inscitia, tum vero Aristomenis metus reddebat segniores. His neque vacarat accipere a ducibus tesseram; ac, si vel faces, vel aliud quodvis lumen accendissent, id statim venti vis extinguebat. Ut primum illuxit, et se mutuo conspexerunt, Aristomenes et una Theoclus cives, ut extrema omnia auderent, incitabant, et alia commemorantes, et in primis insigne illud Smyrnaeorum facinus, qui cum partem Ioniae obtinerent, Gygen, Dascyli filium, qui urbem magnis Lydorum copiis oppressam tenebat, virtute et animi praesentia eiecerant. (4) Quibus auditis Messenii, ipsa subnisi rerum desperatione, in hostes, qua cuique viam fortuna ostendebat, irruerunt. Ipsae etiam foeminae de superiori loco tegulas, et aliud quicquid missile nancisci potuissent,

τοῦτο μὲν δὴ μὴ δρᾶσαι σφᾶς, μηδὲ ἐπιβῆναι τῶν τεγῶν, τοῦ ὄμβρου τὸ βίαιον ἐπεκώλυε. λαβεῖν δὲ ὅπλα ἐτόλμησαν, καὶ τοῖς ἀνδράσιν ἐπὶ πλέον αὗται τὴν τόλμαν ἐξῆψαν, ὁπότε καὶ τὰς γυναῖκας ἑώρων προτιμώσας συναπολέσθαι τῇ πατρίδι, ἢ ἀχθῆναι δούλας ἐς Λακεδαίμονα· ὥστε κἂν παρελθεῖν ἠδυνήθησαν τὸ πεπρωμένον. ἀλλὰ ὁ θεὸς τὸ ὕδωρ ἐπήγαγεν ἀθρόον μᾶλλον μετὰ ἰσχυροῦ τῶν βροντῶν ψόφου, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐναντίαις ταῖς ἀστραπαῖς ἐξέπληττε. τοῖς δὲ Λακεδαιμονίοις ταῦτα πάντα παρίστη φρόνημα, καὶ αὐτὸν ἀμύνειν σφίσιν ἔφασαν τὸν θεόν. καὶ (ἤστραπτε γὰρ τούτοις κατὰ δεξιὰ) ἀπέφαινεν Ἕκατος ὁ μάντις, ὡς αἴσιον εἴη τὸ σημεῖον.
332 (5) Οὗτος δὲ καὶ στρατήγημα ἐξεῦρε τοιόνδε. ἀριθμῷ καὶ πολὺ οἱ Λακεδαιμόνιοι περιῆσαν. ἅτε δὲ οὐκ ἐν εὐρυχωρίᾳ σφίσιν οὐδὲ κατὰ σύνταγμα ἐγγινομένης τῆς μάχης, ἄλλων δὲ ἄλλῃ τῆς πόλεως ποιουμένων τὸν ἀγῶνα, ἀχρείους ἀπὸ ἑκάστης τάξεως συνέβαινεν εἶναι τοὺς τελευταίους. τούτους ἐκέλευεν ἀποχωρήσαντας ἐς τὸ στρατόπεδον σι-

eiaculari conabantur: sed quo minus tecta scandere possent, procellae vis obstabat. Arma vero capere ausae, virorum alacritatem inflammabant, quum eas illi facile perspicerent malle in patria mortem oppetere, quam in servitutem Spartam trahi. Ea *animorum conspiratione* potuissent fortasse fati iniquitatem superare, nisi effusi multo etiam praefractius imbres, crebris cum tonitribus et fragore micante ob oculos coelo, omnia pavore complessent: contra vero hosti confidentiam addidissent, deos a se stare interpretanti: praesertim vero quum, fulgente ad dexteram Iove, laeta omnia Hecatus aruspex nunciasset. (5) Et ille quidem eiusmodi consilii auctor fuit. Lacedaemoniorum copiae numero longe superiores fuere: verum quum non aequo campo, aut ordinato agmine, sed qua quisque in urbis parte congressus cum hoste esset, manus consererentur, facile eveniebat, ut postremi quique prorsus essent inutiles. Hos ut in castra se reciperent, Heca-

τίων μεταλαβεῖν καὶ ὕπνου, καὶ αὖθις πρὸ ἑσπέρας ἥκειν τοῖς ὑπομένουσιν αὐτῶν διαδεξομένους τὸν πόνον. καὶ οἱ μὲν ἀναπαυόμενοί τε καὶ ἀνὰ μέρος μαχόμενοι μᾶλλον ἀντήρκουν. (6) Τοῖς δὲ Μεσσηνίοις πανταχόθεν παρίστατο ἀπορία· μεθ' ἡμέραν γὰρ ἀεὶ καὶ νύκτα συνεχῶς οἱ αὐτοὶ τρίτην ἠμύνοντο. ἤδη τε ἡμέρα ἦν, καὶ ἥ τε ἀϋπνία καὶ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ τε καὶ ῥῖγος ἐπίεζε σφᾶς, ὅ τε λιμὸς καὶ ἡ δίψα ἐπέκειτο. μάλιστα δὲ αἱ γυναῖκες ἀηθείᾳ τε πολέμου καὶ τῇ συνεχείᾳ τῆς ταλαιπωρίας ἀπειρήκεσαν. (7) Παραστὰς οὖν ὁ μάντις Θέοκλος πρὸς Ἀριστομένην εἶπε· Τί μάτην τόνδε ἔχεις τὸν πόνον; ἁλῶναι Μεσσήνην πάντως ἐστὶ πεπρωμένον. συμφορὰν δὲ τὴν ἐν ὀφθαλμοῖς πάλαι τε ἡμῖν προεσήμαινεν ἡ Πυθία, καὶ ἔναγχος ὁ ἐρινεὸς ἔδειξεν. ἐμοὶ μὲν οὖν ὁ θεὸς αὐτῷ κοινὴν πρὸς τὴν πατρίδα ἐπάγει τὴν τελευτήν· σὺ δὲ σώζειν μὲν, ὡς δυνάμεως ἥκεις, Μεσσηνίους, σώζειν δὲ καὶ σαυτόν. ἐπεὶ δὲ εἶπε πρὸς τοῦτον, ἐπὶ τοὺς πολεμίους ἔθει· καί οἱ καὶ ἐς τοὺς Λακεδαιμονίους ἔπεισιν ἐκβοῆσαι τοσόν-

tus iussit, ibique corpora cibo ac somno curarent: quum advesperasceret, adessent, fessos levaturi. Quo factum, ut, quum fatigatis vicissim recentes succederent, facile pugnae labor sustineri potuerit. (6) At contra Messeniis fuera omnia misera et aerumnosa. Tertium enim iam diem, et noctem tertiam iidem pro statione excubarunt. Vigilia itaque, coelesti aqua, et gelu, fame ad haec et siti confecti prope erant; maxime vero foeminas ex armorum insolentia laborum assiduitas fregerat. (7) Ibi Theoclus vates Aristomenem appellans, Quid inanem, inquit, operam sumis? expugnari Messenen fato omnino decretum est. Imminentem certe calamitatem iampridem Delphici Apollinis vox nobis praenunciavit; atque id ipsum caprificus nuper aperte ostendit: mihi fatum est una cum patria cadere: tu cives tuos, ac te ipsum periculo exime. Haec locutus, in adversos irruit: ac in Lacedaemonios vociferans, non fore illis perpetuae

δε· 'Αλλ' οὔτοι τὸν πάντα γε χρόνον χαίροντες καρπώσεσθε τὰ Μεσσηνίων. μετὰ τοῦτο τοῖς καθ' αὑτὸν ἀνθεστηκόσιν ἐμπεσὼν, ἐκείνους τε ἔκτεινε, καὶ αὐτὸς ἐτιτρώσκετο· προεμπλήσας δὲ τὸν θυμὸν τῷ φόνῳ τῶν ἐχθρῶν ἀφίησι τὴν ψυχήν. (8) 'Αριστομένης δὲ ἀπὸ τῆς μάχης ὀπίσω τοὺς Μεσσηνίους ἀνεκάλει, πλὴν ὅσοι κατὰ ἀνδραγαθίαν αὐτῷ προσεμάχοντο· τούτους δὲ εἴα κατὰ χώραν μένειν. τοῖς δὲ λοιποῖς προσέταξε τὰς γυναῖκας καὶ τὰ τέκνα ἐντὸς τῆς τάξεως ἔχοντας ἐπακολουθεῖν, ᾗπερ ἂν αὐτὸς παρέχηται διέξοδον. καὶ τούτων μὲν τοῖς τελευταίοις
333 Γόργον καὶ Μάντικλον ἐπέστησεν ἄρχοντας· αὐτὸς δὲ ἀναδραμὼν ἐς τοὺς προτεταγμένους, τῆς τε κεφαλῆς τῷ νεύματι καὶ τοῦ δόρατος τῇ κινήσει δῆλος ἦν διέξοδόν τε αἰτούμενος, καὶ ἀποχωρεῖν ἤδη βεβουλευμένος. τῷ τε οὖν 'Εμπεράμῳ καὶ Σπαρτιατῶν τοῖς παροῦσι διεῖναι τοὺς Μεσσηνίους ἤρεσκε, μηδὲ λυσσῶντας ἀνθρώπους καὶ ἐς τὸ ἔσχατον ἀπονοίας ἥκοντας ἐξαγριᾶναι πέρα. καὶ ἅμα οὕτω σφᾶς ποιεῖν Ἕκατος ὁ μάντις ἐκέλευεν.

voluptati eam victoriam, nec perpetuo mancipio Messeniorum opes, in obvios quosque invadens, quum animum caede hostium explesset, accepto vulnere animam efflavit. (8) Aristomenes lectissimos quosque viros, quorum virtus in ea pugna enituerat, adhuc praeliantes reliquit, ceteris e pugna revocatis, ut uxoribus et liberis in medios ordines receptis, quacunque viam fecisset, se sequerentur imperat. Horum extremo agmini Gorgum et Manticlum praefecit. Ipse in principia provolans, caputque quassans, et hastam vibrans, claram significationem dedit, transitum et discessum quaeri. Placuit Emperamo et Spartanorum principibus divisa acie fugientibus viam dare, homines tanquam rabie quadam percitos et ad extremum iam desperationis progressos, non esse amplius efferandos rati: atque id ut facerent, Hecatus vates iusserat.

CAPUT XXII.

Arcades Messenios Ira expulsos ad Lycaeum montem benevole excipiunt — Aristomenes, qui Spartae invadendae consilium capit et perficere parat, ab Aristocrate denuo proditur — Aristocratis proditione indicata, Arcades illum lapidibus conficiunt.

Οἱ δὲ Ἀρκάδες παραυτίκα τε τὴν κατάληψιν ἐπυνθάνοντο τῆς Εἴρας, καὶ αὐτίκα τὸν Ἀριστοκράτην ἐκέλευον σφᾶς ἄγειν, ὡς ἢ σώσοντας Μεσσηνίους, ἢ σὺν αὐτοῖς ἀπολουμένους. ὁ δὲ, ἅτε ἐκ τῆς Λακεδαίμονος δεδεγμένος δῶρα, οὔτε ἄγειν ἤθελεν, εἰδέναι τε ἔφασκεν οὐδένα ἔτι Μεσσηνίων, ὅτῳ καὶ ἀμυνοῦσιν, ὄντα ὑπόλοιπον. τότε δὲ ὡς σαφέστερον ᾐσθάνοντο περιόντας καὶ ἐκλείπειν τὴν Εἶραν βεβιασμένους, αὐτοὶ μὲν περὶ τὸ ὄρος σφᾶς τὸ Λύκαιον ἔμελλον ὑποδέξασθαι, προετοιμασάμενοι καὶ ἐσθῆτα καὶ σιτία· ἄνδρας δὲ τῶν ἐν τέλει πέμπουσι παραμυθεῖσθαί τε τοὺς Μεσσηνίους, καὶ ἡγεμόνας τῆς πορείας ἅμα γενέσθαι. καὶ τοὺς μὲν, ὡς ἐς τὸ Λύκαιον ἀνεσώθησαν, ἐξένιζον, καὶ τὰ ἄλλα εὐνοϊκῶς περιεῖπον οἱ Ἀρκάδες, κατανέμειν τε ἐς τὰς πόλεις ἤθελον καὶ ἀναδάσασθαι δι' ἐκείνους τὴν γῆν.

Cap. XXII. Posteaquam de Ira capta certiores facti sunt Arcades, *universi* ab Aristocrate postularunt, se ut educeret, quo vel servarent Messenios, vel cum illis perirent. At ille, quippe qui delinitus esset Lacedaemoniorum pecunia, plane recusavit, neminem superesse Messeniorum, cui Iam ferri auxilium posset, dictitans. Atenim quum liquido iam constaret superstites esse Messenios, vi certe coactos Iran deserere, ultro cum vestimentis et cibariis eos accepturi ad Lycaeum montem Arcades occurrere, praemissis civitatum principibus, qui socios consolarentur, et itinerum duces essent. Quum salvi accessissent iam ad Lycaeum, hospitio comiter accepti sunt, ac liberaliter invitati, ut per urbes divisi secum mane-

(2) Ἀριστομένει δὲ ὅ τε οἶκτος διαρπαζομένης τῆς Εἴρας καὶ τὸ μῖσος τὸ ἐς τοὺς Λακεδαιμονίους βούλευμα παρίστησι τοιόνδε. πεντακοσίους τῶν Μεσσηνίων, οὓς μάλιστα ἠπίστατο αὐτῶν ἀφειδῶς ἔχοντας, ἀποκρίνας ἀπὸ τοῦ πλήθους, ἤρετο σφᾶς ἐν ἐπηκόῳ τῶν τε ἄλλων Ἀρκάδων καὶ Ἀριστοκράτους, ἅτε ὄντα προδότην οὐκ εἰδὼς (ἀνανδρίᾳ γὰρ καὶ ὑπὸ δειλίας φυγεῖν τότε ἤδη καὶ Ἀριστοκράτη τῆς μάχης, καὶ οὐ διὰ κακίαν οὐδεμίαν, ἐδόξαζεν αὐτὸν, ὥστε ἐναντίον καὶ τούτου τοὺς πεντακοσίους ἤρετο), εἰ τιμωροῦντες τῇ πατρίδι ἀποθνήσκειν σὺν αὐτῷ ἐθελήσουσι. φαμένων δὲ ἐθέλειν, ἀπεγύμνου τὸ πᾶν, ὡς πάντως τῆς ἐπιούσης ἑσπέρας ἐπὶ τὴν Σπάρτην ἄγειν μέλ-
334 λοι. Λακεδαιμονίων γὰρ τότε δὴ μάλιστα ἐς τὴν Εἶραν ἀπῆσαν οἱ πολλοὶ, καὶ ἄλλοι τε ἐπεφοίτων φέροντες καὶ ἄγοντες τὰ Μεσσηνίων. καὶ ἢν μὲν ἑλεῖν τὴν Σπάρτην καὶ κατασχεῖν δυνηθῶμεν, ἔφασκεν ὁ Ἀριστομένης, ἔστιν ἡμῖν ἀποδόντας Λακεδαιμονίοις τὰ ἐκείνων, κομίσασθαι τὰ οἰκεῖα· ἁμαρτάνοντες δὲ, ὁμοῦ ἀποθανούμεθά γε, μνή-

rent; agri etiam pars oblata. (2) Verum Aristomenes quum direptae Irae miseratione, tum Lacedaemoniorum odio instinctus, tale consilium init. Seligit ex omni agminis sui numero homines quingentos, quos omnium minime vitae retinendae cupidos norat. Ibi tota Arcadum multitudine, ipso etiam Aristocrate audiente, quem nondum rescierat patriae proditorem esse: (quod enim e pugna excessisset, non scelere, sed metu et ignavia factum opinatus fuerat) ab eo itaque sibi nihil cavens, quaerit de suis, nunquid patriam ulti secum nihil recusent mortem oppetere. Quum assensi essent omnes, quid in animo haberet, aperuit, quod scilicet inclinante iam die Spartam esset ducturus, quum magna pars ad Iran esset, alii agendis et rapiendis Messeniorum rebus essent occupati. Nam si ita (inquit) ceciderit ut volumus, et Sparta fuerimus potiti, licebit illis sua reddere, nostra recipere: sin aliter evenerit, una cademus omnes, illustrem

μης καὶ τοῖς ἔπειτα ἄξια ἐργασάμενοι. ταῦτα εἰπόντος, τῶν Ἀρκάδων ὅσον τριακόσιοι μετέχειν καὶ αὐτοὶ τοῦ τολμήματος ἤθελον. καὶ τότε μὲν ἐπεῖχον τῆς ἐξόδου· τὰ γὰρ ἱερὰ ἐγίγνετο αὐτοῖς οὐ κατὰ γνώμην. (3) Τῇ δὲ ἐπιούσῃ τό τε ἀπόῤῥητον ἔγνωσαν σφῶν τοὺς Λακεδαιμονίους προπεπυσμένους, καὶ αὐτοὶ δεύτερον ὑπὸ Ἀριστοκράτους προδεδομένοι. τὰ γὰρ τοῦ Ἀριστομένους βουλεύματα αὐτίκα ὁ Ἀριστοκράτης ἐγγράψας βιβλίῳ, καὶ τὸ βιβλίον ἐπιθεὶς τῶν οἰκετῶν, ὃν ἠπίστατο ὄντα εὐνούστατον, παρὰ Ἀνάξανδρον ἀπέστελλεν ἐς Σπάρτην. ἐπανιόντα δὲ τὸν οἰκέτην λοχῶσιν ἄνδρες τῶν Ἀρκάδων, διάφοροι καὶ πρότερον τῷ Ἀριστοκράτει, σχόντες δέ τι καὶ ὕποπτον τότε ἐς αὐτόν. λοχήσαντες δὲ τὸν οἰκέτην ἐπανάγουσιν ἐς τοὺς Ἀρκάδας, καὶ ἐπεδείκνυον ἐς τὸν δῆμον τὰ ἀντεπεσταλμένα ἐκ Λακεδαίμονος. ἐπέστελλέ τε ὁ Ἀνάξανδρος, φυγήν τε αὐτῷ τὴν πρότερον ἀπὸ τῆς Μεγάλης Τάφρου φάμενος οὐκ ἀνόνητον ἐκ Λακεδαιμονίων γενέσθαι· προσέσεσθαι δέ οἱ χάριν καὶ τῶν ἐν τῷ παρόντι μηνυμά-

conatus nostri memoriam posteris relinquentes. Haec quum dixisset, ex Arcadibus ad trecentos in societatem se facinoris obtulerunt. Verum idcirco rem aggredi cunctati sunt, quod litantibus exta minus laeta fuere. (3) At postero die Lacedaemoniis consilia sua patefacta, seque iterum ab Aristocrate proditos haud dubie deprehenderunt. Nam quum Aristocrates in codicillis *omnia accurate* perscripsisset, quae cogitaret Aristomenes, cum iis codicillis servum, cuius maxime benevolentia confidebat, Spartam ad Anaxandrum misit. Eum servum, dum Lacedaemone reverteretur, speculati Arcadum nonnulli, (quum alias *de republica* dissidere ab Aristocrate soliti, tum eo maxime tempore minimum illi fidei habentes) interceptum, in concilium Arcadum producunt. Ibi quae ad Aristocratis epistolam rescripta fuerant, frequenti conventu recitata. Memorabat Anaxander, tam fugam a Magna Fossa Aristocrati a Spartanis pecuniam lucrumque attulisse,

των. (4) Ὡς δὲ ἀπηγγέλθη ταῦτα ἐς ἅπαντας, αὐτοί τε τὸν Ἀριστοκράτην ἔβαλλον οἱ Ἀρκάδες, καὶ τοῖς Μεσσηνίοις διεκελεύοντο· οἱ δὲ ἐς τὸν Ἀριστομένην ἀπέβλεπον, καὶ ὁ μὲν ἐς τὴν γῆν ἀφορῶν ἔκλαιε. τὸν δὲ Ἀριστοκράτην οἱ Ἀρκάδες καταλιθώσαντες, τὸν μὲν τῶν ὅρων ἐκτὸς ἐκβάλλουσιν ἄταφον, στήλην δὲ ἀνέθεσαν ἐς τὸ τέμενος τοῦ Λυκαίου λέγουσαν·

Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆϊ,
Εὗρε δὲ Μεσσήνης σὺν Διῒ τὸν προδότην
Ῥηϊδίως. χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' ἐπίορκον.
Χαῖρε Ζεῦ βασιλεῦ, καὶ σάου Ἀρκαδίαν.

CAPUT XXIII.

Messeniorum superatorum alii in Hilotarum numerum referuntur, alii Cyllenen se recipiunt, et coloniae deducendae consilium capiunt — de tempore secundi belli Messenici finiti — Anaxilas, Rhegii in Italia tyrannus, Messenios arcessit et in Siciliam traducit — Messenii cum Rheginis Zanclaeos superant, et cum his iuncti urbem Zanclen incolunt, quam Messenen appellant — de Hercule Manticlo.

Τῶν δὲ Μεσσηνίων ὁπόσοι περὶ τὴν Εἶραν ἢ καὶ ἑτέρωθί που τῆς Μεσσηνίας ἐγκατελείφθησαν, τούτους μὲν οἱ Λα-

quam praemium indicio recenti adfuturum. (4) Re in publicum prolata, Arcades in Aristocratem continuo lapides iecere, idemque ut facerent, Messenios cohortabantur. At illi Aristomenem intuebantur: is vero humi defixis oculis collacrymabat. Arcades obrutum lapidibus Aristocratem insepultum extra fines abiecere: columellam autem in Lycaei fano erexerunt, *in eius rei memoriam*, his versibus incisis:

Ulta dies facile est dextro Iove longa tyrannum,
Messenen qui olim prodiderat miseram.
Difficile est hominem periurum fallere divos.
Tu salve, et serva Iuppiter Arcadiam.

Cap. XXIII. Messeniorum quotcunque aut ad Iran, aut quocunque alio loco relicti sunt, eos Lacedaemonii in

κεδαιμόνιοι προσίεσαν ἐς τὸ Εἱλωτικόν· Πύλιοι δὲ καὶ Μοθωναῖοι καὶ ὅσοι τὰ παραθαλάσσια ᾤκουν, ναυσὶν ὑπὸ τὴν ἅλωσιν τῆς Εἴρας ἀπαίρουσιν ἐς Κυλλήνην τὸ ἐπίνειον τὸ Ἠλείων. ἐκεῖθεν δὲ παρὰ τοὺς ἐν Ἀρκαδίᾳ Μεσσηνίους ἀπέστελλον, ἐθέλοντες κοινῷ στόλῳ χώραν, ἔνθα οἰκήσουσιν, ἀναζητεῖν, καὶ Ἀριστομένην ἐκέλευον ἡγεῖσθαί σφισιν ἐς ἀποικίαν. ὁ δὲ, αὐτὸς μὲν ἕως ἂν περιῇ, πολεμήσειν Λακεδαιμονίοις ἔφασκεν, ἐπίστασθαι δὲ ἀκριβῶς, ὡς ἀεί τι ἀναφύσεται τῇ Σπάρτῃ δι' αὐτοῦ κακόν· ἐκείνοις δὲ Γόργον καὶ Μάντικλον ἔδωκεν ἡγεμόνας. ὁ δὲ Εὐεργετίδας ἐς μὲν τὸ Λύκαιον σὺν τοῖς ἄλλοις Μεσσηνίοις καὶ αὐτὸς ἀπεχώρησεν· ἐκεῖθεν δὲ, ὡς ἑώρα τὸ βούλευμα διαπεπτωκὸς τῷ Ἀριστομένει τὸ ἐς τὴν κατάληψιν τῆς Σπάρτης, ἀναπείσας τῶν Μεσσηνίων ὡς πεντήκοντα, ἐπάνεισιν ἐπὶ τοὺς Λακεδαιμονίους ἐς τὴν Εἶραν, καὶ ἐντυχὼν διαρπάζουσιν ἔτι, τὰ ἐπινίκια πένθος σφίσιν ἐποίησε· καὶ τὸν μὲν ἐνταῦθα ἐπιλαμβάνει τὸ χρεών. Ἀριστομένης

publicorum servitiorum numerum (*Hilotas ipsi vocant*) conscripserunt. Pylii, et Mothonaei, et ceteri e Messenico nomine, maris accolae, expugnata Ira, classibus se Cyllenen (quod Eleorum navale fuit) receperunt: atque inde ad eos, qui in Arcadiam profugerant, contendere, quo communi classe et consilio novas sibi terras ac sedes quaererent: ac coloniae quidem deducendae auctorem et ducem cuncti Aristomenem poscebant. At ille, quamdiu vitae compos esset, bellaturum se cum Lacedaemoniis affirmavit: neque vero dubitare, quin opera sua Spartae novi semper aliquid mali creari posset: illis Gorgum et Manticlum duces dedit. Euergetidas cum reliqua Messeniorum manu ipse etiam ad Lycaeum venit. Ibi quum Aristomenis consilium de Sparta opprimenda fluxum atque irritum fuisse comperisset, assumtis ad L sociis ex omni agmine, retro ad Iran duxit; ubi quos praedae reliquias persequentes offendit, male mulctavit: quumque laetos ipsorum super victoria triumphos in flebilem luctum convertisset, postremo super hostium strage occubuit. Ari-

δὲ ὡς τοὺς ἡγεμόνας τοῖς Μεσσηνίοις ἐπίταξεν ἐς Κυλλή-
νην, ὅστις ἐθέλοι μετέχειν τῆς ἀποικίας. καὶ μετέσχον
ἅπαντες, πλὴν εἰ γῆράς τινα ἀπεῖργεν, ἢ μηδὲ εὐπορῶν
ἔτυχεν ἐς τὴν ἀποδημίαν· οὗτοι δὲ αὐτοῦ κατέμειναν παρὰ
τοῖς Ἀρκάσιν. (2) Ἑάλω δὲ ἡ Εἶρα, καὶ ὁ πόλεμος ὁ
336 δεύτερος Λακεδαιμονίων καὶ Μεσσηνίων τέλος ἔσχεν, Ἀθη-
ναίοις ἄρχοντος Αὐτοσθένους, ἔτει πρώτῳ τῆς ὀγδόης τε
καὶ εἰκοστῆς Ὀλυμπιάδος, ἣν ἐνίκα Χίονις Λάκων. Ὡς δὲ
ἐς τὴν Κυλλήνην οἱ Μεσσήνιοι συνελέχθησαν, τὸν μὲν
παρόντα χειμῶνα ἔδοξεν αὐτοῦ χειμάζειν, καὶ τὴν ἀγορὰν
σφισι καὶ χρήματα οἱ Ἠλεῖοι παρεῖχον. ἅμα δὲ τῷ ἦρι
ἐβουλεύοντο, ποῖ χρὴ σταλῆναι. γνῶμαι δὲ ἦσαν, Γόρ-
γου μὲν, Ζάκυνθον τὴν ὑπὲρ Κεφαλληνίας καταλαβόντας
καὶ νησιώτας ἀντὶ ἠπειρωτῶν γενομένους ναυσὶν ἐς τὰ πα-
ραθαλάσσια τῆς Λακωνικῆς ἐπιπλέοντας, κακοῦν τὴν γῆν·
Μάντικλος δὲ ἐκέλευε Μεσσήνης μὲν καὶ τοῦ Λακεδαιμο-
νίων ἔχθους λαβεῖν λήθην, πλεύσαντας δὲ ἐς Σαρδὼ, κτή-

stomenes declaratis ducibus, quum Cyllenen omnes con-
venissent, edixit, ut eos in coloniam, quicunque vellent,
sequerentur. Dederunt omnes nomen, praeterquam quos
aut senectus, aut viatici egestas a peregrinatione deter-
ritos in Arcadia detinuit. (2) Ira capta finem habuit
Messeniorum et Lacedaemoniorum secundum bellum, geren-
te Athenis supremum civitatis honorem Autosthene anno
primo octavae atque vicesimae Olympiadis, cuius victor
extitit Chionis Laco. Quum ad Cyllenen convenissent
Messenii, hyeme iam imminente, hybernandum eo in loco
censuerunt. Pecuniam et annonam Elei praebuere. Vere in-
eunte, quonam dirigi cursum oporteret, consultare coeperunt.
Censebat Gorgus Zacynthum insulam supra Cephalleniam
occupandam, unde insulani e continentis terrae incolis facti
maritimis excursionibus oram omnem Laconicam infestam
redderent. At Manticlus, neque Messenes, neque iniuria-
rum, quas a Spartanis accepissent, memoriam retinendam;
verum esse primo quoque tempore in Sardiniam, magnam

σασθαι μεγίστην τε νῆσον καὶ εὐδαιμονίᾳ πρώτην. (3) Ἐν τοσούτῳ δὲ Ἀναξίλας παρὰ τοὺς Μεσσηνίους ἀπέστειλεν ἐς Ἰταλίαν καλῶν. ὁ δὲ Ἀναξίλας ἐτυράννει μὲν Ῥηγίου, τέταρτος δὲ ἀπόγονος ἦν Ἀλκιδαμίδου. μετῴκησε δὲ Ἀλκιδαμίδας ἐκ Μεσσήνης ἐς Ῥήγιον μετὰ τὴν Ἀριστοδήμου τοῦ βασιλέως τελευτὴν καὶ Ἰθώμης τὴν ἅλωσιν. οὗτος οὖν ὁ Ἀναξίλας τοὺς Μεσσηνίους μετεπέμπετο, ἐλθοῦσί τε ἔλεγεν, ὡς Ζαγκλαῖοι διάφοροι μέν εἰσιν αὐτῷ, χώραν δὲ εὐδαίμονα καὶ πόλιν ἐν καλῷ τῆς Σικελίας ἔχουσιν· ἃ δὴ σφίσιν ἐθέλειν ἔφη συγκατεργασάμενος δοῦναι. προσεμένων δὲ τὸν λόγον, οὕτως Ἀναξίλας διεβίβασεν ἐς Σικελίαν αὐτούς. Ζάγκλην δὲ τὸ μὲν ἐξαρχῆς κατέλαβον λῃσταί, καὶ ἐν ἐρήμῳ τῇ γῇ τειχίσαντες ὅσον περὶ τὸν λιμένα, ὁρμητηρίῳ πρὸς τὰς καταδρομὰς καὶ ἐς τοὺς ἐκπλους ἐχρῶντο. ἡγεμόνες δὲ ἦσαν αὐτῶν Κραταιμένης Σάμιος, καὶ Περιήρης ἐκ Χαλκίδος. Περιήρει δὲ ὕστερον καὶ Κραταιμένει καὶ ἄλλους ἐπαγαγέσθαι τῶν Ἑλλήνων ἔδοξεν οἰκή-

et copiis omnibus circumfluentem insulam, transmittendum (3) Interea Anaxilas ad Messenios misit, qui in Italiam eos accerserent. Rhegii hic tyrannidem, quartus ab Alcidamida, *e cuius erat nepote genitus*, obtinebat. Commigrarat vero a Messene Alcidamidas Rhegium, post Aristodemi regis mortem, Ithome expugnata. Ad Anaxilan itaque eius accersitu venere Messenii: quos ille docuit, perpetuum sibi esse cum Zanclaeis bellum: possidere illos uberem ac luculentum agrum, et urbem valde opportuno Siciliae loco: quod si eorum imperio potiri posset, illud se quamprimum Messeniis traditurum. *Vehementer* quum esset omnibus id consilium probatum, traduxit *hospites et gentiles suos* Anaxilas in Siciliam. Zanclen ab initio praedones tenuere: nam quum ea terrae pars deserta adhuc esset, muro incluserunt quidquid circa portum erat, inaedificato castello, e quo in mare involare possent, et rursum e marinis excursionibus eo se reciperent. Eorum duces fuere Crataemenes Samius, et Chalcidensis Perieres. Ii et alios post e Graecis inquilinos adsciscendos

τορας. (4) Τότε δὲ τοὺς Ζαγκλαίους ὅ τε Ἀναξίλας ναυ
σὶν ἀνταναγομένους ἐνίκησε, καὶ οἱ Μεσσήνιοι μάχῃ πεζῇ
837 Ζαγκλαῖοι δὲ κατὰ γῆν τε ὑπὸ Μεσσηνίων, καὶ ναυσὶ
ἅμα ἐκ θαλάσσης ὑπὸ Ῥηγίνων πολιορκούμενοι, καὶ ἁλι
σκομένου σφίσιν ἤδη τοῦ τείχους, ἐπί τε βωμοὺς θεῶν κα
πρὸς τὰ ἱερὰ φεύγουσιν. Ἀναξίλας μὲν οὖν τοῖς Μεσση
νίοις παρεκελεύετο, τούς τε ἱκετεύοντας Ζαγκλαίων ἀπο
κτείνειν, καὶ τοὺς λοιποὺς γυναιξὶν ὁμοῦ καὶ παισὶν ἀν
δραποδίσασθαι. Γόργος δὲ καὶ Μάντικλος παρῃτοῦντ
Ἀναξίλαν, μὴ σφᾶς ὑπὸ συγγενῶν ἀνδρῶν πεπονθότα
ἀνόσια, ὅμοια αὐτοὺς ἐς ἀνθρώπους Ἕλληνας ἀναγκάσα
δρᾶσαι. μετὰ δὲ τοῦτο ἤδη τοὺς Ζαγκλαίους ἀνίστασα
ἀπὸ τῶν βωμῶν, καὶ ὅρκους δόντες, καὶ αὐτοὶ παρ' ἐκεί
νων λαβόντες, ᾤκησαν ἀμφότεροι κοινῇ. ὄνομα δὲ τ
πόλει μετέθεσαν Μεσσήνην ἀντὶ Ζάγκλης καλεῖσθα
(5) Ταῦτα δὲ ἐπὶ τῆς Ὀλυμπιάδος ἐπράχθη τῆς ἐνάτης κα
εἰκοστῆς, ἣν Χίονις Λάκων τὸ δεύτερον ἐνίκα, Μιλτιά
δου παρ' Ἀθηναίοις ἄρχοντος. Μάντικλος δὲ καὶ τὸ ἱε
ρὸν Μεσσηνίοις τοῦ Ἡρακλέους ἐποίησε. καὶ ἔστιν ἐκτὸ

duxerant. (4) Ac tunc quidem Zanclaeos Anaxilas navali
terrestri praelio Messenii fudere: qui quum postea terra ma-
rique hinc a Messeniis, illinc a Rheginis obsiderentur, ma-
gna iam murorum parte deiecta ad aras ac deorum sedes con-
fugere. Imperabat Anaxilas, ut supplices *nulla religionis re-
recundia* trucidarentur, reliqui cum uxoribus et liberis sub coro
na venderentur. At Gorgus et Manticlus deprecantes *facinori
atrocitatem*, Anaxilan rogarunt, ne, quae per summum nefa
a cognatis passi essent, cogerentur ipsi adversus Graeco
committere. Ab aris igitur excitatis impunitas fuit; fidequ
ultro citroque data et accepta, domicilium et imperium cun
victis communicatum: mutato tamen nomine, Zanclen Mes-
senen placuit appellari. (5) Haec gesta sunt undetricesim
Olympiade, qua iterum vicit Chionis Lacon, principatu ci
vitatis apud Athenienses fungente Miltiade. Manticlus Hercu-
lis templum novae coloniae erexit. Exstat adhuc intra mu-

τείχους ὁ θεὸς ἱδρυμένος, Ἡρακλῆς καλούμενος Μάντικλος· καθάπερ καὶ Ἄμμων ἐν Λιβύῃ, καὶ ὁ ἐν Βαβυλῶνι Βῆλος, ὁ μὲν ἀπὸ ἀνδρὸς Αἰγυπτίου Βήλου τοῦ Λιβύης ὄνομα ἔσχεν, Ἄμμων δὲ ἀπὸ τοῦ ἱδρυσαμένου ποιμένος. Μεσσηνίοις μὲν οὖν τοῖς φεύγουσιν ἐγεγόνει πέρας τῆς ἄλης.

CAPUT XXIV.

Aristomenes, sorore et filiabus in matrimonium datis, Rhodum concedit et ibi moritur — Messenii inter Hilotas relati deficiunt et in montem Ithomen secedunt — Messeniis certis conditionibus ex Ithome abire jussis Athenienses Naupactum inhabitandam dant.

Ἀριστομένης δὲ ὡς τὴν ἡγεμονίαν ἀπείπατο τῶν ἐς τὴν ἀποικίαν στελλομένων, τὰς θυγατέρας τὴν πρεσβυτάτην, καὶ τὴν ἐπὶ ταύτῃ, καὶ Ἁγναγόραν τὴν ἀδελφὴν, τὴν μὲν Θάρυκι ἐς Φιγαλίαν, Δαμοθοΐδᾳ δὲ Λεπρεάτῃ καὶ Ἡραιεῖ Θεοπόμπῳ τὰς θυγατέρας συνῴκισεν. αὐτὸς δὲ ἀφικόμενος ἐς Δελφοὺς, ἐχρῆτο τῷ θεῷ· καὶ τὸ μὲν τῷ Ἀριστομένει γενόμενον μάντευμα οὐ λέγεται. Δαμαγήτῳ δὲ Ῥοδίῳ, βασιλεύοντι ἐν Ἰαλυσῷ, τότε δὲ ἥκοντι παρὰ τὸν

ros dei fanum, Herculis Manticli vocant, *sumto a conditore nomine.* Qua ratione Ammon in Africa dictus, et Babylone *Iupiter* Belus: hic ab Aegyptio Belo, Libyes filio; ille a pastore, qui templa *Iovi* dedicarunt. Hoc exules Messenii modo errorum finem nacti sunt.

Cap. XXIV. Aristomenes interea quum novae coloniae imperium sibi deferri passus non esset, sororem primum Hagnagoram Tharyci Phigaliensi, duas vero, quas habebat nubiles filias, maiorem natu Damothoidae Lepreatae, minorem Heraeensi Theopómpo matrimonio iunxit. Delphos deinde consulendi causa profectus est: quid acceperit responsi, non traditur. Eodem vero tempore venerat ad oraculum Damagetus Rhodius, Ialysi rex: ei virgo ex adyto respondit

Ἀπόλλωνα, καὶ ἐρωτῶντι, ὁπόθεν ἀγαγέσθαι χρὴ γυναῖκα,
338 ἔχρησεν ἡ Πυθία, θυγατέρα ἀνδρὸς τῶν Ἑλλήνων τοῦ ἀρί-
στου.λαβεῖν. ὁ δὲ (ἦν γὰρ καὶ τρίτη τῷ Ἀριστομένει θυ-
γάτηρ) γαμεῖ ταύτην, Ἑλλήνων τῶν τότε ἐκεῖνον μακρῷ
δή τινι ἄριστον νομίζων. Ἀριστομένης δὲ ἐς μὲν τὴν Ῥό-
δον ἀφίκετο σὺν τῇ θυγατρί· ἐκεῖθεν δὲ ἔς τε Σάρδεις ἐνε-
νόει παρὰ Ἄρδυν τὸν Γύγου, καὶ ἐς Ἐκβάτανα τὰ Μηδικὰ
ἀναβῆναι παρὰ τὸν βασιλέα Φραόρτην· ἀλλὰ γὰρ πρότε-
ρον τούτων συνέπεσεν ἀποθανεῖν αὐτῷ νοσήσαντι. οὐ γὰρ
ἔδει συμφορὰν οὐδεμίαν Λακεδαιμονίοις ἔτι ἐξ Ἀριστο-
μένους γενέσθαι. τελευτήσαντι δὲ αὐτῷ Δαμάγητος καὶ
οἱ Ῥόδιοι μνῆμά τε ἐπιφανὲς ἐποίησαν, καὶ ἔνεμον ἀπὸ
ἐκείνου τιμάς. τὰ μὲν δὴ λεγόμενα ἐς τοὺς Διαγορίδας
καλουμένους ἐν Ῥόδῳ, γεγονότας δὲ ἀπὸ Διαγόρου τοῦ
Δαμαγήτου τοῦ Δωριέως τοῦ Δαμαγήτου τε καὶ τῆς Ἀρι-
στομένους θυγατρὸς, παρῆκα, μὴ οὐ κατὰ καιρὸν δοκοίην
γράφειν. (2) Λακεδαιμόνιοι δὲ τότε ὡς ἐπεκράτησαν τῆς
Μεσσηνίας, τὴν μὲν ἄλλην, πλὴν τῆς Ἀσιναίων, αὐτοὶ

sciscitanti, unde esset potissimum uxor ducenda, eius, qui vir esset Graecorum optimus, filiam ut duceret. Reliqua erat Aristomeni tertia filia. Hanc sibi ille legitimis nuptiis coniugem adscivit, patrem ipsius longe esse optimum Graecorum eius aetatis omnium statuens. Et ipse quidem met Aristomenes filiam Rhodum ad virum deduxit. Inde quum Sardeis ad Ardyn *Lydorum regem*, Gygae filium, et Ecbatana in Medos ad Phraortem regem transmittere cogitaret, morbo oppressus diem suum extremum obiit. Neque enim oportebat ullam Lacedaemoniis amplius cladem ab Aristomene inferri. Mortuo Rhodii, auctore Damageto, insigne monumentum erexere, et exinde honores habuerunt. Porro quae memorantur de iis, qui Rhodii appellantur Diagoridae, oriundi illi a Diagora Damageti filio, Doriei nepote, pronepote Damageti et Aristomenis filiae, ea praetermisi, ne intempestiva scribere viderer. (2) Lacedaemonii Messenia potiti agrum omnem, praeter Asinaeorum fines, inter se diviserunt: Mothonen Nauplien-

διελάγχανον, Μοθώνην δὲ Ναυπλιεῦσιν ἐδίδοσαν ἐκπεπτωκόσιν ἐκ Ναυπλίας ἔναγχος ὑπὸ Ἀργείων. Μεσσηνίων δὲ τοὺς ἐγκαταλειφθέντας ἐν τῇ γῇ, συντελοῦντας κατὰ ἀνάγκην ἐς τοὺς εἵλωτας, ἐπέλαβεν ἀπὸ Λακεδαιμονίων ὕστερον ἀποστῆναι κατὰ τὴν ἐνάτην Ὀλυμπιάδα καὶ ἑβδομηκοστήν, ἣν Κορίνθιος ἐνίκα Ξενοφῶν, Ἀρχιδημίδου Ἀθήνησιν ἄρχοντος. ἀπέστησαν δὲ καιρὸν τοιόνδε εὑρόντες. Λακεδαιμονίων ἄνδρες ἀποθανεῖν ἐπὶ ἐγκλήματι ὅτῳ δὴ καταγνωσθέντες, ἱκέται καταφεύγουσιν ἐς Ταίναρον. ἐντεῦθεν δὲ ἡ ἀρχὴ τῶν ἐφόρων ἀπὸ τοῦ βωμοῦ σφᾶς ἀποσπάσασα ἀπέκτεινε. Σπαρτιάταις δὲ ἐν οὐδενὶ λόγῳ θεμένοις τοὺς ἱκέτας ἀπήντησεν ἐκ Ποσειδῶνος μήνιμα, καὶ σφισιν ἐς ἔδαφος τὴν πόλιν πᾶσαν κατέβαλεν ὁ θεός. ἐπὶ δὲ τῇ συμφορᾷ ταύτῃ καὶ τῶν εἱλώτων ὅσοι 339
Μεσσήνιοι τὸ ἀρχαῖον ἦσαν, ἐς τὸ ὄρος τὴν Ἰθώμην ἀπέστησαν. Λακεδαιμόνιοι δὲ ἄλλα τε μετεπέμποντο συμμαχικὰ ἐπ' αὐτοὺς, καὶ Κίμωνα τὸν Μιλτιάδου πρόξενόν

sibus paulo ante e Nauplia ab Argivis eiectis tradiderunt. At Messenii, qui forte in agro remanserant, quum in publicorum servitiorum (quos Hilotas appellant) censum pro fortunae suae necessitate venissent, a Lacedaemoniis denuo defecerunt, undetricesima ferme Olympiade, qua Corinthius Xenophon vicit, principatu Athenis fungente Archimede. Defectionis opportunitatem huiusmodi nacti sunt. Lacedaemoniorum nonnulli ob noxam nescio quam capitis damnati, supplices ad Taenarum confugerunt. Eos Ephori ab ara abstractos interfici iusserunt. Hoc piaculum violatorum in templo Neptuni supplicum, eversa funditus urbe, ex ira eiusdem numinis luerunt Spartani. Eius calamitatis tempore inter Hilotas (*sic enim publicae operae, et agreste castellanorum genus nuncupabantur*) veterum Messeniorum reliquiae in Ithomen montem secessere. Adversus eos Lacedaemonii omnia sociorum auxilia, et cum Atheniensium copiis Miltiadae filium Cimonem, publice sibi amicum et hospitem, accierunt.

σφισιν ὄντα, καὶ Ἀθηναίων δύναμιν. ἀφικομένους δὲ τοὺς Ἀθηναίους ὑποπτεῦσαι δοκοῦσιν, ὡς τάχα νεωτερίσοντας, καὶ ὑπὸ τῆς ὑποψίας ἀποπέμψασθαι μετ' οὐ πολὺ ἐξ Ἰθώμης. (3) Ἀθηναῖοι δὲ τὴν ἐς αὐτοὺς τῶν Λακεδαιμονίων ὑπόνοιαν συνέντες, Ἀργείοις τε φίλοι δι' αὐτὸ ἐγένοντο, καὶ Μεσσηνίων τοῖς ἐν Ἰθώμῃ πολιορκουμένοις ἐκπεσοῦσιν ὑποσπόνδοις, ἔδοσαν Ναύπακτον, ἀφελόμενοι Λοκροὺς τοὺς πρὸς Αἰτωλίᾳ καλουμένους Ὀζόλας. τοῖς δὲ Μεσσηνίοις παρέσχεν ἀπελθεῖν ἐξ Ἰθώμης τοῦ τε χωρίου τὸ ἐχυρὸν, καὶ ἅμα Λακεδαιμονίοις προεῖπεν ἡ Πυθία, ἦ μὴν εἶναί σφισι δίκην, ἁμαρτοῦσιν ἐς τοῦ Διὸς τοῦ Ἰθωμάτα τὸν ἱκέτην. ὑπόσπονδοι μὲν ἐκ Πελοποννήσου τούτων εἵνεκα ἀφείθησαν.

Sed quum in suspicionem rerum novarum venissent Athenienses, eos ab Ithome Spartani avocarunt. (3) At illi, ubi fidem sibi non haberi senserunt, cum Argivis amicitia conciliata, Messeniis iis, qui in Ithomes obsidione certis foederis conditionibus dimissi fuerant, Naupactum Locris, qui ad Aetoliam Ozolae nominantur, ademptam, dederunt incolendam. Saluti fuit Messeniis loci natura. Praemoniti praeterea fuerant Lacedaemonii Delphici Apollinis oraculo, piaculum grave admissuros, si Iovis Ithomatae supplices violassent. Sub certis itaque conditionibus e Peloponneso dimissi sunt.

CAPUT XXV.

Messenii Naupactum incolentes Oeniadis in Acarnania bellum inferunt, eorumque urbem capiunt — proximo anno Acarnanes omnes aggrediuntur Messenios, qui Oeniadis sunt — Messenii proelium committunt cum Acarnanibus — obsidentur et urbe relicta Naupactum se recipiunt.

Ἐπεὶ δὲ ἔσχον τὴν Ναύπακτον, οὐκ ἀπέχρη πόλιν τε αὐτοῖς καὶ χώραν εἰληφέναι παρ' Ἀθηναίων, ἀλλὰ σφᾶς πόθος εἶχεν ἰσχυρὸς χερσὶ ταῖς αὐτῶν φανῆναι λόγου τι κεκτημένους ἄξιον. καὶ (ἠπίσταντο γὰρ Οἰνιάδας Ἀκαρνάνων γῆν τε ἔχοντας ἀγαθὴν, καὶ Ἀθηναίοις διαφόρους τὸν πάντα ὄντας χρόνον) στρατεύουσιν ἐπ' αὐτούς. ὄντες δὲ ἀριθμῷ μὲν οὐ πλείους, ἀρετῇ δὲ καὶ πολὺ ἀμείνονες τῇ σφετέρᾳ, νικῶσι, καὶ ἐπολιόρκουν κατακεκλεισμένους ἐς τὸ τεῖχος. τὸ δὲ ἐντεῦθεν, οὐ γάρ τι τῶν τοῖς ἀνθρώποις εὑρημένων ἐς πολιορκίαν οἱ Μεσσήνιοι παρίεσαν, ἀλλὰ καὶ κλίμακας προστιθέντες ἐπειρῶντο ὑπερβαίνειν ἐς τὴν πόλιν, καὶ ὑπώρυσσον κάτωθεν τὸ τεῖχος, μηχανήματά τε, ὁποῖα ἐνῆν δι' ὀλίγου παρασκευάσασθαι, προσαγαγόντες, ἀεί τι ἤριπον. δείσαντες δὲ οἱ ἔνδον, μὴ ἁλού-

Cap. XXV. Neque vero accepta ab Atheniensibus Naupacto, eique urbi circumiecto agro, quieverunt. Vehemens enim incessit cupido cum imperio gloriam augendi. Quare quum Oeneadas compertum haberent (Acarnanum gentem) opimum agrum possidere, hostes vero sempiternos Atheniensium esse, infesto eos exercitu adorti sunt. Numero erant hosti pares, virtute multo superiores. Obvios primum acie fundunt, mox intra moenia compulsos circumsident. Ibi nihil, quod ad urbes obsidendas homines excogitarint, omissum: scalae admotae, muri ab ima parte subfossi: adhibitae machinae omnes, quae pro re ac tempore fabricari potuerunt. Deiecta itaque muri parte, veriti oppidani, ne,

σης τῆς πόλεως αὐτοί τε ἀπόλωνται, καὶ αἱ γυναῖκές σφισι καὶ οἱ παῖδες ἐξανδραποδισθῶσιν, εἵλοντο ἀπελθεῖν ὑπόσπονδοι. καὶ ἐνιαυτὸν μὲν μάλιστα οἱ Μεσσήνιοι κατέ-
340 σχον τὴν πόλιν, καὶ ἐνέμοντο τὴν χώραν. (2) Τῷ δὲ ἔτει τῷ ὑστέρῳ δύναμιν οἱ Ἀκαρνᾶνες ἀπὸ πασῶν συλλέξαντες τῶν πόλεων, ἐβουλεύοντο ἐπὶ τὴν Ναύπακτον στρατεύειν. καὶ τοῦτο μὲν ἀπέδοξεν αὐτοῖς, τήν τε πορείαν ὁρῶσιν, ὅτι ἔσεσθαι δι' Αἰτωλῶν ἔμελλε πολεμίων αἰεί ποτε ὄντων· καὶ ἅμα τοὺς Ναυπακτίους κεκτῆσθαί τι ναυτικὸν ὑπώπτευον, ὥσπερ γε καὶ εἶχον· ἐπικρατούντων δὲ ἐκείνων τῆς θαλάσσης, οὐκ ἐνεῖναι κατεργάσασθαι μέγα οὐδὲν στρατῷ πεζῷ. μετεβουλεύετο δὲ δή σφισι, καὶ αὐτίκα ἐπὶ Μεσσηνίους τρέπονται τοὺς ἐν Οἰνιάδαις. καὶ οἱ μὲν ὡς πολιορκήσοντες παρεσκευάζοντο· οὐ γάρ ποτε ὑπελάμβανον ἄνδρας οὕτως ὀλίγους ἐς τοσοῦτον ἀπονοίας ἥξειν, ὡς μαχέσασθαι πρὸς τὴν Ἀκαρνάνων ἁπάντων στρατιάν. οἱ δὲ Μεσσήνιοι προητοιμασμένοι μὲν καὶ σῖτον καὶ τὰ ἄλλα ἦσαν, ὁπόσα εἰκὸς ἦν, πολιορκίας πειράσεσθαι μακροτέρας

si per vim urbs caperetur, ipsi occiderentur, uxores et liberi sub corona vaenireut, icto foedere urbem reliquere: qua, et agro simul toto, Messenii annum unum potiti sunt. (2) Sequenti dehinc anno Acarnanes contractis omnibus ex urbibus copiis, ad Naupactum oppugnandam primum copias ducere in animo habuerunt. Verum id postea consilii repudiarunt, quod iter sibi faciendum per Aetolos videbant, quibuscum assiduas exercebant inimicitias. Praeterea Naupactiis, id quod res erat, in promtu classem esse suspicabantur: pedestribus vero duntaxat copiis non satis fore se armatos videbant contra eos, qui maritimas etiam opes haberent. Mutato itaque consilio, omnem belli impetum in Messenios, qui in Oeniadis erant, convertere. Ad oppidum igitur obsidendum omnia comparabant, quod adduci non poterant, tantam hostium paucitatem contra universam Acarnanum gentem aequo Marte bellaturam. Ipsi quoque Messenii, etsi frumenta, et alia, quae ad longiorem obsidio-

ἐλπίζοντες· παρίστατο δὲ σφίσι πρὸ τῆς μελλούσης πολιορκίας ἀγῶνα ἐκ τοῦ φανεροῦ ποιήσασθαι, μηδὲ ὄντας Μεσσηνίους, οἳ μηδὲ Λακεδαιμονίων ἀνδρίᾳ, τύχῃ δὲ ἠλαττώθησαν, καταπεπλῆχθαι τὸν ἥκοντα ὄχλον ἐξ Ἀκαρνανίας. τό τε Ἀθηναίων ἐν Μαραθῶνι ἔργον ἀνεμιμνήσκοντο, ὡς μυριάδες τριάκοντα ἐφθάρησαν τῶν Μήδων ὑπὸ ἀνδρῶν οὐδὲ ἐς μυρίους ἀριθμόν. (3) Καθίσταντό τε δὴ τοῖς Ἀκαρνᾶσιν ἐς ἀγῶνα, καὶ ὁ τρόπος λέγεται τῆς μάχης γενέσθαι τοιόσδε. οἱ μὲν, ἅτε πλήθει προέχοντες πολὺ, οὐ χαλεπῶς περιέβαλλον τοὺς Μεσσηνίους, πλὴν ὅσον αἱ πύλαι τε ἀπεῖργον κατὰ νώτου τοῖς Μεσσηνίοις γιγνόμεναι, καὶ οἱ ἀπὸ τοῦ τείχους τοῖς σφετέροις προθύμως ἀμύνοντες· ταύτῃ μὲν δὴ μὴ περισχεθῆναι σφᾶς ἐκώλυε· τὰ δὲ πλευρὰ ἀμφότερα ἐκυκλώσαντο αὐτῶν οἱ Ἀκαρνᾶνες, καὶ ἐσηκόντιζον πανταχόθεν. οἱ δὲ Μεσσήνιοι συνεστραμμένοι μετ' ἀλλήλων, ὁπότε ἀθρόοι τοῖς Ἀκαρνᾶσιν ἐμπέσοιεν, ἐτάρασσον μὲν τοὺς κατὰ ταὐτὸ ἑστηκότας, καὶ ἐφόνευόν τε αὐτῶν καὶ ἐτίτρωσκον πολλούς· τελέαν δὲ οὐκ ἐδύναντο ἐργάσασθαι φυγήν. ὅπου γὰρ τῆς τάξεως

nem sustinendam usui forent, contraxerant, decreverunt non exspectata obsidione, iusto praelio belli fortunam experiri. Neque enim decere se arbitrabantur, qui Messenii essent, neque virtuti sed fortunae Lacedaemoniorum succubuissent, Acarnanicae turbae tumultu terreri. Memoria repetebant Atheniensium in Marathonicis campis strenuum facinus, qui trecenta Persarum millia deleverant, decem ipsi millibus pauciores. (3) Acie itaque cum Acarnanibus decernendum duxerunt. Pugnam memoriae proditum hoc commissam modo. Quum essent hominum multitudine longo intervallo superiores Acarnanes, Messenios ex omni fere parte, praeterquam tergum, qua portis obverterant, quaque de muris oppidani hostem arcebant, cinxerant. Frontem itaque et latera missilibus acriter urgebant. At Messenii in quam partem conversi incubuissent, hos caedentes, illos vulnerantes, hostium agmen turbabant. Perrumpere, et in fugam hostem vertere

841 αἴσθοιντό τι οἱ Ἀκαρνᾶνες τῆς αὐτῶν ὑπὸ τῶν Μεσσηνίων διασπώμενον, κατὰ τοῦτο ἀμύνοντες τοῖς βιαζομένοις αὐτῶν, ἀνεῖργον τοὺς Μεσσηνίους ἐπικρατοῦντες τῷ πλήθει. οἱ δὲ ὁπότε ἀνακοπεῖεν, κατ' ἄλλο αὖθις πειρώμενοι διακόψαι τὴν Ἀκαρνάνων φάλαγγα, τὸ αὐτὸ ἂν ἔπασχον· ὅτῳ μὲν προσβάλλοιεν, διέσειόν τε καὶ τροπὴν ἐπὶ βραχὺ ἐποίουν, ἐπιῤῥεόντων δὲ αὖθις κατὰ τοῦτο σπουδῇ τῶν Ἀκαρνάνων, ἀπετρέποντο ἄκοντες. (4) Γενομένου δὲ ἰσοῤῥόπου τοῦ ἀγῶνος ἄχρι ἑσπέρας, καὶ Ἀκαρνᾶσιν ὑπὸ τὴν ἐπιοῦσαν νύκτα ἐπελθούσης δυνάμεως ἀπὸ τῶν πόλεων, οὕτω τοῖς Μεσσηνίοις περιειστήκει πολιορκία. καὶ ἁλῶναι μὲν κατὰ κράτος τὸ τεῖχος, ἢ ὑπερβάντων τῶν Ἀκαρνάνων, ἢ καὶ ἀπολιπεῖν βιασθεῖσιν αὐτοῖς τὴν φρουρὰν, δέος ἦν οὐδέν· τὰ δὲ ἐπιτήδειά σφισι πάντα ὁμοίως ὀγδόῳ μηνὶ ἐξανήλωτο. ἐς μὲν δὴ τοὺς Ἀκαρνᾶνας ἐχρῶντο ἀπὸ τοῦ τείχους χλευασίᾳ, μὴ σφᾶς τὰ σιτία προδοῦναί ποτε ἂν, μηδὲ ἐς τὸ ἔτος δέκατον πολιορκουμένους· αὐτοὶ δὲ περὶ ὕπνον πρῶτον ἐξελθόντες ἐκ τῶν Οἰνιαδῶν,

idcirco non potuerunt, quod qua parte Acarnanes laxari manipulos videbant, concursu facto locum occupabant. Quod si repulsi Messenii alio impressionem fecissent, itidem reiecti nihilo plus proficiebant. Praesto enim erant, qui suis opem ferentes, penetrare hostem coarctata acie non paterentur. Eo fiebat, ut ad breve spatium loco Acarnanes pellerentur, Messenii vero irruente multitudine concedere cogerentur. (4) Anceps fuit usque ad extremum diei praelium. Nocte ea, quae consecuta est, quum a proximis urbibus supplementum Acarnanibus missum esset, recipientibus se intra moenia Messeniis, ad obsidionem res deducta. Ac nihil illi quidem metuebant, ne aut hoste muros transcendente, aut a suis deserta statione urbs vi expugnaretur: illud calamitati fuit, quod intra mensem octavum omnis commeatuum copia exhausta fuerat. De muris tamen hostem illudentes, ne si in decimum quidem annum obsidio traheretur, defutura sibi cibaria iactabant. Iam vero sub primae quietis tempus clam Oeniadarum portis

γενομένης τοῦ δρασμοῦ σφῶν τοῖς Ἀκαρνᾶσιν αἰσθήσεως, καὶ ἐς μάχην ἀναγκασθέντες ἀφικέσθαι, περὶ τριακοσίους μὲν ἀποβάλλουσι, καὶ πλείονας ἔτι αὐτοὶ τῶν ἐναντίων κατεργάζονται. τὸ δὲ πολὺ αὐτῶν διεκπίπτουσι διὰ τῶν Ἀκαρνάνων, καὶ ἐπιλαμβανόμενοι τῆς Αἰτωλῶν ἐχόντων σφίσιν ἐπιτηδείως, ἐς τὴν Ναύπακτον ἀνασώζονται.

CAPUT XXVI.

Messenii odium in Lacedaemonios praecipue in bello Peloponnesiaco exserunt — a Lacedaemoniis Naupacto ejiciuntur et in Siciliam ac Rhegium, plurimi ad Euesperitas Libyae abeunt — Messeniis reditus in Peloponnesum portenditur — post pugnam ad Leuctra Messenii a Thebanis in Peloponnes. revocantur — Epaminondae somnium de regione Messeniis revocatis assignanda — Epiteles somnio monitus Aristomenis depositum (vid. C. XX.) reperit.

Τὸ δὲ ἀπὸ τούτου, τόν τε ἄλλον χρόνον ἐνέκειτό σφισι τὸ ἐς Λακεδαιμονίους μῖσος, καὶ τὴν ἔχθραν ἐς αὐτοὺς μάλιστα ἐπεδείξαντο ἐπὶ τοῦ γενομένου Πελοποννησίοις πρὸς Ἀθηναίους πολέμου. τήν τε γὰρ Ναύπακτον ὁρμητήριον ἐπὶ τῇ Πελοποννήσῳ παρείχοντο, καὶ τοὺς ἐν τῇ Σφακτηρίᾳ Σπαρτιατῶν ἀπολῃφθέντας Μεσσηνίων σφεν-

egressi, hostem tamen fallere non potuerunt. Quare conserere iterum manus coacti, circiter trecentos de suo agmine amisere, maiorem ipsi hostium numerum ceciderunt. Mox via sibi per medios Acarnanas facta, per Aetolos, quorum amicitia confidebant, Naupactum se recepere.

Cap. XXVI. Et in posterum quidem omne tempus magno ac pertinaci in Lacedaemonios odio Messenii laborarunt, quod in primis Peloponnesiaci belli temporibus prae se tulerunt. Nam et Naupactum copiarum receptaculum, unde in Peloponnesum incursiones fierent, Athenienses habuere: et oppressos ad Sphacteriam Spartanos Messeniorum e

θονῆται τῶν ἐκ Ναυπάκτου συνεξεῖλον. (2) Ἐπεὶ δὲ τὸ πταῖσμα ἐγένετο Ἀθηναίων ἐν Αἰγὸς ποταμοῖς, οὕτω καὶ
342 ἐκ Ναυπάκτου ἐκβάλλουσιν οἱ Λακεδαιμόνιοι τοὺς Μεσσηνίους ναυσὶν ἐπικρατοῦντες, οἳ ἐς Σικελίαν τε παρὰ τοὺς συγγενεῖς καὶ ἐς Ῥήγιον ἐστάλησαν· τὸ πλεῖστον δὲ αὐτῶν ἔς τε Λιβύην ἀφίκετο, καὶ Λιβύης ἐς Εὐεσπερίτας. οἱ γὰρ Εὐεσπερῖται πολέμῳ κακωθέντες ὑπὸ βαρβάρων προσοίκων, πάντα τινὰ Ἕλληνα ἐπεκαλοῦντο σύνοικον. ἐς τούτους τῶν Μεσσηνίων τὸ πολὺ ἀπεχώρησεν. ἡγεμὼν δέ σφισιν ἦν Κόμων, ὃς καὶ περὶ τὴν Σφακτηρίαν ἐστρατήγησεν αὐτοῖς. (3) Ἐνιαυτῷ δὲ πρότερον, ἢ κατορθῶσαι Θηβαίους τὰ ἐν Λεύκτροις, προεσήμαινεν ὁ δαίμων Μεσσηνίοις τὴν ἐς Πελοπόννησον κάθοδον. τοῦτο μὲν γὰρ ἐν Μεσσήνῃ πρὸς τῷ πορθμῷ τὸν ἱερέα τοῦ Ἡρακλέους λέγουσιν ὀνείρατος ἰδεῖν ὄψιν· τὸν Ἡρακλέα ἔδοξε καλεῖσθαι Μάντικλον ἐπὶ ξενίᾳ ἐς Ἰθώμην ὑπὸ τοῦ Διός. τοῦτο δὲ ἐν Εὐεσπερίταις Κόμων συγγενέσθαι νεκρᾷ τῇ μητρὶ ἐδόκει, συγγενομένου δὲ αὖθις οἱ τὴν μητέρα ἀναβιῶναι. καὶ

Naupacto funditores una cum Atheniensibus de medio sustulerunt. (2) Quamobrem superatis ad Aegospotamos Atheniensibus, Messenios Naupacto quoque Lacedaemonii eiecere, quum navali eos ante praelio vicissent. Profugi partim in Siciliam, partim Rhegium se ad propinquos suos contulere: magna etiam pars ad Euesperitas Libyae populos profecti. (nam quum hi barbarorum finitimorum bello premerentur, in civitatum suarum communionem omnes, qui Graeci essent nominis, accersebant.) Dux fuit in Libyam profectionis Comon, quo item duce ad Sphacteriam usi fuerant. (3) *His ita gestis*, anno fere uno ante Leuctricam Thebanorum victoriam divinitus Messeniis in Peloponnesum reditus *haudquaquam dubiis* significationibus promissus est. Nam et Messanae ad fretum Herculis sacerdotem narrant per somnium sibi visum videre Herculem Manticlum in montem Ithomen a Iove ad hospitium vocari. In Euesperitis vero somniavit Comon, congredi se cum matre iampridem mortua, et illam sta-

ὁ μὲν ἐπήλπιζεν, Ἀθηναίων δυνηθέντων ναυτικῷ, κάθο-
δον ἔσεσθαί σφισιν ἐς Ναύπακτον· τὸ δὲ ἄρα ἐδήλου τὸ
ὄνειρον ἀνασώσεσθαι Μεσσήνην. ἐγένετό τε οὐ μετὰ πολὺ
ἐν Λεύκτροις Λακεδαιμονίων τὸ ἀτύχημα ὀφειλόμενον ἐκ
παλαιοῦ. Ἀριστοδήμῳ γὰρ τῷ βασιλεύσαντι Μεσσηνίων
ἐπὶ τελευτῇ τοῦ χρησμοῦ τοῦ δοθέντος ἐστίν·

Ἔρδ', ὅπῃ τὸ χρεών· ἄτη δ' ἄλλοισι πρὸ ἄλλων·

ὡς ἐν μὲν τῷ παρόντι ἐκεῖνον δέον καὶ Μεσσηνίους κακῶς
πρᾶξαι, χρόνῳ δὲ ὕστερον καὶ Λακεδαίμονα ἐπιληψομένης
τῆς ἄτης. (4) Τότε δὲ ἐν Λεύκτροις οἱ Θηβαῖοι νενικηκότες,
ἀγγέλους ἐς Ἰταλίαν καὶ Σικελίαν καὶ παρὰ τοὺς Εὐεσπερίτας
ἀπέστελλον, ἔκ τε τῆς ἄλλης, εἴ πού τις Μεσσηνίων εἴη, παν-
ταχόθεν ἀνεκάλουν ἐς Πελοπόννησον. οἱ δὲ θᾶσσον, ἢ ὡς
ἄν τις ἤλπισε, συνελέχθησαν γῆς τε τῆς πατρίδος πόθῳ,
καὶ διὰ τὸ ἐς Λακεδαιμονίους μῖσος παραμεῖναν ἀεί σφι- 343
σιν. (5) Ἐπαμινώνδᾳ δὲ οὔτε ἄλλως ἐφαίνετο ῥᾴδια, ἀξιό-

tim a congressu revixisse. Et is quidem in spem venit, quum iam multum possent Athenienses navalibus copiis, Naupactum se recepturos: at enim Messenen restitutum iri somnia promittebant. Accidit enim non ita multo post, ut Lacedaemonii ad Leuctra debita iampridem fato clade affligerentur: quandoquidem Aristodemo regi oraculum aliquando redditum est, cuius haec erat extrema clausula:

Utere sorte tua: fatum hos nunc, nunc agit illos.

Significabat scilicet, ipsum tunc et Messenios male rem gesturos; sui vero fatalis mali ipsam etiam Lacedaemonem neutiquam immunem fore. (4) Victores igitur Thebani, perculsis ad Leuctra Lacedaemoniis, in Italiam et Siciliam, ad Euesperitas etiam usque, et quocunque Messenii profugi venissent, demisere legatos, qui eos in Peloponnesum revocarent. Dictu hercule mirum est, quam raptim quum pristinae patriae desiderio, tum Spartanorum sempiterno odio incitati, concurrerint universi. (5) Dubius erat animi Epaminondas, ubinam eos consistere iuberet. Neque enim facile videbatur

μαχον πόλιν ἐποικίσαι Λακεδαιμονίοις, οὔτε, ὅπου χρὴ κτίσαι τῆς χώρας, ἐξεύρισκε. τὴν γὰρ Ἀνδανίαν οἱ Μεσσήνιοι καὶ Οἰχαλίαν οὐκ ἔφασαν ἀνοικιεῖν, ὅτι αἱ συμφοραί σφισιν ἐγεγόνεσαν ἐνταῦθα οἰκοῦσιν. ἀποροῦντι οὖν αὐτῷ πρεσβύτην ἄνδρα, ἱεροφάντῃ μάλιστα εἰκασμένον, νύκτωρ φασὶν ἐπιστάντα εἰπεῖν· `Σοὶ μὲν δῶρά ἐστι παρ' ἐμοῦ, κρατεῖν, ὅτῳ μεθ' ὅπλων ἐπέρχῃ· καὶ ἢν ἐξ ἀνθρώπων γένῃ, ἔγωγε, ὦ Θηβαῖε, ποιήσω μή ποτε ἀνώνυμον, μηδὲ ἄδοξόν σε γενέσθαι. σὺ δὲ Μεσσηνίοις γῆν τε πατρίδα καὶ πόλεις ἀπόδος, ἐπειδὴ καὶ τὸ μήνιμα ἤδη σφίσι πέπαυται τὸ Διοσκούρων. Ἐπαμινώνδᾳ μὲν ταῦτα ἔλεγεν. (6) Ἐπιτέλει δὲ τῷ Αἰσχίνου τάδε ἐμήνυε (στρατηγεῖν δὲ αὐτὸν οἱ Ἀργεῖοι τὸν Ἐπιτέλην, καὶ Μεσσήνην ἀνοικίζειν ᾕρηντο) τοῦτον οὖν τὸν ἄνδρα ἐκέλευεν ὁ ὄνειρος, ἔνθα δὴ τῆς Ἰθώμης εὕρῃ πεφυκυῖαν σμίλακα καὶ μυρσίνην, τὸ μέσον ὀρύξαντα αὐτῶν, ἀνασῶσαι τὴν γραῦν

urbem condere, quae satis foret contra Lacedaemoniorum opes munita: et simul non satis novae urbi idoneum in Messenico agro locum reperiebat. Ipsorum certe Messeniorum animus ab Andania et Oechalia instauranda abhorrebat, quod in utroque loco iniquissima fuissent usi fortuna. Haec capiendi consilii difficultas quum valde Epaminondam sollicitum haberet, adstitisse ei noctu in somnio dicitur vir iam grandis natu, cum *infulis et reliquo* antistitis ornatu, hac eum appellans oratione: Tibi quidem quodcunque armis expetiveris decus partum dabo; nomenque tuum et gloriam, Thebane dux, quum hominum coetus reliqueris, immortalitati consecrabo: tu modo Messenios in patriam ad suos penates reduc. Placata enim iam est et Gemellorum ira, quae in illos fuit acerbissima. Haec ille Epaminondae. (6) Iam vero Epiteli, Aeschinis filio, quem Argivi delegerant, qui et suis praeesset copiis, et Messenen restitueret, nocturnum illud idem visum denunciavit, ut, quo loco in Ithome hederam Ciliciam (σμίλακα Graeci vocant) et myrtum vidisset, humum inter eas stirpes

κάμνειν γὰρ ἐν τῷ χαλκῷ καθειργμένην θαλάμῳ, καὶ ἤδη λειποψυχεῖν αὐτήν.. ὁ δὲ Ἐπιτέλης, ὡς ἐπελάμβανεν ἡμέρα, παραγενόμενος ἐς τὸ εἰρημένον χωρίον, ἐπέτυχεν ὀρύσσων ὑδρίᾳ χαλκῇ, καὶ αὐτίκα παρὰ τὸν Ἐπαμινώνδαν κομίσας, τό τε ἐνύπνιον ἐξηγεῖτο, καὶ αὐτὸν ἐκεῖνον τὸ πῶμα ἀφελόντα ἐκέλευεν, ὅ τι ἐνείη, σκοπεῖσθαι. ὁ δὲ θύσας καὶ εὐξάμενος τῷ πεφηνότι ὀνείρατι, ἤνοιγε τὴν ὑδρίαν· ἀνοίξας δὲ εὗρε κασσίτερον ἐληλασμένον ἐς τὸ λεπτότατον· ἐπείλικτο δὲ ὥσπερ τὰ βιβλία· ἐνταῦθα τῶν μεγάλων θεῶν ἐγέγραπτο ἡ τελετή. καὶ τοῦτο ἦν παρακαταθήκη τοῦ 344
Ἀριστομένους. τοῦτον τὸν ἐπελθόντα τῷ Ἐπιτέλει καὶ Ἐπαμινώνδᾳ καθεύδουσι Καύκωνα εἶναι λέγουσιν, ὃς ἀφίκετο ἐξ Ἀθηνῶν ἐς Ἀνδανίαν παρὰ Μεσσήνην τὴν Τριόπα.

mediam fodiens, anum aereo clausam thalamo, iam graviter affectam, et prope intermortuam eximeret. Epiteles ubi primum illuxit, ad eum, qui circumscriptus fuerat, locum veniens, aeneam urnulam effossa terra offendit. Hanc ille ad Epaminondam detulit: cui quum somnii imaginem exposuisset sui, iussit ille amoto operculo, quid in ea reconditi esset, intueri. Ille sacris operatus, votisque ei *deo* nuncupatis, a quo somnium exstitisset, vasculum aperuit. In eò volumen repertum ex albo plumbo in tenuissimas laminas sparso, libri forma; in quo perscripta erant Magnarum dearum initia. Haec illa fuit hydria, quam eo loco defoderat Aristomenes. Illum vero, qui dormientibus Epiteli et Epaminondae per nocturnum visum obversatus est, Cauconem fuisse aiunt, qui Andaniam olim Athenis profectus, ad Messenen Triopae filiam *sacrorum arcana deportavit*.

CAPUT XXVII.

De causa irae Dioscurorum in Messenios — Bacidis vaticiniis et initiorum ratione a sacerdotibus literis consignata — Epaminondas ad urbem Messeniis condendam omnia parat — sacris solenniter factis urbs exstruitur et Messene vocatur, aliaque oppida a Messeniis restituuntur — de tempore reditus Messeniorum in Peloponnesum eorumque exilii diuturnitate cum aliarum gentium exilio collata.

Τὸ δὲ τῶν Τυνδάρεω παίδων μήνιμα ἐς τοὺς Μεσσηνίους ἤρξατο μὲν πρὸ τῆς ἐν Στενυκλήρῳ μάχης· γενέσθαι δὲ αὐτὸ δι' αἰτίαν τοιάνδε εἰκάζω. μειράκιά ὡραῖα ἐξ Ἀνδανίας, Πάνορμος καὶ Γόνιππος, τά τε ἄλλα οἰκείως εἶχον ἀλλήλοις, καὶ κοινὰς ἐπὶ τὰς μάχας ἐξόδους καὶ καταδρομὰς ἐποιοῦντο ἐς τὴν Λακωνικήν. Λακεδαιμονίων δὲ ἐπὶ στρατοπέδου Διοσκούροις ἑορτὴν ἀγόντων, καὶ ἤδη πρὸς πότον καὶ παιδιὰς τετραμμένων μετὰ τὸ ἄριστον, ὁ Γόνιππος καὶ ὁ Πάνορμος χιτῶνας λευκοὺς καὶ χλαμύδας πορφυρᾶς ἐνδύντες, ἐπί τε ἵππων τῶν καλλίστων ὀχούμενοι, καὶ ἐπὶ ταῖς κεφαλαῖς πίλους, ἐν δὲ ταῖς χερσὶ δόρατα ἔχοντες, ἐπιφαίνονται Λακεδαιμονίοις. οἱ δὲ ὡς εἶ-

Cap. XXVII. Irae quidem Castorum in Messenios, antequam ad Stenyclerum pugnatum est, initium ex huiusmodi (quantum ego coniectura cousequi possum) exstitit causa. Adolescentuli duo Panormus et Gonippus, Andanienses, iam tum aetate ac forma florentes, a primis annis usu et consuetudine prope domestica coniuncti, in Laconiae fines populandi causa simul excurrere soliti fuerant. Forte Lacedaemonii per festos Castoris et Pollucis dies, post *solenne* epulum in ipsis castris compotationibus se ac lusibus oblectabant. Ibi Gonippus et Panormus in albis tunicis et purpureis lacernis, equis pulcherrimis invehentes, pileos capite gestantes, hastas manibus tenentes, de improviso se Lacedaemoniis ostendere

δον, προσεκύνουν τε καὶ εὔχοντο, ἀφῖχθαι δοκοῦντες σφίσιν αὐτοῖς ἐς τὴν θυσίαν τοὺς Διοσκούρους. οἱ νεανίσκοι δὲ ὡς ἅπαξ ἀνεμίχθησαν, διεξήλαυνον διὰ πάντων καίοντες τοῖς δόρασι· καὶ ἤδη κειμένων πολλῶν, ἀποχωροῦσιν ἐς Ἀνδανίαν, καθυβρίσαντες τῶν Διοσκούρων τῇ θυσίᾳ. τοῦτο (ἐμοὶ δοκεῖν) προήγαγε τοὺς Διοσκούρους ἐς τὸ ἔχθος τῶν Μεσσηνίων. τότε δὲ, ὡς ἐδήλου τῷ Ἐπαμινώνδᾳ τὸ ὄνειρον, οὐκ ἦν ἔτι τοῖς Διοσκούροις ἀκούσιος τῶν Μεσσηνίων ἡ κάθοδος. (2) Μάλιστα δὲ τὸν Ἐπαμινώνδαν ἐς τὸν οἰκισμὸν οἱ Βάκιδος ἐνῆγον χρησμοί. Βάκιδι γὰρ μανέντι ἐκ Νυμφῶν ἐς ἄλλους τέ ἐστιν Ἑλλήνων καὶ ἐς τὴν Μεσσηνίων κάθοδον προειρημένα·

Καὶ τότε δὴ Σπάρτης μὲν ἀπ' ἀγλαὸν ἄνθος ὀλεῖται,
Μεσσήνη δ' αὖθις οἰκήσεται ἤματα πάντα.

Ἐγὼ δὲ καὶ περὶ τῆς Εἴρας, ὅντινα ἁλώσοιτο τρόπον, Βά- 345
κιν ἐφώρασα εἰρηκότα. καὶ οἱ καὶ τόδε ἐστὶ τῶν χρησμῶν·

Οἵ τ' ἀπὸ Μεσσήνης πατάγῳ κρουνοῖς τε δαμείσης.

Illi Castores esse rati, qui sacris interesse suis voluissent, adorabundi occurrerunt, eorum sibi numen precibus implorantes. At iuvenes ubi primum in medios recepti sunt, tumultum et stragem, modo hos, modo illos hastis ferientes, ediderunt; atque inde, violatis per contemptum et contumeliam Castorum sacris, Andaniam *impune* reverterunt. Hinc orta, opinor, Castorum in Messenios ira. At posse iam illis ipsis Dis approbantibus in patriam reduci, Epaminondae nocturna illa imago persuaserat. (2) In primis vero Bacidis eum carmina moverunt. Huius Bacidis, quem Nympharum afflatu divinasse tradunt, et aliis Graeciae populis edita vaticinia celebrantur, et hoc exstat de Messeniorum reditu:

Amittet florem imperii tunc Sparta nitentem,
Atque omni rursus Messene habitabitur aevo.

Quin et Irae oppressionem, quo esset modo eventura, compertum habeo Bacin praedixisse, cuius praedictionis hic exstat versus:

Quique a Messene sonitu atque canalibus icta.

ὡς δὲ ἡ τελετή σφισιν ἀνεύρητο, ταύτην μὲν, ὅσοι το γένους τῶν ἱερέων ἦσαν, κατετίθεντο ἐς βίβλους.

(3) Ἐπαμινώνδας δὲ, ὥς οἱ τὸ χωρίον, ἔνθα νῦ ἔχουσιν οἱ Μεσσήνιοι τὴν πόλιν, μάλιστα ἐς οἰκισμὸν ἐφαίνετο ἐπιτήδειον, ἐκέλευεν ἀνασκοπεῖσθαι τοῖς μάντεσι εἰ, οἷ βουλήσεται, ταύτῃ καὶ τὰ τῶν θεῶν ἐπιχωρήσοι. φαμένων δὲ καὶ τούτων εἶναι τὰ ἱερὰ αἴσια, οὕτω παρεσκευάζετο ἐς τὸν οἰκισμὸν, λίθους τε ἄγεσθαι κελεύων, καὶ ἄνδρας μεταπεμπόμενος, οἷς τέχνη στενωποὺς κατατέμνεσθαι, καὶ οἰκίας καὶ ἱερὰ οἰκοδομεῖσθαι, καὶ τείχη περιβάλλεσθαι. (4) Ὡς δὲ ἐγεγόνει τὰ πάντα ἐν ἑτοίμῳ, τ ἐντεῦθεν (ἱερεῖα γὰρ παρεῖχον οἱ Ἀρκάδες) αὐτὸς μὲν Ἐπαμινώνδας καὶ οἱ Θηβαῖοι Διονύσῳ καὶ Ἀπόλλωνι ἔθυο Ἰσμηνίῳ τὸν νομιζόμενον τρόπον· Ἀργεῖοι δὲ τῇ τε Ἥρ τῇ Ἀργείᾳ καὶ Νεμείῳ Διΐ· Μεσσήνιοι δὲ Διΐ τε Ἰθωμάτ καὶ Διοσκούροις· οἱ δέ σφισιν ἱερεῖς θεαῖς τε μεγάλαις κα Καύκωνι. ἐπεκαλοῦντο δὲ ἐν κοινῷ καὶ ἥρωάς σφισι ἐπανήκειν συνοίκους, Μεσσήνην μὲν τὴν Τριόπα μάλιστα

Repertam initiorum rationem in commentarios retulerun certi homines e sacrificulorum gente. (3) Epaminondas ub condendae urbi, quam nunc Messenii tenent, iudicio suo lo cum idoneum cepit, aruspices consuluit, nunquid esset regio Dis cordi futura. Quum *sacris inspectis* renunciass illi secunda exta, expediri ad urbis exaedificationem omn iussit, *materiam*, lapides, *et caementa* comportari: ade homines in metandis *viis et* angiportis, profanis ac sacris a dibus extruendis, murorum ambitu designando, murisque i sis aedificandis sollertes. (4) Posteaquam in promptu om fuere, quum hostias ad sacra facienda exhibuissent Arcad rem divinam Epaminondas ac Thebani omnes Libero Patri Apollini Ismenio patrio ritu fecerunt: Argivi, Iunoni Ar vae, et Iovi Nemeo: Messenii, Iovi Ithomatae, et Castori Polluci: sacerdotes Messeniorum Magnas deas, et Caucon coluerunt. Invocati etiam sunt heroes universi, ut rever rentur, sedesque cum ipsis haberent communes, nominat

ἐπὶ ταύτῃ δὲ Εὔρυτον, καὶ Ἀφαρέα τε καὶ τοὺς παῖδας, παρὰ δὲ Ἡρακλειδῶν Κρεσφόντην τε καὶ Αἴπυτον. πλείστη δὲ καὶ παρὰ πάντων ἀνάκλησις ἐγίνετο Ἀριστομένους. καὶ τὴν μὲν τότε ἡμέραν πρὸς θυσίαις τε καὶ εὐχαῖς ἦσαν· ταῖς δὲ ἐφεξῆς τοῦ τείχους τὸν περίβολον ἤγειρον, καὶ ἐντὸς οἰκίας καὶ τὰ ἱερὰ ἐποιοῦντο. εἰργάζοντο δὲ καὶ ὑπὸ μουσικῆς ἄλλης μὲν οὐδεμιᾶς, αὐλῶν δὲ Βοιωτίων καὶ Ἀργείων· τά τε Σακάδα καὶ Προνόμου μέλη τότε δὴ προήχθη μάλιστα ἐς ἅμιλλαν. αὐτῇ μὲν δὴ τῇ πόλει Μεσσήνην 346
ἔθεντο ὄνομα· ἀνῴκιζον δὲ καὶ ἄλλα πολίσματα. Ναυπλιεῖς δὲ ἐκ Μοθώνης οὐκ ἀνέστησαν· κατὰ χώραν δὲ καὶ Ἀσιναίους μένειν εἴων, τούτοις μὲν καὶ εὐεργεσίαν ἀπομνημονεύοντες, πολεμῆσαι μετὰ Λακεδαιμονίων πρὸς σφᾶς οὐ θελήσασι. Ναυπλιεῖς δὲ κατιοῦσιν ἐς Πελοπόννησον Μεσσηνίοις τε δῶρα ἤγαγον, ὁποῖα εἶχον, καὶ ἅμα μὲν ὑπὲρ καθόδου τῆς ἐκείνων συνεχέσιν ἐς τὸ θεῖον εὐχαῖς, ἅμα δὲ ὑπὲρ σωτηρίας τῆς σφετέρας δεήσεσιν ἐς ἐκείνους

Messene Triopae filia ante omnes: tum Eurytus, et Aphareus, *eorumque* filii: de Herculis vero posteris Cresphontes et Aepytus: prae ceteris consentiente omnium voce invocatus Aristomenes est. Atque eum quidem sacrorum caeremoniis et votorum nuncupatiomibus diem transegere. In sequentibus murorum ambitum excitarunt. Intra eum domos et templa erexere. Atque haec quidem fecere, cantibus aliis repudiatis, ad Boeotiae et Argivae tibiae modos. Et tunc maxime in musicis certaminibus Sacadae et Pronomi cantiunculae coeptae sunt usurpari. Urbi ipsi MESSENE *pristinum scilicet* nomen inditum. Restituerunt et alia *in eadem regione* oppida. Nauplienses quidem Mothone non sunt eiecti: Asinaeis sua finium iura conservata. His gratiam habuere, quod Lacedaemoniis auxilia contra se non misissent: at illis, quod Messeniis in Poloponnesum reversis munera, quae suppetebant, obtulerant, et tum divinum numen assiduis votis pro Messeniorum reditu, tum Messenios ipsos crebris precibus pro salute et incolumitate sua sollicitarant.

ἐχρῶντο. (5) Κατῆλθον δὲ ἐς Πελοπόννησον οἱ Μεσσήνιοι καὶ ἀνεσώσαντο τὴν αὑτῶν ἑπτὰ καὶ ὀγδοήκοντα καὶ διακοσίοις ἔτεσιν ὕστερον μετὰ Εἴρας ἅλωσιν, Δυσκινήτου μὲν Ἀθήνησιν ἄρχοντος, τρίτῳ δὲ ἔτει τῆς δευτέρας καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἣν Δάμων Θούριος τὸ δεύτερον ἐνίκα. οὐκ ὀλίγος μὲν οὖν ὁ χρόνος καὶ Πλαταιεῦσιν ἐγένετο, ἐφ' ὅσον καὶ ἐκεῖνοι τὴν αὑτῶν ἔφευγον· καὶ Δηλίοις, ἡνίκα ᾤκησαν Ἀδραμύττιον, ἐκβληθέντες ἐκ τῆς σφετέρας ὑπὸ Ἀθηναίων. καὶ Ὀρχομενίων δὲ οἱ Μινύαι μετὰ τὴν μάχην τὴν ἐν Λεύκτροις ἐκπεσόντες ὑπὸ Θηβαίων ἐξ Ὀρχομενοῦ, κατήχθησαν ἐς Βοιωτίαν ὑπὸ Φιλίππου τοῦ Ἀμύντου, καὶ οὗτοι καὶ οἱ Πλαταιεῖς. Θηβαίων δὲ αὐτῶν ἐρημώσαντος Ἀλεξάνδρου τὴν πόλιν, αὖθις ἔτεσιν οὐ πολλοῖς ὕστερον Κάσσανδρος Ἀντιπάτρου τὰς Θήβας ἔκτισε. φαίνεται μὲν δὴ τῶν κατειλεγμένων ἐπὶ μακρότατον ἡ Πλαταϊκὴ φυγὴ συμβᾶσα· οὐ μέντοι περαιτέρω γε ἢ ἐπὶ δύο ἐγένετο οὐδ' αὐτὴ γενεάς. Μεσσήνιοι δὲ ἐκτὸς Πελοποννήσου τριακόσια ἔτη μάλιστα ἠλῶντο, ἐν οἷς οὔτε

(5) Rediere in Peloponnesum Messenii, resque suas postliminio recepere ducentis ipsis et octoginta septem annis post Irae expugnationem, Dyscineto Atheniensium supremum magistratum gerente, Olympiadis centesimae secundae anno tertio, qua Damon Thurius victor iterum renunciatus est. Non breve omnino tempus Plataeenses etiam patria profugi caruere: non breve Delii, quum suis ab Atheniensibus eiecti sedibus, Adramyttium coloniam deduxere. Iam vero in Orchomeniis Minyae post Leuctricam pugnam a Thebanis Orchomeno expulsi cum Plataeensibus a Philippo Amyntae filio in Boeotiam tandem reducti sunt. Thebanos ipsos, quum Thebas evertisset Alexander, non multis post annis Cassander Antipatri filius urbe instaurata restituit. Ex iis, quos recensuimus, populis etsi Plataeenses diutissime omnium exularunt, duarum tamen aetatum spatium non excesserunt. At Messenii trecentos ferme annos exlorres e Peloponneso erra-

ἰδίων εἰσὶ δῆλοι παραλύσαντές τι τῶν οἴκοθεν, οὔτε
τὴν διάλεκτον τὴν Δωρίδα μετεδιδάχθησαν· ἀλλὰ καὶ ἐς 347
ἡμᾶς ἔτι τὸ ἀκριβὲς αὐτῆς Πελοποννησίων μάλιστα ἐφύ-
λασσον.

CAPUT XXVIII.

Lacedaemonii, Thebanis in bello Phocico occupatis, Messeniis denuo bellum inferunt — Messenii cum sociis resistunt et tandem cum Philippo Macedonum rege societatem jungunt — Messenii Elidem dolo occupant — de simili et aliis in Homero strategematibus.

Κατελθοῦσι δὲ αὐτοῖς καταρχὰς μὲν ἀπὸ Λακεδαιμονίων δεινὸν ἦν οὐδέν. κατεχόμενοι γὰρ οἱ Λακεδαιμόνιοι φόβῳ τῶν Θηβαίων, Μεσσήνης τε ἠνείχοντο ἐποικιζομένης, καὶ Ἀρκάδων εἰς μίαν ἠθροισμένων πόλιν. ὡς δὲ ὁ πόλεμος ὁ Φωκικός, καλούμενος δὲ αὐτὸς οὗτος καὶ ἱερός, ἀπήγαγεν ἐκ Πελοποννήσου Θηβαίους, ἀνεθάῤῥησάν τε οἱ Λακεδαιμόνιοι, καὶ τῶν Μεσσηνίων οὐκέτι ἐδύναντο ἀπέχεσθαι. (2) Μεσσήνιοι δὲ αὐτοί τε μετὰ Ἀργείων καὶ Ἀρ-

runt: quo temporis curriculo et patrios ritus constantissime retinuere, et Doricam linguam nihil prorsus immutarunt, quin eius proprietatem omnium Peloponnesiorum accuratissime ad nostra usque tempora conservarunt.

Cap. XXVIII. Post reditum pacata aliquandiu a Lacedaemoniis fuere Messeniis omnia, quod scilicet Thebanorum metu et Messenen iam restitutam, et Arcadas in unam congregatos civitatem armis lacessere non sunt ausi. Postea vero quam Phocense bellum (quod Sacrum est appellatum) abduxit extra Peloponnesum Thebanos, pristina confidentia subnisi, nihil amplius bellum in Messenios distulere. (2) At hi Argivorum et Arcadum auxiliis freti, facile restiterunt.

κάδων ἀντεῖχον τῷ πολέμῳ, καὶ Ἀθηναίων ἀμῦναί σφι
σιν ἐδεήθησαν. οἱ δὲ ἐς μὲν τὴν Λακωνικὴν οὔποτε μετ
ἐκείνων ἐσβαλεῖν ἔφασαν· ἀρχόντων δὲ Λακεδαιμονίω
πολέμου καὶ ἐπιστρατευόντων τῇ Μεσσηνίᾳ, παρέσεσθ
καὶ αὐτοὶ σφισιν ἐπηγγέλλοντο. τέλος δὲ οἱ Μεσσήνι
Φιλίππῳ σύμμαχοι τῷ Ἀμύντου καὶ Μακεδόσιν ἐγένοντ
καὶ τοῦτο σφᾶς λέγουσιν ἀποκωλῦσαι, τοῦ σύμπαντος το
Ἕλλησιν ἀγῶνος ἐν Χαιρωνείᾳ μὴ μετασχεῖν. οὐ μὴν οὐ
τοῖς Ἕλλησιν ἐναντία θέσθαι τὰ ὅπλα ἠθέλησαν. Ἀλεξά
δρου δὲ ἀποθανόντος, καὶ τῶν Ἑλλήνων πόλεμον δεύτ
ρον τότε ἀνῃρημένων πρὸς Μακεδόνας, μετέσχον καὶ ο
Μεσσήνιοι τοῦ πολέμου, καθὰ καὶ πρότερον ἐδήλωσα ἐ
348 τῇ Ἀτθίδι συγγραφῇ. Γαλάταις δὲ μεθ' Ἑλλήνων οὐ
ἐμαχέσαντο, Κλεωνύμου καὶ Λακεδαιμονίων σπείσασθα
σπονδάς σφισιν οὐ θελησάντων. (3) Οὐ πολλῷ δὲ ὕστε
ρον ἔσχον Ἦλιν Μεσσήνιοι, σοφίᾳ τε ὁμοῦ χρησάμενοι κα
τολμήματι. Ἠλεῖοι γὰρ τὰ μὲν παλαιότατα εὐνομώτατο
Πελοποννησίων ἦσαν· Φιλίππου δὲ τοῦ Ἀμύντου τά τ

Atheniensium opem quum implorassent, responderunt illi, no
esse ullo pacto se cum illis in Laconiae fines invasuros: s
priores arma intulissent in Messeniam Lacedaemonii, ad su
defendenda se sociis non defuturos polliciti sunt. Cum Phi-
lippo post haec Messenii, Amyntae filio, Macedonum rege
societatem iunxerunt. Quae res effecit, ut pugnae ad Chae
roneam, etsi fuit illa Graecis omnibus communis, non inter
fuerint. Non tamen contra Graecos ut bellarent, in animum si-
bi unquam induxerunt. Iam vita perfuncto Alexandro, quum
iterum Graeci contra Macedonas arma cepissent, et ipsi su
in eo bello munia obiere, sicuti et ante, quum de Atheni-
ensium rebus ageremus, exposuimus. Galli certe, recusante
Cleonymo Lacedaemoniorum rege cum illis foedus inire,
cum Graecis signa non contulere. (3) Non multo post Eli-
dem Messenii tum bellicis artibus, tum aperta vi occuparunt.
Nam quum Elei iusti moderatique imperii laude iam tum
ab initio semper ceteros Peloponnesios anteissent, postremo

ἄλλα, ὁπόσα εἴρηται, κακουργήσαντος τὴν Ἑλλάδα, καὶ Ἠλείων τοὺς δυνατοὺς διαφθείραντος χρήμασι, στασιάζουσι πρῶτον τότε Ἠλεῖοι καὶ ἐς ὅπλα, ὡς λέγουσι, χωροῦσι. τὸ δὲ ἀπὸ τούτου ῥᾷον ἔτι ἔμελλον ἀπεχθήσεσθαι πρὸς ἀλλήλους, οἷς γε καὶ Λακεδαιμονίων ἕνεκα διέστη τὰ βουλεύματα, καὶ ἐς ἔμφυλον προῆλθον πόλεμον. πυνθανόμενοι δὲ ταῦτα οἱ Λακεδαιμόνιοι, παρεσκευάζοντο ὡς Ἠλείων τοῖς φρονοῦσι τὰ σφέτερα ἀμυνοῦντες· καὶ οἱ μὲν κατὰ τέλη τε ἐτάσσοντο, καὶ διενέμοντο ἐς τοὺς λόχους. τῶν δὲ Μεσσηνίων λογάδες χίλιοι φθάνουσιν ἀφικόμενοι πρὸς τὴν Ἦλιν, σημεῖα ἐπὶ ταῖς ἀσπίσι Λακωνικὰ ἔχοντες. ὡς δὲ τὰς ἀσπίδας ἐθεάσαντο, ὅσοι τοῖς Σπαρτιάταις εὖνοι τῶν Ἠλείων ἦσαν, συμμαχίαν τε ἀφῖχθαί σφισιν ἤλπισαν, καὶ τοὺς ἄνδρας ἐδέχοντο ἐς τὸ τεῖχος. ἐσελθόντες δὲ τρόπον οἱ Μεσσήνιοι τὸν εἰρημένον, τοὺς τὰ Λακεδαιμονίων φρονοῦντας ἐδίωξαν, καὶ ἐπιτρέπουσι τοῖς στασιώταις τοῖς αὐτῶν τὴν πόλιν. (4) Ἔστι μὲν δὴ τὸ σόφισμα Ὁμήρου· φαίνονται δὲ αὐτὸ ἐν δέοντι μιμησάμενοι

quum Philippus Amyntae filius iis, quas ante enumeravimus, calamitatibus reliquam Graeciam afflixisset, Elidis etiam primores pretio sollicitavit. Hinc seditionibus primum inter se Elei laborare coeperunt. Armis deinde sumtis, quum factio altera in Lacedaemoniorum officio esset, dum per mutua pergunt odia fortunas suas pessumdare, rem ad civilia bella deduxere. De Eleorum statu certiores facti Lacedaemonii, auxilia statim mittenda partium suarum studiosis censuerunt. Ac dum illi quidem delectu habendo et ordinibus describendis tempus terunt, interea e Messeniis lectissimi quique ad mille ferme homines raptim, clypeis Laconica insignia praeferentes, Elidem veniunt. Eos intra moenia Spartanorum factio, rati auxiliares suos adesse, receperunt. Oppido potiti Messenii, eos, qui Lacedaemoniis studuerant, urbe expulerunt: iis, qui suarum erant partium, urbem tradidere. (4) Usurparunt illi quidem opportune commentum Homericum. Nam et ille in Iliade Patroclum memoravit

καὶ οἱ Μεσσήνιοι· ἐπεὶ Πάτροκλόν γε ἐποίησεν ἐν Ἰλιάδι
349 Ὅμηρος Ἀχιλλέως τὰ ὅπλα ἐνδύντα, καὶ ἐγγενέσθαι τι
ἔφη τοῖς βαρβάροις δόξαν, ὡς Ἀχιλλεὺς ἐπίοι, καὶ τοὺς
προτεταγμένους αὐτῶν ταραχθῆναι. εὕρηται δὲ καὶ ἄλλα
Ὁμήρῳ στρατηγήματα· δύο τε παρὰ τῶν Ἑλλήνων κατα-
σκόπους ἐν τῇ νυκτὶ ἀνθ' ἑνὸς ἐς τοὺς Τρῶας ἀφικέσθαι·
καὶ ἄνδρα ὕστερον, λόγῳ μὲν αὐτόμολον, ἔργῳ δὲ τὰ
ἀπόῤῥητα πολυπραγμονήσοντα, ἐς τὸ Ἴλιον ἐσελθεῖν. ἔτι
δὲ τοὺς διὰ νεότητα ἐν τοῖς Τρωσὶν ἢ γῆρας οὐχ ὡραίους
μάχεσθαι, τούτους μὲν τὸ τεῖχος φρουρεῖν ἔταξε, τῶν ἐν
ἡλικίᾳ τοῖς Ἕλλησιν ἐπηλυσμένων. Ἑλλήνων δὲ οἱ τὰ
τραύματα ἔχοντες ὁπλίζουσιν αὐτῶν τὸ μάχιμον, ἵνα μηδὲ
αὐτοὶ παντάπασιν ἀργοῖεν. τὰ Ὁμήρου μὲν οὖν ὠφέλιμα
ἐγένετο ἐς ἅπαντα ἀνθρώποις.

arma Achillis indutum, in hostium se aciem intulisse: quumque Troiani ad pugnam redisse Achillem putassent, conturbatis ordinibus *omnes in fugam versos.* Sunt et alia callide ab Homero excogitata militaria consilia: uti quum duos pro uno speculatores narrat e Graecorum castris noctu ad Troianos venisse. Hominem praeterea specie transfugam, re speculatorem, Ilium missum ad exploranda hostium consilia. Ad haec, dum militaris Troianorum aetas facto agmine esset ad praelium exitura, ad urbis vel iuniores, vel iam natu grandiores, qui minus essent ad pugnandum idonei, custodiam disponit. Idem vero in Graecorum castris iubet eos, qui vulneribus acceptis pugna excesserint, ne omnino nihil agant, integros armare. Haec ab Homero ad iuvandos homines universos edita sunt rerum bene gerendarum exempla.

CAPUT XXIX.

Demetrius, Philippi filius, cum Macedonibus Messenen invadit — cur Messenii Achaeorum concilio sese non junxerint — Megalopoli a Cleomene capta, Messenii Philopoemena cum Arcadibus excipiunt ac dein Spartam cum sociis expugnant — Nabis, Lacedaemoniorum tyrannus, Messenen occupat et certis conditionibus discedit — Achaei de Messeniis questi iis bellum inferunt — Philopoemena vivum capiunt Messenii et iterum Achaeorum communi annumerantur.

Μετὰ δὲ οὐ πολὺν χρόνον τοῦ ἔργου τοῦ πρὸς Ἤλιδι, Μακεδόνες καὶ Δημήτριος ὁ Φιλίππου τοῦ Δημητρίου Μεσσήνην καταλαμβάνουσι. τὰ μὲν δὴ πολλὰ ἔς τε αὐτὸν Φίλιππον καὶ ἐς Δημήτριον τὸν Φιλίππου τολμηθέντα ἐκ Περσέως ἐν τοῖς Σικυωνίοις ἔγραψα ἤδη λόγοις· τὰ δὲ ἐς τὴν κατάληψιν τὴν Μεσσήνης ἔσχεν οὕτω. χρημάτων ἐσπανίζετο Φίλιππος, καὶ (ἔδει γάρ οἱ πάντως γενέσθαι χρήματα) ἀποστέλλει Δημήτριον ναυσὶν ἐς Πελοπόννησον. Δημήτριος δὲ κατήγετό που τῆς Ἀργείας ἐς λιμένα τῶν ἐρημοτέρων. αὐτίκα δὲ ὡς εἶχε, διὰ τῶν ἐπιτομωτάτων τῆς χώρας τὴν στρατιὰν ἦγεν ἐπὶ Μεσσήνης. προτάξας δὲ 350

Cap. XXIX. Verum *ut ad Messenios redeam*, non multis post captam Elidem annis Demetrius Macedonum rex, Philippi filius, Demetrii maioris nepos, Messenen ditioni suae subiecit. Multa nos quidem, quae insolenter egit Perseus in Philippum et Demetrium, commemoravimus, qua in parte in Sicyoniorum rebus versata est historia. Quemadmodum vero Messene a Demetrio occupata fuerit, nunc exponam. Laborabat Philippus pecuniae egestate, qua carere nullo pacto poterat. Eam ob rem cum aliquot navibus Demetrium in Peloponnesum mittit. Is in portum quendam appulit Argivorum finium, non sane celebrem: inde vero raptim per *occultos* calles itinere maxime compendiario ad Messenen du-

ὅσον ἦν τότε τῶν ὅπλων τῇ σκευῇ κοῦφον, καὶ τῆς ἐς τὴν Ἰθώμην εἶχεν ὁδοῦ οὐκ ἀπείρως, λανθάνει περὶ ὄρθρον μάλιστα ὑπερβὰς τὸ τεῖχος, καθ' ὃ τῆς τε πόλεως μεταξὺ ἦν καὶ ἄκρας τῆς Ἰθώμης. ὡς δὲ ἡμέρα τε ἐπέσχε, καὶ ἤδη τοῖς ἔνδον αἴσθησις ἐγεγόνει τοῦ κατειληφότος κινδύνου, τὸ μὲν πρῶτον αὐτοὺς ἐσῆλθεν ὑπόνοια, ὡς οἱ Λακεδαιμόνιοι σὺν ὅπλοις παρέλθοιεν αὐτῶν ἐς τὴν πόλιν· ὥστε καὶ ὥρμησαν ἐπ' αὐτοὺς ἀφειδέστερον διὰ τὸ μῖσος τὸ ἐξ ἀρχῆς. ἐπεὶ δὲ ἔκ τε τῶν ὅπλων καὶ τῆς φωνῆς Μακεδόνας καὶ Δημήτριον τὸν Φιλίππου γνωρίζουσιν ὄντας, δεῖμα ἰσχυρὸν παρέστη σφίσι λογιζομένοις τήν τε ἐς τὰ πολεμικὰ τῶν Μακεδόνων μελέτην, καὶ τύχην, ᾗ πρὸς ἅπαντας ἑώρων χρωμένους αὐτούς. ὅμως δὲ τοῦ τε παρόντος κακοῦ τὸ μέγεθος ἐδίδασκεν, ἀνδρίαν τινὰ καὶ πέρα τοῦ δυνατοῦ γίνεσθαι, καὶ ἅμα ἀμείνω παρίστατο αὐτοῖς ἐλπίζειν· οὐ γὰρ δὴ ἄνευ θεοῦ διὰ τοσούτου σφίσιν ὑπάρξαι τὴν ἐς Πελοπόννησον κάθοδον. οἵ τε οὖν ἐκ τῆς

xit; et collocato quidem in agminis fronte omni, quod tunc forte habuit, levis armaturae genere, recta Ithomen viarum non ignarus contendit, et clam ante diluculum transcendit muros, qui medii inter arcem Ithomes et urbem ipsam fuere. Orta iam luce, quum sensissent Messenii se oppressos, in tam gravi periculo trepidantes, suspicari primum se Lacedaemoniorum fraude captos. Quare veteri in Spartanos odio incitati, nihil vitae parcentes, acriter pugnam capessebant. Ubi vero ex ipsa armorum specie, et oris sono, Macedonas et Demetrium ipsum agnoverunt, ingenti sunt perculsi terrore. Cogitabant enim fore sibi iam negotium cum gente ad omnes belli artes paratissima, quaeque adversus quodvis hostium genus fortuna semper usa fuisset secundissima. Impendentis tamen mali magnitudo virtutem ultra vires auxit; et simul ad bene sperandum animos illud erexit, quod ex tam longo temporis intervallo non absque deorum consilio redire sibi in Peloponnesum liciturum fuisse iudicabant. Et oppidani ergo ira

πόλεως Μεσσήνιοι θυμῷ παντὶ ἐς τοὺς Μακεδόνας ἐχώρουν· καὶ οἱ φρουροῦντες τὴν ἀκρόπολιν ἐπέκειντο ἐξ ὑπερδεξίων. ὡσαύτως δὲ καὶ οἱ Μακεδόνες ὑπό τε ἀρετῆς καὶ ἐμπειρίας τὸ καταρχὰς ἠμύνοντο ἐῤῥωμένως. ἅτε δὲ ὁδοιπορίᾳ προαπειρηκότες, καὶ ὁμοῦ τῶν τε ἀνδρῶν σφίσιν ἐγκειμένων, καὶ ὑπὸ τῶν γυναικῶν κεράμῳ καὶ λίθοις βαλλόμενοι, σὺν οὐδενὶ ἔφευγον κόσμῳ. καὶ τὸ μὲν πολὺ αὐτῶν ἀπώλετο ὠθούμενοι κατὰ τῶν κρημνῶν (ἀπότομος γὰρ δὴ ταύτῃ μάλιστά ἐστιν ἡ Ἰθώμη), ὀλίγοι δέ τινες καὶ ῥίψαντες τὰ ὅπλα ἀπεσώθησαν. (2) Ἐς δὲ τὸ συνέδριον οἱ Μεσσήνιοι τὸ Ἀχαιῶν ἐπὶ τῷδε οὔ μοι δοκοῦσιν ἐσελθεῖν καταρχάς. Λακεδαιμονίοις αὐτεπάγγελτοι βοηθήσοντες ἀφίκοντο ὑπὸ Πύῤῥου τοῦ Αἰακίδου πολε- 351 μουμένοις· καὶ σφισιν ἀπὸ τῆς εὐεργεσίας ταύτης ἤδη τὰ ἐκ τῆς Σπάρτης εἰρηνικώτερα ὑπῆρχεν. οὔκουν ἀνακινῆσαι τὸ ἔχθος ἐβούλοντο ἐς τὸ συνέδριον συγχωρήσαντες, οἳ Λακεδαιμονίων μάλιστα πολέμιοι ἐκ τοῦ φανεροῦ καθεστήκεσαν. ὃ δὲ οὐ λέληθεν ἐμὲ, οὐδὲ Μεσσηνίους ἐλελήθει δήπου, καὶ μὴ συντελοῦσιν αὐτοῖς ἐς τὸ συνέδριον

ac robore impletis animis in Macedonas tendebant, et arcis praesidia e superiore loco urgebant. Et illi quidem initio tum virtute, tum rei militaris scientia hosti pares fuere: postremo, ut qui ex itinere fessi erant, hinc viris urgentibus, illinc foeminis tegulam et lapides eiaculantibus, fugam effusissimam fecere. Multi e saxis pendentibus (ea enim parte maxime praerupta est Ithome) praecipites corruere: pauci abiectis armis incolumes evasere. (2) In Achaeorum concilium idcirco Messenii non iere, (uti mea fert opinio) quod quum ultro misissent auxilia bellantibus cum Pyrrho Aeacidae filio Lacedaemoniis, eoque beneficio iam prope inter ipsos pacata essent omnia, illud cavendum putabant, ne, si in Achaeorum, qui aperti erant Spartanorum hostes, concilium se conscribi postulassent, veteres inimicitias renovasse viderentur. Ac illud quidem Messenios, opinor, non fefellit, quod ipsi in mentem mihi venire potuerit: cogitasse eos, etiamsi cum

ὡς ἐπὶ Λακεδαιμονίους τὰ Ἀχαιῶν ὑπάρχοι. ἐν γὰρ δὴ τοῖς Ἀχαιοῖς καὶ Ἀργεῖοι καὶ τὸ Ἀρκαδικὸν οὐκ ἐλαχίστη μοῖρα ἦσαν. (3) Ἀνὰ χρόνον μέν τοι προσεχώρησαν ἐς τὸ Ἀχαϊκόν. οὐ πολλῷ δὲ ὕστερον Κλεομένης ὁ Λεωνίδου τοῦ Κλεωνύμου Μεγάλην πόλιν εἷλεν Ἀρκάδων ἐν σπονδαῖς. τῶν δὲ οἱ καταληφθέντες οἱ μὲν ἀπώλοντο ὑπὸ τὴν ἅλωσιν, Φιλοποίμενα δὲ τὸν Κραύγιδος, καὶ ὅσοι μετὰ Φιλοποίμενος ἀπεχώρησαν (γενέσθαι δὲ τῶν Μεγαλοπολιτῶν τὸ διαφυγὸν καὶ ὑπὲρ τὰς δύο μοίρας λέγουσι), τούτους ὑπεδέξαντο οἱ Μεσσήνιοι, τῶν τε ἀρχαίων ἔργων ἕνεκα, ὁπόσα ἐπὶ Ἀριστομένους ὑπῆρκτο Ἀρκάσι, καὶ ὕστερον ἐπὶ τοῦ οἰκισμοῦ τοῦ Μεσσήνης, ἀποδιδόντες σφίσι τὴν ὁμοίαν. πέφυκε δὲ ἄρα ὡς ἐπίπαν μεταπίπτειν τὰ ἀνθρώπινα· εἰ δὴ Μεσσηνίοις Ἀρκάδας τε ἀντισῶσαι, καὶ τὸ ἀδοκητότερον ἔτι, ἑλεῖν Σπάρτην ὁ δαίμων ἔδωκε. Κλεομένει γὰρ περὶ Σελλασίαν ἐμαχέσαντο ἐναντία, καὶ

Achaeis non fecissent, per se tamen Achaeos Lacedaemoniorum hostes fore. In Achaico enim concilio Argivi et Arcades non parum habebant loci. (3) Verum et ipsi se cum Achaeis Messenii post longi temporis cunctationem coniunxere. Neque ita multo post Cleomenes Leonidae filius, Cleonymi nepos, Megalopolin Arcadiae *principem* civitatem per speciem foederis cepit. In ea qui deprehensi fuerunt, plerique omnes interempti. Qui vero cum Philopoemene Craugidis filio effugere (quae multitudo duae amplius civitatis eius partes fuere), eos Messenii *liberaliter* accepere, quum ob veterum erga se meritorum memoriam, quibus iam tum Aristomenis temporibus fuerant ab Arcadibus provocati, tum vero ut gratiam parem referrent pro eo, quod ab illis in Messene restituenda adiuti fuerant. Est ita comparatum natura, ut rerum humanarum vicissitudo huc illuc omnia transferat. Nam et Arcadibus Messenii vicissim salutis auctores fuere: et (quod magis praeter opinionem accidit) Arcadas rursus Spartae capiendae Messeniis socios fortuna esse voluit. Quum enim collatis signis cum Cleomene ad Sellasiam dimicassent, mox Ara-

τὴν Σπάρτην Ἀράτῳ καὶ Ἀχαιοῖς συγκαθεῖλον. (4) Λακε-
δαιμονίοις δὲ ἀπηλλαγμένοις Κλεομένους, ἐπανίσταται τύ-
ραννος Μαχανίδας· ἐκείνου δὲ ἀποθανόντος, Νάβις ἀνέφυ
σφίσιν αὖθις τύραννος. ἅτε δὲ οὐ τὰ ἀνθρώπων ἀναρ- 852
πάζοντι αὐτῷ μόνον, ἀλλὰ καὶ ἱερὰ συλῶντι, ἐν οὐ πολλῷ
χρόνῳ χρήματά τε ἄφθονα καὶ ἀπ' αὐτῶν στρατιὰ συνεί-
λεκτο. τούτου τοῦ Νάβιδος Μεσσήνην καταλαβόντος,
Φιλοποίμην καὶ οἱ Μεγαλοπολῖται νυκτὸς ἀφίκοντο τῆς
αὐτῆς, καὶ ὁ μὲν Σπαρτιάτης τύραννος ἀπῆλθεν ὑπόσπον-
δος. (5) Ἀχαιοὶ δὲ ὕστερον τούτων, μεμφόμενοί τι Μεσ-
σηνίοις, στρατεύουσιν ἐπ' αὐτοὺς παρασκευῇ τῇ πάσῃ, καὶ
τὰ πολλὰ ἔτεμον τῆς χώρας. καὶ οἱ μὲν αὖθις περὶ ἀκμὴν
σίτου συνελέγοντο, ὡς ἐς τὴν Μεσσηνίαν ἐσβαλοῦντες.
Δεινοκράτης δὲ δήμου τε προεστηκὼς, καὶ Μεσσηνίων ἄρ-
χειν ἐν τῷ τότε ᾑρημένος, Λυκόρταν μὲν καὶ τὴν σὺν αὐτῷ
στρατιὰν ἀναχωρῆσαι παρεσκεύασεν ἄπρακτον, τὰς ἐς τὴν
Μεσσηνίαν ἐκ τῆς Ἀρκαδίας παρόδους προλαβὼν τοῖς τε

tum Achaeorum ducem secuti Spartam expugnarunt. (4) Vix dum erant Lacedaemonii Cleomenis dominatu liberati, quum Machanidas tyrannus exortus, quo sublato, Nabis dominationem invasit. Is quum profanas et sacras aedes spoliasset, brevi ingentem coegit pecuniam: et ex ea copias, *quibus imperium tueretur et augeret*, sibi comparavit. Quum hic ipse Nabis Messenen occupasset, Philopoemen et Megalopolitani eadem nocte praesto fuere; quorum interventu cedere tyrannus coactus sub certis foederis conditionibus. (5) Achaei postea iniuria nescio qua se provocatos questi, omni ope sua bellum Messeniis intulere. Ac primum quidem agrum pervastarunt: deinde sub ipsum messis tempus, collectis undique copiis, irrumpere in Messeniam conati sunt. At Dinocrates, qui summae tunc reipublicae praeerat, cuique populi suffragiis exercitus imperium decretum fuerat, occupatis angustiis, qua aditus in Messeniam patebat Arcadibus, Lycortae Achaeorum ducis inceptum effecit ut irritum esset, cum Mes-

ἐκ τῆς πόλεως Μεσσηνίοις, καὶ ὅσοι τῶν περιοίκων σφίσιν ἤμυνον. Φιλοποίμενος δὲ σὺν ἱππεῦσιν ὀλίγοις ἀφικομένου πολὺ ὕστερον, ἢ ὁ μετὰ Λυκόρτα στρατὸς, πυθέσθαι δὲ οὐδέν πω τῶν ἐς αὐτοὺς δεδυνημένου, νικῶσιν οἱ Μεσσήνιοι, γιγνομένης σφίσιν ἐξ ὑπερδεξίων τῆς μάχης, καὶ ζῶντα αἱροῦσι Φιλοποίμενα. τρόπον δὲ ὄντινα ὁ Φιλοποίμην ἑάλω, καὶ ὡς ἐτελεύτησε, τάδε μὲν ἡμῖν καὶ ὕστερον ὁ Ἀρκαδικὸς λόγος ἐπέξεισι. Μεσσηνίων δὲ οἵ τε Φιλοποίμενι αἴτιοι τῆς τελευτῆς ἔδοσαν δίκας, καὶ ἡ Μεσσήνη συνετέλεσεν αὖθις ἐς τὸ Ἀχαϊκόν.

Ἄχρι μὲν δὴ τοῦδε ὁ λόγος ἐπῆλθέ μοι Μεσσηνίων τὰ πολλὰ παθήματα, καὶ ὡς ὁ δαίμων σφᾶς ἐπί τε γῆς τὰ ἔσχατα, καὶ ἐπὶ τὰ πορρώτατα Πελοποννήσου σκεδάσας, ὕστερον χρόνῳ καὶ ἐς τὴν οἰκείαν ἀνέσωσε· τὸ δὲ ἀπὸ τούτου τῆς χώρας καὶ πόλεων τραπώμεθα ἐς ἀφήγησιν.

seniis enim et finitimorum auxiliis occurrens, hostem facile repulit. Quin et Philopoemenem, qui cum paucis equitibus multo post Lycortae agmen tempore venerat, nec adhuc de ipsorum rebus audisse quidquam poterat, pugna e superiore loco prospere facta, vicere ac vivum cepere Messenii. Quo autem modo captus fuerit Philopoemen, et quis eius vitae finis, in eo, qui est de Arcadum rebus, libro enarrabimus. Ii certe e Messeniis, quorum suasu est ille vir interfectus, meritas poenas luere: ac rursus Messenii Achaeorum sunt partes secuti. Adhuc varia Messeniorum infortunia stylo sum persecutus, et quemadmodum eos fortuna sua procul a Peloponneso in ultimas terras actos, mox in pristinas reduxerit sedes, commemoravi: hinc ad agri urbisque partes explicandas orationem convertam.

CAPUT XXX.

Descriptio Messenicae regionis et urbium — Abia urbs — Pharae et quae ad ejus conditoris, Pharis, genus pertinent — de Fortunae nomine primum ab Homero commemorato — de primo Fortunae signo, polo capiti imposito et Amaltheae cornu exornato.

Ἔστιν ἐφ' ἡμῶν ἐν τῇ Μεσσηνίᾳ τῆς νάπης τῆς Χοιρίου 353
στάδια εἴκοσι μάλιστα ἀπέχουσα Ἀβία ἐπὶ θαλάσσῃ πόλις. ταύτην Ἱρὴν καλεῖσθαι πάλαι, καὶ τῶν ἑπτά φασιν εἶναι πόλεων, ἃς Ἀχιλλεῖ πεποίηκεν Ὅμηρος Ἀγαμέμνονα ὑπισχνούμενον. Ὕλλου δὲ καὶ Δωριέων μάχῃ κρατηθέντων ὑπὸ Ἀχαιῶν, ἐνταῦθα Ἀβίαν Ὕλλου τοῦ Ἡρακλέους τροφὸν ἀποχωρῆσαί λέγουσιν ἐν τὴν Ἱρήν, καὶ οἰκῆσαί τε αὐτόθι, καὶ Ἡρακλέους ἱερὸν ἱδρύσασθαι, καί οἱ διὰ ταῦτα ὕστερον Κρεσφόντην ἄλλα τε γέρα νεῖμαι, καὶ τῇ πόλει μεταθέσθαι τὸ ὄνομα ἀπὸ τῆς Ἀβίας. Ἡράκλειον δὲ ἦν αὐτόθι ἐπιφανὲς καὶ Ἀσκληπιεῖον. (2) Φαραὶ δὲ ἀφεστήκασιν Ἀβίας σταδίους ἑβδομήκοντα. καὶ ὕδωρ κατὰ τὴν ὁδόν ἐστιν ἁλμυρόν. βασιλεὺς δὲ Αὔγουστος τοὺς ἐν

Cap. XXX. Aetate nostra in Messenia extat Abia oppidum ad mare, longe a saltu Choerio stadia haud amplius xx. Iren olim vocatam ferunt, et de septem illis unam fuisse, quas Agamemnon apud Homerum se daturum Achilli pollicetur. Gleno autem et Doriee ab Achaeis bello superatis, Abiam tradunt Hylli Herculis filii nutricem in hanc Iren commigrasse: ibi domicilio suo constituto, Herculi templum (adiecto Abiae nomine) dedicasse: Cresphontem postea, quum grato pioque animo memoriam foeminae celebraret, et alios ei honores habuisse, et urbem (mutato nomine) Abiam appellari voluisse. Herculis quidem in ea urbe et Aesculapii templa valde illustria extant. (2) Abia discedentibus absunt Pharae stadia ferme LXX. In ipsa via salsa aqua est. Messenios, qui Pharas tenent, Augustus Caesar Laconico nomini

Φαραῖς Μεσσηνίους συντελεῖν ἐπέταξεν ἐς τὸ Λακωνικόν. τὸν δὲ οἰκιστὴν Φάριν Ἑρμοῦ τε καὶ Φιλοδαμείας λέγουσιν εἶναι τῆς Δαναοῦ. Φάρει δὲ ἄῤῥενας μὲν οὔ φασι γενέσθαι, θυγατέρα δὲ Τηλεγόνην. τοὺς δὲ ἐφεξῆς ἐγενεαλόγησεν Ὅμηρος ἐν Ἰλιάδι, διδύμους Κρήθωνα καὶ Ὀρτίλοχον εἶναι Διοκλεῖ, Διοκλέα δὲ αὐτὸν Ὀρτιλόχου τοῦ Ἀλφειοῦ· τὰ δὲ ἐς Τηλεγόνην παρεῖδεν. αὕτη γὰρ λόγῳ τῷ Μεσσηνίων ἐστὶν ἡ τεκοῦσα Ἀλφειῷ τὸν Ὀρτίλοχον. καὶ τάδε ἄλλα ἤκουσα ἐν Φαραῖς· Διοκλεῖ θυγατέρα ἐπὶ τοῖς διδύμοις παισὶν Ἀντίκλειαν γενέσθαι, τῆς δὲ Νικόμαχόν τε εἶναι καὶ Γόργασον, πατρὸς δὲ Μαχάονος τοῦ Ἀσκληπιοῦ· τούτους καταμεῖναί τε αὐτοῦ, καὶ ὡς ὁ Διοκλῆς
354 ἐτελεύτησε, τὴν βασιλείαν ἐκδέξασθαι. διαμεμένηκε δὲ αὐτοῖς καὶ ἐς τόδε ἔτι, νοσήματά τε καὶ τοὺς πεπηρωμένους τῶν ἀνθρώπων ἰᾶσθαι· καί σφισιν ἀντὶ τούτων θυσίας ἐς τὸ ἱερὸν καὶ ἀναθήματα ἄγουσιν. ἔστι δὲ καὶ Τύχης ναὸς Φαραΐταις καὶ ἄγαλμα ἀρχαῖον. (3) Πρῶτος δὲ, ὧν οἶδα, ἐποιήσατο ἐν τοῖς ἔπεσιν Ὅμηρος Τύχης μνήμην. ἐποιήσατο

adiunxit. Eius oppidi conditorem celebrant Pharin, Mercurio et Philodamea Danai filia genitum. Pharin nullam virilem sobolem, filiam unicam Telegonen reliquisse aiunt. Eius gentilitatis perpetuam seriem in Iliade percensuit Homerus: Diocli geminos fuisse, Crethonem et Ortilochum: Dioclem ipsum Ortilocho Alphei filio ortum. De Telegone mentionem prorsus nullam fecit. Ea, si Messenios audiamus, Ortilochum Alpheo peperit. Audivi et illud, quum Pharis essem: praeter geminos filiam Diocli fuisse Anticleam: ex ea, et Machaone Aesculapii filio, Nicomachum et Gorgasum natos: Pharis eos permansisse, et Diocle mortuo regnum adisse. Creduntur illi hac etiamnum aetate morbis laborantes, et aliqua captos corporis parte sanare: eoque nomine in eorum fanum victimas sacrorum causa, et donaria mittunt. Habent et Fortunae fanum Pharaitae cum perveteri signo. (3) Ac Fortunae quidem (*cui Tyches apud Graecos nomen*) poetarum primus (quod sciam) mentionem fecit Homerus hymno in Ce-

δὲ ἐν ὕμνῳ τῷ ἐς τὴν Δήμητρα, ἄλλας τε τῶν Ὠκεανοῦ θυ-
γατέρας καταριθμούμενος, ὡς ὁμοῦ Κόρῃ τῇ Δήμητρος παί-
ζοιεν, καὶ Τύχην ὡς Ὠκεανοῦ καὶ ταύτην παῖδα οὖσαν.
καὶ οὕτως ἔχει τὰ ἔπη·

Ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα,
Λευκίππη, Φαινώ τε καὶ Ἠλέκτρη, καὶ Ἰάνθη,
Μηλόβοσίς τε, Τύχη τε, καὶ Ὠκυρόη καλυκῶπις.

πέρα δὲ ἐδήλωσεν οὐδὲν ἔτι, ὡς ἡ θεός ἐστιν αὕτη μεγίστη
θεῶν ἐν τοῖς ἀνθρωπίνοις πράγμασι, καὶ ἰσχὺν παρέχεται
πλείστην, ὥσπερ γε ἐν Ἰλιάδι ἐποίησεν Ἀθηνᾶν μὲν καὶ
Ἐνυὼ πολεμούντων ἡγεμονίαν ἔχειν, Ἄρτεμιν δὲ γυναι-
κῶν ὠδῖσιν εἶναι φοβερὰν, Ἀφροδίτῃ δὲ τὰ ἔργα μέλειν 355
τῶν γάμων. ἀλλ' οὗτος μὲν οὐδὲν ἄλλο ἐποίησεν ἐς τὴν
Τύχην. (4) Βούπαλος δὲ, ναούς τε οἰκοδομήσασθαι καὶ
ζῶα ἀνὴρ ἀγαθὸς πλάσαι, Σμυρναίοις ἄγαλμα ἐργαζόμε-
νος Τύχης πρῶτος ἐποίησεν, ὧν ἴσμεν, πόλον τε ἔχουσαν
ἐπὶ τῇ κεφαλῇ, καὶ τῇ ἑτέρᾳ χειρὶ τὸ καλούμενον Ἀμαλ-
θείας κέρας ὑπὸ Ἑλλήνων. οὗτος μὲν ἐπὶ τοσοῦτον ἐδή-

rerem, quum et alias Oceani filias, et Tychen etiam ipsam, tanquam Oceani filiam, ludentes cum Proserpina fecisset, his versibus:

Una omnes vario per prata comantia flore,
Candida Leucippe, Phaenoque, Electra, et Ianthe,
Melobosis, Tyche, et Ocyrhoe praesignis ocellis.

De ea nihil praeterea: neque illum omnino, *quod vulgo creditur*, Deam esse maximam, penes quam sint rerum humanarum momenta omnia, quum idem tamen poeta in Iliade bellantibus Palladem et Enyo duces praefecerit; Dianam foeminis parturientibus *sanctam et* verendam esse dixerit; Veneri autem nuptiarum curam attribuerit. Verum de Fortuna nihil ille plus, quam ante dictum est, memoriae prodidit. (4) Bupalus certe templis aedificandis, et simulacris fingendis admodum sollers, quum Smyrnaeis Fortunae signum omnium, quos ipsi *ex antiquitatis monumentis* cognoverimus, primus finxisset, capiti polum imposuit; altera vero manu Amaltheae (quod Graeci appellant) cornu tenentem fecit. Ad

λωσε τῆς θεοῦ τὰ ἔργα. ᾖσε δὲ καὶ ὕστερον Πίνδαρος ἄλλα τε ἐς τὴν Τύχην, καὶ δὴ καὶ φερέπολιν ἀνεκάλεσεν αὐτήν.

CAPUT XXXI.

De Apollinis luco Carnio — urbe Thuriatarum — vico Calamae, loco Limnae dicto ac fontibus Pamisi fluvii — urbe Messeniorum sub Ithome sita — Messenes muri cum aliarum urbium muris comparati, aliaque memoranda — de Laphriae Dianae cultu et Diana Ephesia — Curetum aede — signis memorandis in Aesculapii templo — Messenes templo et picturis in eo.

Ὀλίγον δὲ ἀπωτέρω Φαρῶν Ἀπόλλωνος ἄλσος ἐστὶ Κάρνιον, καὶ ὕδατος ἐν αὐτῷ πηγή. θαλάσσης δὲ ἕξ που στάδια ἀπέχουσιν αἱ Φαραί. (2) Ἐντεῦθεν πρὸς μεσόγαιαν τῆς Μεσσηνίας σταδίους προελθόντι ὀγδοήκοντά ἐστιν ἡ Θουριατῶν πόλις· Ἄνθειαν δὲ αὐτὴν ἐν τοῖς ἔπεσιν ὀνομάσθαι τοῖς Ὁμήρου λέγουσι. Λακεδαιμονίοις δὲ ἔχειν τοῖς ἐν Σπάρτῃ τὴν Θουρίαν ἔδωκεν Αὔγουστος. Αὐγούστῳ γὰρ βασιλεύοντι Ῥωμαίων ἐπολέμησεν Ἀντώνιος, γένει καὶ οὗτος Ῥωμαῖος· καί οἱ τῶν ἐν τῇ Ἑλλάδι ἄλλοι τε

hunc ille modum Fortunae munera declaravit. Mandavit post hunc et alia de Fortuna versibus Pindarus, et eam Pherepolin (*quod est ac si dixeris Civitatum tutricem*) vocavit.

Cap. XXXI. Non longe a Pharis lucus est Apollinis, Carnii nomine; et in eo perennis aquae fons. Absunt a mari Pharae stadia ferme VI. (2) Hinc ad eiusdem Messeniae mediterranea contendentes stadia procul circiter LXXX Thuriatarum urbs excipit. Appellatam Homeri versibus Anthean putant. Eam Spartanorum civitati subiecit Augustus. Nam quum is cum Antonio civile bellum gereret, Antonii quidem sectam cum aliis Graecia Messenii idcirco secuti sunt, quod

καὶ οἱ Μεσσήνιοι προσέθεντο, ὅτι ἐφρόνουν οἱ Λακεδαι-
μόνιοι τὰ Αὐγούστου. καὶ ὁ μὲν τούτων ἕνεκα Μεσση-
νίοις καὶ τῶν ἄλλων τῶν ἀντιταξαμένων τοῖς μὲν αὐτῶν
ἔλαττον, τοῖς δὲ καὶ ἐς πλέον ἐπεξῆλθε. Θουριᾶται δὲ ἐκ
τῆς πόλεως ἐν μετεώρῳ τὸ ἀρχαῖον οἰκουμένης ἐς τὸ πε-
δίον κατελθόντες οἰκοῦσιν· οὐ μὴν παντάπασί γε οὐδὲ
τὴν ἄνω πόλιν ἐκλελοίπασιν, ἀλλὰ καὶ τείχους ἐρείπια,
καὶ ἱερόν ἐστιν αὐτόθι ὀνομαζόμενον θεοῦ Συρίας. τὴν
δὲ ἐν τῷ πεδίῳ πόλιν ποταμὸς καλούμενος Ἄρις παρέξει-
σιν. (3) Ἔστι δὲ ἐν τῇ μεσογαίῳ κώμη Καλάμαι καὶ Λί- 356
μναι χωρίον· ἐν δὲ αὐτῷ Λιμνάτιδος ἱερόν ἐστιν Ἀρτέμι-
δος, ἔνθα Τηλέκλῳ βασιλεύοντι ἐν Σπάρτῃ τὴν τελευτὴν
συμβῆναι λέγουσιν. ἰόντι δὲ ἐκ Θουρίας ὡς ἐπὶ Ἀρκαδίας,
εἰσὶν αἱ πηγαὶ τοῦ Παμίσου· καὶ ἐπ' αὐταῖς παισὶ μικροῖς
ἀκέσματα γίνεται. (4) Ἰοῦσι δὲ ἀπὸ τῶν πηγῶν ἐν ἀρι-
στερᾷ καὶ προελθόντι ὡς τεσσαράκοντα στάδιά ἐστι Μεσ-
σηνίοις ἡ ὑπὸ τῇ Ἰθώμῃ πόλις· περιέχεται δὲ οὐ τῇ Ἰθώμῃ
μόνον, ἀλλὰ καὶ ἐπὶ τὸν Πάμισον τὰ τετραμμένα ὑπὸ τῆς
Εὐάν. τὸ δὲ ὄνομα γενέσθαι τῷ ὄρει φασὶ Βακχικόν τι

Augusti partes iuverunt Lacedaemonii. Quocirca victor Augustus e Messeniis et aliis, qui contra in acie steterunt, levius alios, alius gravius mulctavit. Thuriatae ipsi ex oppido, quod iam tum ab initio in excelso fuit tumulo, in planitiem descendere. Non tamen superiorem urbem omnino deseruere. Nam et collapsorum murorum adhuc reliquiae cernuntur, et templum extat, quod deae Syriae dicitur. Campestrem urbem fluvius praeterlabitur Aris nomine. (3) In ora interiore Calamae vicus, et Limnae regiuncula est. In hac Limnatidis Dianae aedes: quo loco Spartae regem Teleclum occisum fama prodidit. Qua e Thuria Arcadiam fere versus iter est, fontes habet Pamisus amnis; quorum aquae infantium morbis medentur. (4) Iam vero ab his fontibus ad laevam digressis ad stadia plus minus LX, Messeniorum sub Ithome urbs est, *regionis caput*: ea non Ithome solum, sed qua ad Pamisum excurrit, monte Eua incingitur. Huic monti a bacchantium

ἐπίφθεγμα Εὐοῖ, Διονύσου πρῶτον ἐνταῦθα αὐτοῦ τε εἰ-
πόντος καὶ τῶν ὁμοῦ Διονύσῳ γυναικῶν. (5) Περὶ δὲ
τὴν Μεσσήνην τεῖχος, κύκλος μὲν πᾶς λίθου, πεποίηται,
πύργοι δὲ καὶ ἐπάλξεις εἰσὶν ἐνῳκοδομημένοι. τὰ μὲν οὖν
Βαβυλωνίων ἢ τὰ Μεμνόνεια τὰ ἐν Σούσοις τείχη τοῖς
Περσικοῖς οὔτε εἶδον, οὔτε ἄλλων περὶ αὐτῶν ἤκουσα αὐ-
357 τοπτούντων· τὰ δὲ ἐν Ἀμβρύσῳ τῇ Φωκικῇ, ἔν τε Βυζαν-
τίῳ καὶ Ῥόδῳ (ταῦτα γὰρ δὴ τετειχίσθαι δοκεῖ τὰ χωρία
ἄριστα), τούτων Μεσσηνίοις ἐστὶν ἐχυρώτερον. Μεσση-
νίοις δὲ ἐν τῇ ἀγορᾷ Διός ἐστιν ἄγαλμα σωτῆρος, καὶ
Ἀρσινόη κρήνη. τὸ μὲν δὴ ὄνομα ἀπὸ τῆς Λευκίππου θυ-
γατρὸς εἴληφεν, ὑποῤῥεῖ δὲ ἐς αὐτὴν ὕδωρ ἐκ πηγῆς κα-
λουμένης Κλεψύδρας. θεῶν δὲ ἱερὰ Ποσειδῶνος, τὸ δὲ
Ἀφροδίτης ἐστί. καὶ οὗ μάλιστα ἄξιον ποιήσασθαι μνήμην,
ἄγαλμα Μητρὸς θεῶν, λίθου Παρίου, Δαμοφῶντος δὲ
ἔργον, ὃς καὶ τὸν Δία ἐν Ὀλυμπίᾳ, διεστηκότος ἤδη τοῦ
ἐλέφαντος, συνήρμοσεν ἐς τὸ ἀκριβέστατον· καὶ οἱ δεδο-
μέναι τιμαὶ παρὰ Ἠλείων εἰσίν. (6) Δαμοφῶντος δέ ἐστι

voce Euoe nomen inditum ferunt, quum hoc primum in loco et ipse Liber Pater, et quae eum sequebantur foeminae, sic inclamasse credantur. (5) Qui urbem ambiunt muri, toti e lapide structi sunt: ex iis turres et propugnacula, *quo opus est loco*, eminent. Babylonis quidem muros, aut qui Memnonii dicuntur Susis in Perside, neque vidi, neque cuiusmodi sunt, de quoquam, qui ipse viderit, audivi. Quas vero urbes muris munitissimas ipse viderim, Ambrysos est, Phocica; Byzantium et Rhodos; eae tamen murorum munitionibus cum ipsa Messeniorum urbe comparandae non sunt. In foro Iovis est signum Servatoris: et aquae ductus, cui nomen Arsinoe, a Leucippi videlicet filia. Defluit in eum aqua de fonte, quem Clepsydran vocant. Delubra deorum duo, Neptuni et Veneris; et, quod memoria maxime dignum est, Deum matris e Pario lapide signum, Damophontis opus, qui Olympiae etiam Iovem solutis iam eboris compagibus ad unguem exactissime coagmentavit: quare sunt ei *merito* ab Eleis

τούτου καὶ ἡ Λαφρία καλουμένη παρὰ Μεσσηνίοις. σέβε-
σθαι δέ σφισιν ἀπὸ τοιοῦδε αὐτὴν καθέστηκε. Καλυδω-
νίοις ἡ Ἄρτεμις (ταύτην γὰρ θεῶν μάλιστα ἔσεβον) ἐπί-
κλησιν εἶχε Λαφρία. Μεσσηνίων δὲ οἱ λαβόντες Ναύπα-
κτον παρὰ Ἀθηναίων (τηνικαῦτα γὰρ Αἰτωλίας ἐγγύτατα
ᾤκουν), παρὰ Καλυδωνίων ἔλαβον. τὸ σχῆμα ἑτέρωθι
δηλώσω. Τὸ μὲν δὴ τῆς Λαφρίας ἀφίκετο ὄνομα ἔς τε
Μεσσηνίους καὶ ἐς Πατρεῖς Ἀχαιῶν μόνους· Ἐφεσίαν δὲ
Ἄρτεμιν πόλεις τε νομίζουσιν αἱ πᾶσαι, καὶ ἄνδρες ἰδίᾳ
θεῶν μάλιστα ἄγουσιν ἐν τιμῇ. τὰ δὲ αἴτια (ἐμοὶ δοκεῖν)
ἐστὶν Ἀμαζόνων τε κλέος, αἳ φήμην τὸ ἄγαλμα ἔχουσιν
ἱδρύσασθαι, καὶ ὅτι ἐκ παλαιοτάτου τὸ ἱερὸν τοῦτο ἐποιή-
θη. τρία δὲ ἄλλα ἐπὶ τούτοις συνετέλεσεν ἐς δόξαν· μέγε-
θός τε τοῦ ναοῦ, τὰ παρὰ πᾶσιν ἀνθρώποις κατασκευά-
σματα ὑπερηρκότος, καὶ Ἐφεσίων τῆς πόλεως ἡ ἀκμή, καὶ
ἐν αὐτῇ τὸ ἐπιφανὲς τῆς θεοῦ. (7) Πεποίηται δὲ καὶ Εἰ- 358
λειθυίας Μεσσηνίοις ναὸς καὶ ἄγαλμα λίθου. πλησίον δὲ
Κουρήτων μέγαρον, ἔνθα ζῶα τὰ πάντα ὁμοίως καθαγί-

honores habiti. (6) Fecit idem Damophon, quam Laphrian Messenii nuncupant: cuius ob huiusmodi causam sancita est religio. Calydonii Dianam in primis colunt, cognomento Laphrian. Eius caeremonias et cognomen a Calydoniis recepere Messenii, quum, Naupacto ab Atheniensibus accepta, Aetolis essent finitimi. Et tunc quidem Messenii, et ex Achaeis Patrenses duntaxat Laphriae nomen usurparunt. Ephesiam quidem Dianam urbes prope cunctae eodem celebrant cognomine: et privatim viri *omnes* prae ceteris eam diis prosequuntur honoribus. Causae vero sunt ex mea opinione et Amazonum gloria, quas fama fert Deae simulacrum erexisse, et quod ab antiquissimis temporibus templum illud fuerit conditum. Tria praeterea templi celebritatem augent: magnitudo primum, qua cetera omnia hominum opera anteit: Ephesiorum deinde civitatis splendor: et ipsa postremo Deae claritas. (7) Habent Messenii Lucinae etiam delubrum cum marmoreo signo. Proximum est Curetum aedes, in qua cuiusvis generis ani-

ζουσιν. ἀρξάμενοι γὰρ ἀπὸ βοῶν τε καὶ αἰγῶν, καταβαίνουσιν ἐς τοὺς ὄρνιθας, ἀφιέντες ἐς τὴν φλόγα. καὶ Δήμητρος ἱερὸν Μεσσηνίοις ἐστὶν ἅγιον· καὶ Διοσκούρων ἀγάλματα φέροντες τὰς Λευκίππου. καί μοι ταῦτα ἐν τοῖς προτέροις ἐστὶν ἤδη δεδηλωμένα, ὡς οἱ Μεσσήνιοι τοὺς Τυνδάρεω παῖδας ἀμφισβητοῦσιν αὐτοῖς καὶ οὐ Λακεδαιμονίοις προσήκειν. (8) Πλεῖστα δέ σφισι καὶ θέας μάλιστα ἀγάλματα ἄξια τοῦ Ἀσκληπιοῦ παρέχεται τὸ ἱερόν. χωρὶς μὲν γὰρ τοῦ θεοῦ καὶ τῶν παίδων ἐστὶν ἀγάλματα, χωρὶς δὲ Ἀπόλλωνος καὶ Μουσῶν καὶ Ἡρακλέους, πόλις τε ἡ Θηβαίων καὶ Ἐπαμινώνδας ὁ Πολύμνιδος, Τύχη τε καὶ Ἄρτεμις φωσφόρος. τὰ μὲν δὴ τοῦ λίθου Δαμοφῶντος, ὃς εἰργάσατο· Μεσσήνιον δὲ, ὅτι μὴ τοῦτον, ἄλλον γε οὐδένα λόγου ποιήσαντα ἀξίως οἶδα ἀγάλματα· ἡ δὲ εἰκὼν τοῦ Ἐπαμινώνδου ἐκ σιδήρου τέ ἐστι, καὶ ἔργον ἄλλου, οὐ τούτου. (9) Ἔστι δὲ καὶ Μεσσήνης τῆς Τριόπα ναὸς καὶ ἄγαλμα χρυσοῦ καὶ λίθου Παρίου· γραφαὶ δὲ

malia immolant. Facto enim a bobus et capris sacri initio, ad aves descendunt, quas in flammas porriciunt. Magna etiam cum religione Cereris aedes celebratur. *In ea* Gemellorum simulacra *sunt, eo habitu,* quo Leucippi filias rapuere. Est vero superius expositum, controversiam esse Messeniis cum Lacedaemoniis, ab utris Castores oriundi sint. Eos utique sibi Messenii vindicant. (8) Plurima vero, et quae spectentur dignissima habet signa apud Messenios Aesculapii fanum. Seorsum enim dei ipsius, et eius liberorum simulacra; seorsum Musarum, Apollinis, et Herculis posita sunt. Suum inter cetera locum habent urbs Thebana, Epaminondas Cleommidis filius, Fortuna, et Diana Lucifera. Horum quae marmorea sunt, fecit Damophon, quem unum e Messeniis statuarum artificem novimus non indignum, cuius mentio fiat. Epaminondae effigies e ferro est: eam alius omnino opifex fecit, non Damophon. (9) Templum etiam extat Messenes Triopae filiae; cuius ex auro et Pario marmore factum est

κατὰ τοῦ ναοῦ τὸ ὄπισθεν οἱ βασιλεύσαντές εἰσι Μεσσήνης, πρὶν μὲν ἢ στόλον ἀφικέσθαι τῶν Δωριέων ἐς Πελοπόννησον, Ἀφαρεὺς καὶ οἱ παῖδες· κατελθόντων δὲ Ἡρακλειδῶν Κρεσφόντης ἐστὶν, ἡγεμὼν καὶ οὗτος τοῦ Δωρικοῦ· τῶν δὲ οἰκησάντων ἐν Πύλῳ, Νέστωρ, καὶ Θρασυμήδης, καὶ Ἀντίλοχος, προτετιμημένοι παίδων τῶν Νέστορος ἡλικίᾳ, καὶ ἐπὶ Τροίαν μετεσχηκότες τῆς στρατείας· Λεύκιππός τε Ἀφαρέως ἀδελφὸς, καὶ Ἱλάειρά ἐστι καὶ Φοίβη, σὺν δὲ σφισιν Ἀρσινόη. γέγραπται δὲ καὶ Ἀσκληπιὸς, Ἀρσινόης ὢν λόγῳ τῷ Μεσσηνίων, καὶ Μαχάων καὶ Ποδαλείριος, ὅτι ἔργου τοῦ πρὸς Ἰλίῳ καὶ τούτοις μέτεστι. ταύτας τὰς γραφὰς ἔγραψεν Ὀμφαλίων Νικίου τοῦ Νικομήδους μαθητής· οἱ δὲ αὐτὸν καὶ δουλεῦσαι παρὰ τῷ Νικίᾳ, καὶ παιδικὰ γενέσθαι φασὶν αὐτοῦ.

dignum. In postica templi eius parte picti sunt, qui in Messenia regnarunt *omnes* ante Doriensium in Peloponnesum adventum, Aphareus videlicet, et filii. Post Herculis vero filiorum reditum Cresphontes, unus et ipse de Doriensium ducibus. De iis vero, qui Pylum tenuerunt, Nestor, et eius filii Thrasymedes et Antilochus. His enim, quod natu maximi fuere, honos in primis est habitus, eoque maxime, quod bello Troiano interfuerunt. Pictus est etiam Leucippus Apharei frater, et *cum eo* Hilaira, et Phoebe: Arsinoe praeterea, et ipse (Arsinoe natus, uti praedicant Messenii) Aesculapius, et *Aesculapii filii* Machaon et Podalirius. Nam et illorum clarum fuit Troiano bello nomen. Has omnes imagines pinxit Omphalion, Niciae Nicomedis filii discipulus, quem et servisse Niciae, eique in deliciis fuisse nonnulli tradiderunt.

CAPUT XXXII.

De signis Hierothysii ita dicti a Messeniis ac gymnasio et signis in eo — Aethida (heroë) a Messen. culto — Aristomenis sepulcro et sacris, quae ibi fiunt — Aristomene mortuo ad Leuctra pugnante — Thebanorum de Aristomenis clypeo narratio.

359 Τὸ δὲ ὀνομαζόμενον παρὰ Μεσσηνίων Ἱεροθύσιον ἔχει μὲν θεῶν ἀγάλματα, ὁπόσους νομίζουσιν Ἕλληνες, ἔχει δὲ χαλκῆν εἰκόνα Ἐπαμινώνδου. κεῖνται δὲ καὶ ἀρχαῖοι τρίποδες· ἀπύρους αὐτοὺς καλεῖ Ὅμηρος. τὰ δὲ ἀγάλματα ἐν τῷ γυμνασίῳ ποιήματά ἐστιν ἀνδρῶν Αἰγυπτίων, Ἑρμῆς καὶ Ἡρακλῆς τε καὶ Θησεύς. τούτους μὲν δὴ τοῖς πᾶσιν Ἕλλησι καὶ ἤδη τῶν βαρβάρων πολλοῖς περί τε γυμνάσια καὶ ἐν παλαίστραις καθέστηκεν ἔχειν ἐν τιμῇ. (2) Αἰθίδαν δὲ ἐμαυτοῦ πρεσβύτερον ὄντα εὕρισκον. γενομένῳ δέ οἱ χρήμασιν οὐκ ἀδυνάτῳ τιμαὶ παρὰ Μεσσηνίων ὑπάρχουσιν ἅτε ἥρωι. εἰσὶ δὲ τῶν Μεσσηνίων, οἳ τῷ Αἰθίδᾳ χρήματα μὲν γενέσθαι πολλὰ ἔλεγον, οὐ μὲν

Cap. XXXII. Quae vero aedes apud Messenios Hierothysion vocatur, (*quod est ac si dixeris victimarum sacrarium*) habet deorum omnium signa, quorum in Graecia sancitae religiones sunt. Inter ea aenea est Epaminondae effigies. Dedicati etiam sunt tripodes vetusti, quos ἀπύρους (*quasi dicas ignis expertes*) appellat Homerus. Iam vero quae in gymnasio signa sunt, opera Aegyptiorum artificum fuere, Mercurius, Hercules, Theseus. Hos enim tum Graeci universi, tum barbarae nationes multae, exercitationum praesides habent, eosque in palaestris praecipue colunt. (2) Aethidam *in eo signorum numero* comperi, hominem quam ego sum natu maiorem. Huic Aethidae tanquam heroi statuam positam, et honores institutos dicunt, quod egregie pecuniosus fuerit. Fuisse alii praeclaram et luculentam pecuniam Aethidae non negant: pernegant vero eum, cuius erecta fue-

τοι τοῦτόν γε εἶναι τὸν ἐπειργασμένον τῇ στήλῃ, πρόγονον δὲ καὶ ὁμώνυμον ἄνδρα τῷ Αἰθίδᾳ. Αἰθίδαν δὲ τὸν πρότερον ἡγήσασθαι τοῖς Μεσσηνίοις φασὶν, ἡνίκα ἐν τῇ νυκτὶ Δημήτριός σφισιν ὁ Φιλίππου μηδαμῶς ἐλπίσασιν αὐτός τε καὶ ἡ στρατιὰ λανθάνουσιν ἐσελθόντες ἐς τὴν πόλιν. (3) Καὶ Ἀριστομένους δὲ μνῆμά ἐστιν ἐνταῦθα· οὐ κενὸν δὲ εἶναι τὸ μνῆμα λέγουσιν. ἀλλ' ἐρομένου μου τρόπον τε ὅντινα, καὶ ὁπόθεν Ἀριστομένους κομίσαιντο τὰ ὀστᾶ, μεταπέμψασθαι μὲν ἐκ Ῥόδου φασὶ, τὸν δὲ ἐν Δελφοῖς θεὸν τὸν κελεύσαντα εἶναι. πρός τε δὴ τούτοις ἐδίδασκόν με, ὁποῖα ἐπὶ τῷ τάφῳ δρῶσι. ταῦρον, ὅντινα ἐναγίζειν μέλλουσιν, ἀγαγόντες ἐπὶ τὸ μνῆμα, ἔδησαν πρὸς τὸν ἑστηκότα ἐπὶ τῷ τάφῳ κίονα· ὁ δὲ, ἅτε ἄγριος καὶ ἀήθης δεσμῶν, οὐκ ἐθέλει μένειν. θορυβουμένῳ δέ οἱ καὶ σκιρτῶντι, ἢν ὁ κίων κινηθῇ, Μεσσηνίοις ἐστὶν αἴσιον, οὐ κινηθέντος δὲ, ἀσύμφορα ἐπαγγέλλει τὸ σημεῖον. (4) Παραγενέσθαι δὲ Ἀριστομένην καὶ τῷ περὶ Λεῦκτρα ἀγῶνι ἐθέλουσιν, οὐ μετὰ ἀνθρώπων ἔτι ὄντα,

rit super columna statua, divitem illum Aethidam fuisse, sed ei cognominem, quo duce Messenii olim Demetrium Philippi filium, quum noctu subito impetu Messenen oppressisset, repulere. (3) In eodem gymnasio Aristomenis visitur monumentum: quod sane esse inane, *atque honorarium duntaxat*, negant. Et percunctanti quidem mihi, quonam modo eius, *qui Rhodi mortuus dicatur*, ossa in eo monumento condita credi possit, responsum est, Pythii Apollinis iussu in patriam reportata: et insuper sacri, quod ad eum tumulum solenni ritu fiat, mihi caeremonias exposuerunt. *Eae huiusmodi sunt.* Arae destinatum taurum ad pilam non procul a sepulcro alligant. Is quum ferox et vinculorum sit insolens, evadere conatur: quod si, dum tumultuatur et exilit, pila moveatur, secundum id est Messeniis omen: sin prorsus inmota ea pila steterit, calamitatem sibi aliquam portendi interpretantur. (4) Interfuisse vero Aristomenem, postquam ex hominum coetu excessit, etiam Leuctricae pugnae, et auxilio Theba-

καὶ ἀμῦναί τε αὐτόν φασι Θηβαίοις, καὶ μάλιστα γενέσθαι τοῦ ἀτυχήματος Λακεδαιμονίοις αἴτιον. ἐγὼ δὲ Χαλδαίους καὶ Ἰνδῶν τοὺς μάγους πρώτους οἶδα εἰπόντας, ὡς ἀθάνατός ἐστιν ἀνθρώπου ψυχή. καί σφισι καὶ Ἑλλήνων ἄλλοι τε ἐπείσθησαν, καὶ οὐχ ἥκιστα Πλάτων ὁ Ἀρίστωνος. εἰ δὲ ἀποδέχεσθαι καὶ οἱ πάντες ἐθελήσουσιν, ἐκεῖνό γε ἀντειπεῖν οὐκ ἔνεστι, μὴ οὐ τὸν πάντα αἰῶνα Ἀριστομένει τὸ μῖσος τὸ ἐς Λακεδαιμονίους ἐνεστάχθαι. (5) Ἃ δὲ αὐτὸς ἤκουσα ἐν Θήβαις, εἰκὸς μέν τι παρείχετο ἐς τὸν Μεσσηνίων λόγον, οὐ μὴν παντάπασί γέ ἐστιν αὐτοῖς ὡμολογηκότα. φασὶ δὲ οἱ Θηβαῖοι, μελλούσης τῆς μάχης ἔσεσθαί σφισιν ἐν Λεύκτροις, ἐς ἄλλα τε ἀποστεῖλαι χρηστήρια, καὶ ἐρησομένους τὸν ἐν Λεβαδείᾳ θεόν. λέγεται μὲν οὖν καὶ τὰ παρὰ τοῦ Ἰσμηνίου καὶ τοῦ Πτώου, πρὸς δὲ τὰ ἐν Ἄβαις τε χρησθέντα καὶ τὰ ἐν Δελφοῖς. Τροφώνιον δέ φασιν εἰπεῖν ἐξαμέτρῳ·

Πρὶν δορὶ συμβαλέειν ἐχθροῖς, στήσασθε τρόπαιον,

nis fuisse, et eius maxime opera magna ista clade afflictos Lacedaemonios praedicant. Enimvero primos omnium Chaldaeos, et Indorum magos memoriae prodidisse novi, esse hominum animos immortales. Assensi deinde sunt eis tum alii Graecorum, tum omnium maxime Aristonis filius Plato. Id si communi hominum opinione comprobetur, facile et illud credi possit, Aristomenis in Lacedaemonios odium in omne posterum tempus perdurasse. (5) Non alienum certe est a Messeniorum oratione, quod aliquando de Thebanis audivi, etsi non congruit omni ex parte utriusque gentis sermo. Aiunt itaque Thebani, quum prope esset ut cum hoste ad Leuctra congrederentur, missos qui et alia oracula, et eum, qui in Lebadea colitur, deum consulerent: et sane ab Ismenio, Ptoo, Abis, Delphis missa responsa commemorantur. Quae vero senariis heroicis vaticinatus fuerit Trophonius, haec perhibentur:

Ne petite ante hostem, sacrum quam cura tropaeum

Ἀσπίδα κοσμήσαντες ἐμὴν, τὴν εἵσατο νηῷ
Θοῦρος Ἀριστομένης Μεσσήνιος. αὐτὰρ ἐγώ τοι
Ἀνδρῶν δυσμενέων φθίσω στρατὸν ἀσπιστάων.

ἀφικομένου δὲ τοῦ χρησμοῦ, δεηθῆναι Ξενοκράτους λέγουσιν Ἐπαμινώνδαν. ὁ δὲ τήν τε ἀσπίδα μεταπέμπεται τοῦ Ἀριστομένους, καὶ ἐκόσμησεν ἀπ' αὐτῆς τρόπαιον, ὅθεν τοῖς Λακεδαιμονίοις ἔσεσθαι σύνοπτον ἔμελλεν. ᾔδεσαν δὲ ἄρα τὴν ἀσπίδα οἱ μὲν αὐτῶν ἐν Λεβαδείᾳ καθ' ἡσυχίαν ἑωρακότες, ἀκοῇ δὲ καὶ πάντες. ὡς δὲ ἐγένετο ἡ νίκη Θηβαίοις, ἀποδιδόασιν αὖθις τῷ Τροφωνίῳ τὸ ἀνάθημα. Ἀριστομένους δὲ καὶ χαλκοῦς ἀνδριάς ἐστιν ἐν τῷ Μεσσηνίων σταδίῳ. τοῦ θεάτρου δὲ οὐ πόῤῥω Σαράπιδός ἐστι καὶ Ἴσιδος ἱερόν.

Sit vobis posuisse. Hic scutum ornate, quod acer
Fixit Aristomenes Messenius. Ipse inimicas
Scutatorum acies, infestaque tela refringam

Accepto oraculo impetrasse a Xenocrate precibus Epaminondam tradunt, ut Aristomenis clypeum accerseret; illumque ad tropaei, quod erexerat eo loco, unde posset a Lacedaemoniis conspici, insignia atque ornamenta addidisse. Norant Lacedaemonii fixum in Lebadea scutum Aristomenis. Nam et multi per otium ad Trophonii profecti illud fuerant conspicati, et plane omnes ita esse audierant. Parta vero victoria suum Trophonio donum Thebani restituere. Est etiam in stadio posita ex aere Aristomeni statua. A theatro non procul Serapidis et Isidis fanum est.

CAPUT XXXIII.

De acropoli Messeniorum et fonte Clepsydra — Messeniis incunabula Jovis sibi vindicantibus, et Ithome ac Neda, nutricibus Jovis — signo et cultu Jovis Ithomatae — Mercurii signo Atticae formae, fluvio Balyra et Thamyride — campis Stenyclericis, luco Carnasio et signis in eo — reliquiis Andaniae et Electra ac Coeo fluviis — reliquiis urbis Dorii et Thamyridis calamitate.

361 Ἐς δὲ τὴν κορυφὴν ἐρχομένῳ τῆς Ἰθώμης, ὃ δὴ Μεσσηνίοις ἐστὶν ἀκρόπολις, πηγὴ Κλεψύδρα γίνεται. (2) Πάντας μὲν οὖν καταριθμήσασθαι καὶ προθυμηθέντι ἄπορον, ὁπόσοι θέλουσι γενέσθαι καὶ τραφῆναι παρὰ σφίσι Δία. μέτεστι δ' οὖν καὶ Μεσσηνίοις τοῦ λόγου· φασὶ γὰρ καὶ οὗτοι τραφῆναι παρὰ σφίσι τὸν θεόν, Ἰθώμην δὲ εἶναι καὶ Νέδαν τὰς θρεψαμένας, κεκλῆσθαι δὲ ἀπὸ μὲν τῆς Νέδας τὸν ποταμόν, τὴν δὲ ἑτέραν τῷ ὄρει τὴν Ἰθώμην δεδωκέναι τὸ ὄνομα. ταύτας δὲ τὰς νύμφας τὸν Δία, κλαπέντα ὑπὸ Κουρήτων διὰ τὸ ἐκ τοῦ πατρὸς δεῖμα, ἐνταῦθα λοῦσαι λέγουσι, καὶ τὸ ὄνομα εἶναι τῷ ὕδατι ἀπὸ τῶν Κουρήτων τῆς κλοπῆς. φέρουσί τε ἀνὰ πᾶσαν ἡμέραν ὕδωρ ἀπὸ τῆς πηγῆς ἐς τοῦ Διὸς τοῦ Ἰθωμάτα τὸ ἱερόν. (3) Τὸ δὲ ἄγαλμα τοῦ Διὸς Ἀγελάδα μέν ἐστιν ἔρ-

Cap. XXXIII. Ascendentibus ad Ithomes iugum, ubi est Messeniorum arx, fons, cui Clepsydra nomen, manat. (2) Longum esset et difficile, ut maxime propositum id quis haberet, populos enumerare, qui Iovem apud se natum et educatum affirmant. Nam et Messenii Iovis incunabula sibi vindicant, eiusque nutrices nominant Nedam, a qua fluvius, et Ithomen, a qua mons nomen acceperit. Has quidem Nymphas surreptum a Curetibus Iovem, ob Saturni metum, in hoc aiunt fonte lavasse, et ab eo Curetum furto aquae nomen inditum. Singulis certe diebus aquam ex eo fonte in Iovis Ithomatae templum ferunt. (3) Signum Iovis fecit Ageladas

γον, ἐποιήθη δὲ ἐξ ἀρχῆς τοῖς οἰκήσασιν ἐν Ναυπάκτῳ Μεσσηνίων. ἱερεὺς δὲ αἱρετὸς κατὰ ἔτος ἕκαστον· ἔχει δὲ τὸ ἄγαλμα ἐπὶ τῆς οἰκίας. ἄγουσι δὲ καὶ ἑορτὴν ἐπέτειον Ἰθωμαῖα· τὸ δὲ ἀρχαῖον καὶ ἀγῶνα ἐτίθεσαν μουσικῆς. τεκμαίρεσθαι δ' ἔστιν ἄλλοις τε καὶ Εὐμήλου τοῖς ἔπεσιν. ἐποίησε γοῦν καὶ τάδε ἐν τῷ προσοδίῳ τῷ ἐς Δῆλον·

Τῷ γὰρ Ἰθωμάτᾳ καταθύμιος ἔπλετο μοῖσα,
Ἁ καθαρὰ καὶ ἐλεύθερα ἄσματ' ἔχουσα.

οὐκοῦν ποιῆσαί μοι δοκεῖ τὰ ἔπη, καὶ μουσικῆς ἀγῶνα ἐπιστάμενος τιθέντας. (4) Ἰόντι δὲ τὴν Ἀρκαδίας ἐς Μεγάλην πόλιν ἐστὶν ἐν ταῖς πύλαις Ἑρμῆς, τέχνης τῆς Ἀττικῆς· Ἀθηναίων γὰρ τὸ σχῆμα τὸ τετράγωνόν ἐστιν ἐπὶ τοῖς Ἑρμαῖς, καὶ παρὰ τούτων μεμαθήκασιν οἱ ἄλλοι. σταδίους δὲ καταβάντι ἀπὸ τῶν πυλῶν τριάκοντα, τὸ ῥεῦμά ἐστι τῆς Βαλύρας. γενέσθαι δὲ τὸ ὄνομα τῷ ποταμῷ λέ- 362
γουσι, Θαμύριδος τὴν λύραν ἐνταῦθα ἀποβαλόντος ἐπὶ τῇ πηρώσει· παῖδα δὲ αὐτὸν Φιλάμμωνος καὶ Ἀργιόπης

iis olim Messeniis, qui Naupacti consederunt. Domi suae illud servat sacerdos annuus. Agitant vero et festos anniversarios dies: Ithomaea nuncupant. Ludos etiam priscis temporibus musicos institutos fuisse, et aliunde, et ex Eumeli versibus licet coniicere, quos in Delum prolusit:

Grata etenim semper tibi, Iupiter incola Ithames,
Musa fuit, puro quae gaudet libera cantu.

Videtur ergo mihi Eumelus et versus istos fecisse, et musicum certamen *a Messeniis* institutum nosse. (4) Qua ad Arcadiae urbem Megalopolin egressus patet, in ipsa porta Mercurii signum, Attici operis. Athenienses enim quadrangula figura Hermas fecere: et eam ab illis alii Graeciae populi acceptam formam in Mercurii sigillis usurparunt. Abest a porta stadia ferme xxx Balyra amnis. Nominis eam putant fuisse causam, quod ibi captus oculis Thamyris lyram abiecerit. Philammone et Argiopa Nympha genitum Thamyrin fama vul-

τῆς νύμφης εἶναι. τὴν δὲ Ἀργιόπην τέως μὲν περὶ τὸν Παρνασσὸν οἰκεῖν, ἐπεὶ δὲ εἶχεν ἐν γαστρὶ, ἐς Ὀδρύσας λέγουσι μετοικῆσαι· Φιλάμμωνα γὰρ οὐκ ἐθέλειν ἐς τὸν οἶκον αὐτὴν ἄγεσθαι. καὶ Θάμυριν μὲν Ὀδρύσην τε καὶ Θρᾷκα ἐπὶ τούτῳ καλοῦσιν. ἡ δὲ Λευκασία καὶ Ἄμφιτος συμβάλλουσιν ἐς τὸ αὐτὸ τὰ ῥεύματα. (5) Διαβάντι δὲ τούτους, πεδίον ἐστὶν ὀνομαζόμενον Στενυκληρικόν· εἶναι δὲ ἥρωα Στενύκληρον λέγουσι. τοῦ πεδίου δέ ἐστιν ἀπαντικρὺ καλουμένη τὸ ἀρχαῖον Οἰχαλία, τὸ δὲ ἐφ' ἡμῶν Καρνάσιον ἄλσος, κυπαρίσσων μάλιστα πλῆρες. Θεῶν δὲ ἀγάλματα, Ἀπόλλωνός ἐστι Καρνείου, καὶ Ἑρμῆς φέρων κριόν· ἡ δὲ ἁγνὴ Κόρη τῆς Δήμητρός ἐστιν ἐπίκλησις· ὕδωρ δὲ ἄνεισιν ἐκ πηγῆς παρ' αὐτὸ τὸ ἄγαλμα. τὰ δὲ ἐς τὰς θεὰς τὰς μεγάλας (δρῶσι γὰρ καὶ ταύταις ἐν Καρνασίῳ τὴν τελετὴν) ἀπόῤῥητα ἔστω μοι· δευτέρα γάρ σφισι νέμω σεμνότητος μετά γε Ἐλευσίνια. ὅτι δ' ὑδρία τε ἡ χαλκῆ τὸ εὕρημα τοῦ Ἀργείου στρατηγοῦ, καὶ Εὐρύτου τοῦ Μελανέως τὰ ὀστᾶ ἐφυλάσσετο ἐνταῦθα, δηλῶσαί

gavit: Argiopam Parnassi fuisse incolam; quum vero iam uterum ferret, in Odrysas migrasse, recusante puellae nuptias Philammone. Eo evenit, ut Odrysen ac Thraca Thamyrin vocent. *In hunc fluvium* alii duo confluunt, Leucasia et Amphitus. (5) Trans eos amnes campi sunt, qui Stenyclerici nominantur. Heroem aiunt fuisse Stenyclerum. E campi eius regione *vicus est*; prisci Oechaliam, Carnasium lucum aetas nostra appellat. In eo densissima cupressorum sylva est. Signa deorum *ibi posita*, Apollinis Carnei, et Mercurius arietem portans. Est et Proserpinae Cereris filiae, quae cognomento Casta puella dicitur. Prope illud simulacrum aqua e scatebris profluit. Quo vero Deabus magnis ritu operentur, (nam in Carnasio sua illis quoque celebrantur initia) facile in arcanis esse patior. Haec certe initia secundum Eleusinia praecipuam quandam mihi sanctimoniam habere videntur. In ea quidem aerea urnula, quam dux Argivus a se compertam protulit, Euryti Melanei filii ossa servari,

με καὶ ἐς ἅπαντας οὐκ ἀπεῖργε τὸ ὄνειρον. ῥεῖ δὲ ποταμὸς παρὰ τὸ Καρνάσιον Χάραδρος. (6) Καὶ προελθόντι ἐν ἀριστερᾷ σταδίους ὀκτὼ μάλιστα, ἐρείπιά ἐστιν Ἀνδανίας. καὶ ὅτι μὲν τῇ πόλει τὸ ὄνομα ἀπὸ γυναικὸς γέγονεν Ἀνδανίας, ὁμολογεῖται ὑπὸ τῶν ἐξηγητῶν· οὐ μὴν
τά γε ἐς τοὺς γονέας αὐτῆς, οὐδ' ὅτῳ συνῴκησεν, ἔχω λέ- 363
γειν. ἰόντων δὲ ὡς ἐπὶ Κυπαρισσιὰς ἀπὸ Ἀνδανίας, Πολίχνη τέ ἐστι καλουμένη, καὶ ποταμὸς Ἠλέκτρα καὶ Κοῖος ῥέουσι. τάχα δ' ἄν τινα καὶ λόγον ἐς Ἠλέκτραν τὴν Ἄτλαντος λέγοιεν καὶ ἐς Κοῖον τὸν Λητοῦς πατέρα· ἢ καὶ τῶν ἐπιχωρίων ἡρώων εἶεν Ἠλέκτρα τε καὶ Κοῖος. (7) Διαβάντων δὲ Ἠλέκτραν, Ἀχαΐα τε ὀνομαζομένη πηγὴ καὶ πόλεώς ἐστιν ἐρείπια Δωρίου. πεποίηκε δὲ Ὅμηρος μὲν, Θαμύριδι ἐνταῦθα ἐν τῷ Δωρίῳ γενέσθαι τὴν συμφορὰν, ὅτι καὶ αὐτὰς Μούσας νικήσειν ἔφασκεν ᾀδούσας. Πρόδικος δὲ Φωκαεὺς (εἰ δὴ τούτου τὰ ἐς τὴν Μινυάδα ἔπη) προσκεῖσθαί φησι Θαμύριδι ἐν ᾅδου δίκην τοῦ ἐς τὰς

nulla vel in vulgus prodere somnii religione prohibeor. Labitur prope Carnasium amnis Charadrus. (6) Ad laevam ad stadia ferme octo progressis Andaniae sunt ruinae. Et sane urbi ab Andania puella nomen impositum, est omnium antiquitatis interpretum consensu receptum. Quibus vero orta sit parentibus, aut cuinam nupta fuerit, non habeo dicere. Ab Andania qui Cyparissias versus iter habent, per oppidulum transeant Electram; quod eodem nomine amnis, et item Coeus praeterfluunt. Haec certe nomina vel ad Electram Atlantis, et Coeum Latonae patrem referri possint; vel forte sumta fuere ab indigenis heroibus Electra et Coeo. (7) Qui ab Electra abierit ad fontem, qui nomen Achaia, rudera videat Dorii urbis. In hac urbe Thamyridi oculorum calamitatem contigisse versibus testatum suis Homerus reliquit, quod scilicet Musas ipsas cantu se superaturum fuisset gloriatus. At Phocaensis Prodicus (hujus modo si sunt in Minyadem conscripta carmina) poenas Thamyridi suae in Musas pe-

Μούσας αὐχήματος. διεφθάρη δὲ ὁ Θάμυρις (ἐμοὶ δοκεῖν) ὑπὸ νόσου τοὺς ὀφθαλμούς. τὸ δὲ αὐτὸ καὶ Ὁμήρῳ συνέπεσεν ὕστερον. ἀλλ' ὁ μὲν καὶ ἐς ἅπαν διετέλει ποιῶν· οὐ γάρ τι εἶκε τῇ συμφορᾷ· Θάμυρις δὲ καὶ τὴν ᾠδὴν ὑπὸ κακοῦ τοῦ παρόντος ἐξέλιπεν.

CAPUT XXXIV.

De Pamiso fluvio et piscibus animalibusque variis fluviis peculiaribus — urbe Corone, agro Inûs sacro, Biante fluv. et Plataneti fonte — urbis Corones denominatione et memorandis — de prisco Apollinis Corynthi templo ad mare — oppido Colonides dicto — Asinaeis et Dryopibus — Asine urbe et aliis locis.

Ἐκ δὲ Μεσσήνης ὑπὸ τοῦ Παμίσου τὸ στόμα ὁδὸς μὲν σταδίων ἐστὶν ὀγδοήκοντα. ῥεῖ δὲ ὁ Πάμισος διά τε ἀρουμένης καὶ καθαρὸς, καὶ ἀναπλεῖται ναυσὶν ἐκ θαλάσσης ἐπὶ δέκα που σταδίους. ἀναθέουσι δὲ ἐς αὐτὸν καὶ οἱ θαλάσσιοι τῶν ἰχθύων, περὶ ὥραν μάλιστα τοῦ ἦρος. τὸ δὲ αὐτὸ ἔς τε Ῥῆνόν τε καὶ ἐς τὸν Μαίανδρον ποιοῦσιν οἱ ἰχθύς· μάλιστα δὲ ἀνὰ τὸ ῥεῦμα τὸ Ἀχελῴου νήχονται, τοῦ ἐκδιδόντος κατὰ νήσους τὰς Ἐχινάδας. διάφοροι δὲ τὸ εἶδος

tulantiae apud inferos propositas scripsit. Ego vero ex morbo luminibus captum Thamyrin crediderim, quum idem etiam post Homero acciderit; qui tamen infortunio non succubuit, neque idcirco, quae instituerat, non perfecit. At malo victus Thamyris, prorsus desiit carmina facere.

Cap. XXXIV. A Messene sub Pamisi ostium via excurrit ad stadia LXXX. Per arva labitur Pamisus, purus tamen ac limpidus, navesque e mari per eundem adscendere possunt ad decem circiter stadia. Quin et marini eum subeunt pisces, vere potissimum appetente: quod ipsum in Rheno et Maeandro evenit. Maxime vero in Acheloi flumen innatant, qua circa Echinadas insulas erumpit: alia tamen longe forma

μάλιστα ἰχθῦς ἀναθέουσιν ἐς τὸν Πάμισον, ἅτε ἐς ὕδωρ 364
καθαρὸν, καὶ οὐ κατὰ τὰ αὐτὰ τοῖς καταλεγμένοις ποταμοῖς ἰλυῶδες. οἱ κέφαλοι δὲ, ἅτε ἰχθύων ὄντες τῶν πηλαίων, ποταμῶν φίλοι τῶν θολερωτέρων εἰσί. θηρία δὲ ἐς ὄλεθρον ἀνθρώπων οὐ πεφύκασιν οἱ Ἑλλήνων ποταμοὶ φέρειν, καθάπερ γε Ἰνδὸς καὶ Νεῖλος ὁ Αἰγύπτιος, ἔτι δὲ Ῥῆνος καὶ Ἴστρος, Εὐφράτης τε καὶ Φᾶσις. οὗτοι γὰρ δὴ θηρία ὁμοίως τοῖς μάλιστα ἀνθρωποφάγα αὔξουσι, ταῖς ἐν Ἕρμῳ καὶ Μαιάνδρῳ γλανίσιν ἐοικότα ἰδέας, πλὴν χρόας τε μελαντέρας καὶ ἀλκῆς· ταῦτα δὲ αἱ γλάνεις ἀποδέουσιν. ὁ δὲ Ἰνδὸς καὶ ὁ Νεῖλος κροκοδείλους μὲν ἀμφότεροι, Νεῖλος δὲ παρέχεται καὶ ἵππους, οὐκ ἔλασσον ἢ ὁ κροκόδειλος κακὸν ἀνθρώποις. τοῖς δὲ Ἑλλήνων ποταμοῖς δείματα ὡς ἀπὸ θηρίων εἰσὶν οὐδένα· ἐπεὶ καὶ Ἀώῳ, τῷ διὰ τῆς Θεσπρωτίδος ῥέοντι ἠπείρου, θηρία οὐ ποτάμια οἱ κύνες, ἀλλὰ ἐπήλυδές εἰσιν ἐκ θαλάττης. (2) Κορώνη δέ ἐστι πόλις ἐν δεξιᾷ τοῦ Παμίσου, πρὸς θαλάσσῃ τε καὶ ὑπὸ τῷ ὄρει Τημαθίᾳ. κατὰ δὲ τὴν ὁδὸν

sunt, quos Pamisus recipit, et omnino quales esse par est, quos purae alunt aquae, neque omnino lutulentae, uti eorum amnium sunt, quos paulo ante nominavimus. Capitones quidem, quum de genere sint in limo degentium, turbulentis amnibus gaudent. Maleficas certe bestias non alunt Graeciae flumina, sicuti Indus, Nilus Aegyptius, Rhenus, Ister, Euphrates, Phasis: hi enim eiusmodi alunt belluas, quae ut quaevis aliae devoratilis hominibus inhiant; specie vero accedunt ad eas, quae in Hermo et Maeandro degunt, glanides; sed colore sunt nigriore ac robore maiore; his enim duabus rebus glanides illis belluis sunt inferiores. Indus et Nilus crocodilos uterque habent: sed Nilus fluviales etiam equos, haud minus illos quidem infensos, quam crocodili sint. At Graeciae flumina haec bestiarum portenta non gignunt. Nam qui in Acheloo, qui per Thesprotidem labitur, sunt canes, advenae e mari influunt. (2) Est ad Pamisi dexteram Corone urbs maritima, sub Temathia monte. In hac eadem via

ταύτην ἐστὶν ἐπὶ θαλάσσῃ χωρίον, καὶ Ἰνοῦς ἱερὸν εἶναι νομίζουσιν. ἐπαναβῆναι γὰρ ἐνταῦθα ἐκ θαλάσσης φασὶν αὐτήν, θεόν τε ἤδη νομιζομένην καὶ Λευκοθέαν καλουμένην ἀντὶ Ἰνοῦς. προελθόντων δὲ οὐ πολύ, Βίας ἐκδίδωσιν ἐς θάλασσαν ποταμός· γενέσθαι δὲ αὐτῷ λέγουσι τὸ ὄνομα ἀπὸ Βίαντος τοῦ Ἀμυθάονος. καὶ Πλατανιστῶνος δὲ ἡ πηγὴ σταδίους μὲν εἴκοσίν ἐστιν ἀπωτέρω τῆς ὁδοῦ· ῥεῖ δὲ ἐκ πλατάνου τὸ ὕδωρ πλατείας καὶ τὰ ἐντὸς κοίλης κατὰ σπήλαιον μάλιστά που μικρὸν τὸ εὖρός ἐστι τοῦ δέν-
365 δρου, καὶ τὸ ὕδωρ αὐτόθεν ἐς Κορώνην τὸ πότιμον κάτεισι. (3) Τὸ μὲν δὴ ὄνομα τὸ ἀρχαῖον εἶχεν Αἴπεια· ἐπεὶ δὲ ὑπὸ Θηβαίων κατήχθησαν ἐς Πελοπόννησον, Ἐπιμηλίδην φασὶν ἀποσταλέντα οἰκιστὴν καλέσαι Κορώνειαν· εἶναι γὰρ αὐτὸν ἐκ Κορωνείας τῆς Βοιωτῶν· τοὺς δὲ Μεσσηνίους ἐξ ἀρχῆς τε οὐ κατορθοῦν περὶ τὸ ὄνομα, καὶ μᾶλλον ἔτι ἀνὰ χρόνον ἐκνικῆσαι τὸ ἐκείνων ἁμάρτημα. λέγεται δὲ καὶ ἕτερος λόγος, ὡς τοῦ τείχους τὰ θεμέλια ὀρύσσοντες ἐπιτύχοιεν κορώνῃ χαλκῇ. θεῶν δὲ ἔστιν ἐνταῦθα

vicus maritimus est, quem Inus sacrum putant. Hic enim e mari emersisse Ino dicunt, quum Leucothea coepta nominari, in dearum iam fuisset numerum relata. Paulo hinc longius Bias amnis in mare exit. Nomen ei impositum creditur a Biante Amythaonis filio. Iam stadia prope xx procul a via abest Plataneti fons: aqua e patula profluit platano et intus cavernosa. Arboris latitudo similis fere est speluncae parvae, et descendit aqua potu suavis ad Coronen usque. (3) Urbs prisco nomine Aepea vocabatur: postea vero quam Thebanorum ducta restituti sunt Messenii, Epimelidem tradunt, qui ad urbem condendam fuerat missus, Coroneam appellasse, quod ipse ex Coronea Boeotiae urbe oriundus esset: sed ab initio Messenios non recte eam nominasse, et eam nominis depravationem ipso tempore invaluisse. Est et illud fama vulgatum: quum fossa locandis fundamentis duceretur, aeream cornicem repertam. Delubra illic extant Dianae nu-

Ἀρτέμιδός τε καλουμένης παιδοτρόφου, καὶ Διονύσου; καὶ Ἀσκληπιοῦ ναός. τῷ μὲν δὴ Ἀσκληπιῷ καὶ Διονύσῳ λίθου, Διὸς δὲ σωτῆρος χαλκοῦν ἄγαλμα ἐπὶ τῆς ἀγορᾶς πεποίηται. χαλκοῦν δὲ καὶ ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς τὸ ἄγαλμά ἐστιν ἐν ὑπαίθρῳ, κορώνην ἐν τῇ χειρὶ ἔχουσα. εἶδον δὲ καὶ τοῦ Ἐπιμηλίδου μνῆμα. ἐφ' ὅτῳ δὲ τὸν λιμένα Ἀχαιῶν καλοῦσιν, οὐκ οἶδα. (4) Ἐκ Κορώνης δὲ ὡς ὀγδοήκοντα σταδίους προελθόντι, Ἀπόλλωνός ἐστιν ἱερὸν πρὸς θαλάσσῃ τιμὰς ἔχον· ἀρχαιότατόν τε γὰρ λόγῳ τῷ Μεσσηνίων ἐστὶ, καὶ νοσήματα ὁ θεὸς ἰᾶται· Κόρυνθον δὲ Ἀπόλλωνα ὀνομάζουσι. τοῦτο μὲν δὴ ξόανον, τοῦ Ἀργέω δὲ χαλκοῦν ἐστι τὸ ἄγαλμα· ἀναθεῖναι δέ φασι τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας. (5) Τῇ Κορωναίων δὲ πόλει ἐστὶν ὅμορος Κολωνίδες. οἱ δὲ ἐνταῦθα οὐ Μεσσήνιοί φασιν εἶναι, ἀλλὰ ἐκ τῆς Ἀττικῆς ἀγαγεῖν σφᾶς Κόλαινον λέγουσι, Κολαίνῳ δὲ κόρυδον τὴν ὄρνιθα ἐκ μαντεύματος ἐς τὴν ἀποικίαν ἡγήσασθαι. ἔμελλον δὲ ἄρα διάλεκτόν τε ἀνὰ χρόνον καὶ ἔθη μεταμαθήσεσθαι τὰ Δωριέων. κεῖται

tricis cognomento, (*Paedotrophon ipsi dicunt*) Liberi Patris, et Aesculapii: et horum quidem signa e marmore. Iovis in foro Servatoris ex aere simulacrum est. Aeneum est et Minervae in arce sub divo, cornicem manu tenens. Vidi etiam Epimelidae sepulcrum. Qua vero de causa portum Achaeorum appellent, compertum non habeo. (4) A Corone stadia prope octoginta progressis, Apollinis templum in ora maritima est magna religione percelebre. Nam et *omnium* esse antiquissimum autumant Messenii, et deus ipse (quem Corynthum Apollinem nominant) *certam* laborantibus morborum opem impertit. Signa duo visuntur: e ligno unum, quod Argeus fecit: ex aere alterum, quod ab Argonautis dedicatum credunt. (5) Coronaeorum urbi finitimae sunt Colonides. Negant vero qui illic habitant, se Messenios esse, sed ex Attica se terra huc a Colaeno deductos aiunt: ipsum Colaenum, galeritam ex oraculo secutum, in ea loca venisse: procedente deinde tempore linguam et mores Doriensium ac-

δὲ τὸ πόλισμα αἱ Κολωνίδες ἐπὶ ὑψηλοῦ, μικρὸν ἀπὸ θαλάσσης. (6) Ἀσιναῖοι δὲ τὸ μὲν ἐξ ἀρχῆς Λυκωρείταις ὅμο-
366 ροι περὶ τὸν Παρνασσὸν ᾤκουν. ὄνομα δὲ ἦν αὐτοῖς, ὃ δὴ καὶ ἐς Πελοπόννησον διεσώσαντο, ἀπὸ τοῦ οἰκιστοῦ Δρύοπες. γενεᾷ δὲ ὕστερον τρίτῃ, βασιλεύοντος Φύλαντος, μάχῃ τε οἱ Δρύοπες ὑπὸ Ἡρακλέους ἐκρατήθησαν, καὶ τῷ Ἀπόλλωνι ἀνάθημα ἤχθησαν ἐς Δελφούς. ἀναχθέντες δὲ ἐς Πελοπόννησον, χρήσαντος Ἡρακλεῖ τοῦ θεοῦ, πρῶτα μὲν τὴν πρὸς Ἑρμιόνῃ Ἀσίνην ἔσχον· ἐκεῖθεν δὲ ἐκπεσόντες ὑπὸ Ἀργείων, οἰκοῦσιν ἐν τῇ Μεσσηνίᾳ Λακεδαιμονίων δόντων, καὶ, ὡς ἀνὰ χρόνον οἱ Μεσσήνιοι κατήχθησαν, οὐ γενομένης σφίσιν ὑπ' αὐτῶν ἀναστάτου τῆς πόλεως. Ἀσιναῖοι δὲ αὐτοὶ περὶ σφῶν οὕτω λέγουσι· κρατηθῆναι μὲν ὑπὸ Ἡρακλέους μάχῃ συγχωροῦσιν, ἁλῶναί τε τὴν ἐν τῷ Παρνασσῷ πόλιν· αἰχμάλωτοι δὲ γενέσθαι καὶ ἀχθῆναι παρὰ τὸν Ἀπόλλωνα, οὔ φασι, ἀλλ', ὡς ἡλίσκετο ὑπὸ τοῦ Ἡρακλέους τὸ τεῖχος, ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀναφυγεῖν ἐς τὰ ἄκρα τοῦ Παρνασσοῦ· δια-

cepisse. Sitae sunt Colonides eminenti loco, modico spatio procul a mari. (6) At Asinaei Lycoritis olim finitimi, Parnassi accolae fuere. Nomen illis tunc fuit Dryopes, quod et in Peloponnesum postea traducti retinuerunt, sumtum scilicet a Dryope conditore. Tribus vero post aetatibus, quum, Phylante regnum obtinente, praelio ab Hercule victi, Delphos abducti, et Apollini devoti fuissent, ex eiusdem dei responso in Peloponnesum ab Hercule deducti, Asinen primum prope Hermionen tenuerunt; inde ab Argivis eiecti, Messeniae partem a Lacedaemoniis acceptam habitarunt. Ac Messenii quidem in Peloponnesum postliminio reversi, facile eorum civitatem incolumem esse passi sunt. De rebus vero suis ita ipsi commemorant Asinaei, ut ab Hercule se fuisse praelio superatos fateantur, et urbem suam in Parnasso captam: captivos vero se ad Apollinis pertractos negant. Muris enim expugnatis ab Hercule, deserto oppido se diffugisse

βάντες δὲ ὕστερον ναυσὶν ἐς Πελοπόννησον, γενέσθαι φα-
σὶν Εὐρυσθέως ἱκέται, καὶ σφισιν Εὐρυσθέα, ἅτε ἀπε-
χθανόμενον τῷ Ἡρακλεῖ, δοῦναι τὴν ἐν τῇ Ἀργολίδι Ἀσί-
νην. μόνοι δὲ τοῦ γένους τῶν Δρυόπων οἱ Ἀσιναῖοι σε-
μνύνονται καὶ ἐς ἡμᾶς ἔτι τῷ ὀνόματι, οὐδὲν ὁμοίως καὶ
Εὐβοέων οἱ Στύρα ἔχοντες. εἰσὶ γὰρ καὶ οἱ Στυρεῖς Δρύο-
πες τοεξαρχῆς, ὅσοι τῆς πρὸς τὸν Ἡρακλέα οὐ μετέσχον
μάχης, ἀπωτέρω τῆς πόλεως ἔχοντες τὰς οἰκήσεις. ἀλλὰ
οἱ μὲν Στυρεῖς καλεῖσθαι Δρύοπες ὑπερφρονοῦσι, καθά-
περ καὶ οἱ Δελφοὶ πεφεύγασιν ὀνομάζεσθαι Φωκεῖς. Ἀσι-
ναῖοι δὲ Δρύοπές τε τὰ μάλιστα χαίρουσι καλούμενοι, καὶ
τῶν ἱερῶν τὰ ἁγιώτατά εἰσι δῆλοι κατα μνήμην πεποιημέ-
νοι τῶν ποτε ἐν Παρνασσῷ σφίσιν ἱδρυμένων. τοῦτο μὲν
γὰρ Ἀπόλλωνός ἐστιν αὐτοῖς ναὸς, τοῦτο δὲ Δρύοπος ἱε-
ρὸν καὶ ἄγαλμα ἀρχαῖον. ἄγουσι καὶ παρὰ ἔτος αὐτῷ τε- 367
λετὴν, παῖδα τὸν Δρύοπα Ἀπόλλωνος εἶναι λέγοντες.
(7) Κεῖται δὲ ἐπὶ θαλάσσῃ καὶ αὐτὴ κατὰ τὰ αὐτὰ τῇ ποτε

narrant ad Parnassi iuga: ac mox quum in Peloponnesum navibus transmisissent, Eurysthei opem supplicum in morem ornatos implorasse: et ab illo quidem, quum in Herculem *implacabili* odio laboraret, in Argolica terra Asinen sibi traditam. Soli vero e Dryopum gente Asinaei nostra etiamnum aetate istud Dryopum nomen sibi gloriae ducunt, multo certe secus quam in Euboea Styrenses. Nam quum et ipsi ab eo Dryopum numero oriundi sint, qui, quum paulo longius ab urbe habitarent, pugnae adversus Herculem non interfuerunt, Dryopum tamen nomen aspernati sunt: sicuti et Delphi Phocenses nominari se, neutiquam sibi laudi duxerunt. Contra Asinaei Dryopum appellatione maxime laetantur: idque religiosissima quaeque apud ipsos templa maxime declarant, eadem forma exaedificata, qua illa olim fuerant in Parnasso dedicata: *duo vero in primis*, Apollinis unum, Dryopis alterum cum pervetere simulacro. Initia quidem quotannis Dryopi peragunt, eumque Apollinis filium fuisse dictitant. (7) Sita et haec urbs ad mare est, uti olim fuit Argolica illa *vetustior*

ἐν μοίρᾳ τῇ Ἀργολίδι Ἀσίνῃ· σταδίων δὲ τεσσαράκοντά ἐστιν ἐκ Κολωνίδων ἐς αὐτὴν ὁδὸς, τοσαύτη δὲ καὶ ἐκ τῆς Ἀσίνης πρὸς τὸν Ἀκρίταν καλούμενον. ἀνέχει δὲ ἐς θάλασσαν ὁ Ἀκρίτας, καὶ νῆσος Θηγανοῦσά ἐστιν ἔρημος πρὸ αὐτοῦ. μετὰ δὲ τὸν Ἀκρίταν λιμήν τε Φοινικοῦς, καὶ νῆσοι κατ' αὐτὸν Οἰνοῦσαι.

CAPUT XXXV.

De Mothone, eiusque denominatione — Naupliensibus Mothonen incolentibus et libertate a Trajano Mothonaeis concessa — Epirotarum imperio populari — calamitate Mothonaeis ab Illyriis illata — memorandis in urbe Mothone, templo Minervae Anemotidis — de diverso aquarum colore et natura.

Μοθώνη δὲ, πρὶν ἢ τὴν στρατιὰν ἐς Τροίαν ἀθροισθῆναι, καὶ ἐπὶ τοῦ πρὸς Ἰλίῳ πολέμου καλουμένη Πήδασος, μεταβέβληκεν ὕστερον τὸ ὄνομα, ὡς μὲν αὐτοὶ Μοθωναῖοι λέγουσιν, ἀπὸ τῆς Οἰνέως θυγατρός· Οἰνεῖ γὰρ τῷ Πορθάονος μετὰ ἅλωσιν Ἰλίου μετὰ Διομήδους ἀναχωρήσαντι ἐς Πελοπόννησον θυγατέρα φασὶν ἐκ παλλακῆς Μοθώνην γενέσθαι. δόξῃ δὲ ἐμῇ δέδωκε τῷ χωρίῳ τὸ ὄνομα ὁ Μόθων λίθος. οὗτος δέ σφισι καὶ ὁ ποιῶν τὸν λιμένα ἐστί·

Asine. Ad eam a Colonidibus quadraginta stadium via est. Tantundem ab Asine abest *regio*, cui Acritae nomen. Excurrit in mare Acritas, et ante ipsum deserta est insula Theganussa. Secundum Acritan portus est Phoenicus, et ipsi proxima insula Oenussae.

Cap. XXXV. Mothone, antequam Graecorum delectus haberetur, Iliaci etiam belli temporibus Pedasos dicta est: mutato deinde nomine, ipsi tradunt Mothonaei ab Oenei filia nuncupatam. Oeneo etenim Porthaonis filio, quum post excisum Ilium cum Diomede in Peloponnesum secessisset, e pellice Mothonen filiam genitam. Mea vero fert opinio, a scopulo, qui Mothon dicitur, loco nomen datum. Is enim por-

τόν τε γὰρ ἔσπλουν στενώτερον ταῖς ναυσὶν ἐργάζεται πα-
ρήκων ὕφαλος, καὶ ἅμα, μὴ ἐκ βυθοῦ ταράσσεσθαι τὸν
κλύδωνα, ἔρυμα ἕστηκεν. (2) Ἐδήλωσα δὲ καὶ ἐν τοῖς
ἔμπροσθεν λόγοις, ὅτι Ναυπλιεῦσιν ἐπὶ Λακωνισμῷ διω-
χθεῖσι, Δαμοκρατίδα βασιλεύοντος ἐν Ἄργει, Μοθώνην
Λακεδαιμόνιοι διδόασι· καὶ ὡς οὐδὲ ἐκ τῶν Μεσσηνίων
κατελθόντων ἐγένετο οὐδὲν ἐς αὐτοὺς νεώτερον. ἦσαν δὲ
οἱ Ναυπλιεῖς (ἐμοὶ δοκεῖν) Αἰγύπτιοι τὰ παλαιότερα· πα-
ραγενόμενοι δὲ ὁμοῦ Δαναῷ ναυσὶν ἐς τὴν Ἀργολίδα, ὕστε-
ρον γενεαῖς τρισὶν ὑπὸ Ναυπλίου τοῦ Ἀμυμώνης κατῳκί-
σθησαν ἐν Ναυπλίᾳ. Μοθωναίοις δὲ βασιλεὺς μὲν Τραϊα-
νὸς ἔδωκεν, ἐλευθέρους ὄντας ἐν αὐτονομίᾳ πολιτεύεσθαι.
(3) Τὰ δὲ ἔτι παλαιότερα μόνοις σφίσι Μεσσηνίων τῶν
ἐπὶ θαλάσσῃ τοιόνδε ἀτύχημα ἰδίᾳ συνέβη γενέσθαι. τὰ
ἐν ἠπείρῳ τῇ Θεσπρωτίδι ὑπὸ ἀναρχίας ἐφθάρη. Δηϊδα-
μείᾳ γὰρ τῇ Πύῤῥου παῖδες οὐκ ἐγένοντο, ἀλλὰ ὡς τελευ- 368

tum efficit, dum et angustiorem navibus ipse e mari promi-
nens appulsum relinquit, et simul ab imo fluctibus obsistens,
maris impetum et aestus concitatiores frangit. (2) Exposi-
tum est in superiore historiae parte, Lacedaemonios Nau-
pliensibus in invidiam apud alios Graeciae populos vocatis,
et eo nomine suis e sedibus eiectis, quod partis Laconum es-
sent, Democratida Argis regnante, Mothonen tradidisse; nec
ulla eos propter Messeniorum reditum nova calamitate affe-
ctos. Fuere autem (sicuti ego existimo) Nauplienses ex ea
Aegyptiorum classe, quae cum Danao ad Argolicam terram
appulit: aetatibus vero tribus post a Nauplio Amymones
filio in coloniam deducti sunt, et a conditore est ea colonia
Nauplia nuncupata. At Traianus Caesar Mothonaeis conces-
sit, ut cum liberis populis censerentur, et suis legibus ute-
rentur. (3) Sed ante ea tempora solis ex omnibus Messeniis,
qui ad mare sunt, huiusmodi accidit infortunium. Res The-
sprotidis per interregna prope eversae fuerant. Deidamia
enim Pyrrhi filia orba liberis diem obiit suum. Regnum illa

τῶν ἔμελλεν, ἐπιτρέπει τῷ δήμῳ τὰ πράγματα. Θυγάτηρ δὲ ἦν Πύῤῥου τοῦ Πτολεμαίου τοῦ Ἀλεξάνδρου τοῦ Πύῤῥου. τὰ δὲ ἐς Πύῤῥον τὸν Αἰακίδου πρότερον ἔτι ἐν τῷ λόγῳ τῷ ἐς Ἀθηναίους ἐδήλωσα. Προκλῆς δὲ ὁ Καρχηδόνιος, τύχης μὲν χρηστῆς εἵνεκα καὶ διὰ λαμπρότητα ἔργων, ἔνεμεν Ἀλεξάνδρῳ τῷ Φιλίππου πλέον· τάξαι δὲ ὁπλίτας τε καὶ ἱππικὸν, καὶ στρατηγήματα ἐπὶ ἄνδρας πολεμίους εὑρεῖν, Πύῤῥον ἔφασκεν ἀμείνονα γενέσθαι. Ἠπειρῶται δὲ, ὡς ἐπαύσαντο βασιλεύεσθαι, τά τε ἄλλα ὁ δῆμος ὕβριζε, καὶ ἀκροᾶσθαι τῶν ἐν ταῖς ἀρχαῖς ὑπερεώρων. καὶ σφᾶς οἱ Ἰλλυριοὶ τὰ πρὸς τοῦ Ἰονίου τὴν Ἤπειρον ὑπεροικοῦντες παρεστήσαντο ἐξ ἐπιδρομῆς. οὐ γάρ πω δημοκρατίαν ἴσμεν ἄλλους ἢ Ἀθηναίους αὐξήσαντας· Ἀθηναῖοι γὰρ προήχθησαν ἐπὶ μέγα ἀπ' αὐτῆς. συνέσει γὰρ οἰκείᾳ τὸ Ἑλληνικὸν ὑπερεβάλλοντο, καὶ νόμοις τοῖς
369 καθεστηκόσιν ἐλάχιστα ἠπείθουν. (4) Οἱ δὲ Ἰλλυριοὶ ἀρχῆς τε γεγευμένοι καὶ ἐπιθυμοῦντες ἀεὶ τοῦ πλείονος, ναῦς

quidem moriens populo commendavit. Pater ei Pyrrhus fuerat Ptolemaei filius, Alexandri nepos, maioris Pyrrhi pronepos. De Pyrrho quidem Aeacidae filio ante egimus, quum in Atticarum rerum descriptione versaremur. Hunc Procles Carthaginiensis fortuna et rerum gestarum splendore Alexandro Philippi filio inferiorem fuisse testatur: in disponendis vero in acie peditum equitumque copiis, et item capiendi consilii, quo hostis caperetur, arte, illo multo meliorem. Accepta libertate populus et aliis in rebus indies erat insolentior, et omnino se nihil magistratibus audientem praebebat. Quare subito impetu ab Illyriis, qui supra Epirum ad mare Ionium habitant, oppressi sunt. Neque vero ullam novimus popularem rempublicam magnos habuisse progressus, Atheniensibus exceptis, qui et praecipua quadam prudentia ceteris Graecis praestiterunt, et suas religiosissime omnium leges observarunt. (4) At Illyrii, gustata semel dominandi dulcedine, quum augendi imperii cupiditate flagrarent, aedificatis

εἰσήξαντο, καὶ ἐλῄζοντο ἄλλους τε, ὡς ἑκάστους τύχοιεν, καὶ ἐς τὴν Μοθωναίαν σχόντες ὡρμίσαντο οἷα ἐς φιλίαν· πέμψαντες δὲ ἄγγελον ἐς τὴν πόλιν, ἄγειν σφίσιν οἶνον καὶ τὰ πλοῖα ἐδεήθησαν. ὡς δὲ ἄγοντες ἀφίκοντο ἄνδρες οὐ πολλοὶ, τόν τε οἶνον ὠνοῦντο ἐπιτιμῶντων τῶν Μοθωναίων, καὶ αὐτοὶ σφισιν ἐπίπρασκον, ὧν ἐπήγοντο. ἐς δὲ τὴν ἐπιοῦσαν ἀφικομένων ἐκ τῆς πόλεως πλειόνων, παρέχουσι καὶ τοῖσδε κερδᾶναι. τέλος δὲ γυναῖκες καὶ ἄνδρες κατίασιν ἐπὶ τὰ πλοῖα οἶνόν τε ἀποδόσθαι καὶ ἐκ τῶν βαρβάρων ἀντιληψόμενοι. ἔνθα νῦν ἀποτολμήσαντες οἱ Ἰλλυριοὶ καὶ ἄνδρας πολλοὺς καὶ ἔτι πλείονας τῶν γυναικῶν ἁρπάζουσιν· ἐσθέμενοι δὲ ἐς τὰς ναῦς ἔπλεον τὴν ἐπὶ Ἰονίου, Μοθωναίων ἐρημώσαντες τὸ ἄστυ. (5) Ἐν Μοθώνῃ ναός ἐστιν Ἀθηνᾶς Ἀνεμώτιδος· Διομήδην δὲ τὸ ἄγαλμα ἀναθεῖναι καὶ τὸ ὄνομα τῇ θεῷ φασι θέσθαι. βιαιότεροι γὰρ καὶ οὐ κατὰ καιρὸν πνέοντες ἐλυμαίνοντο οἱ ἄνεμοι τὴν χώραν.

navibus, et alios aggressi populos excursionibus infestos reddidere, uti quisque maxime fuit iniuriae expositus; et amicitiae specie ad Mothonaeorum portum appulerunt, atque inde in urbem misere, qui vinum ad naves ut deportaretur rogarent. Quumque ab oppidanis non same multis vinum comportatum esset, emerunt quanti esset a Mothonaeis aestimatum Illyrii, et vicissim de mercibus suis aliquid illis vendiderunt. Postero die quum ad portum multo plures descendissent, et illis lucri faciendi copia facta est: postremo quum etiam foeminae et viri, magna utique manus, ad naves venissent, vinum et venderent, et de hospitum rebus mercarentur, ibi Illyrii confirmata audacia viros multos, foeminas plures vi correptas in naves imposuerunt, et prope ad solitudinem Mothonaeorum oppido redacto, per Ionium mare intra suos se fines recepere. (5) Est Mothonae Minervae Anemotidis cognomento delubrum cum simulacro: a Diomede dicatum aiunt, et deae nomen impositum. Nam quum intempestivis et violentis tota regio ventis graviter laboraret, votis

Διομήδους δὲ εὐξαμένου τῇ Ἀθηνᾷ, τὸ ἀπὸ τούτου συμφορ σφισιν οὐδεμία ἀνέμων γε εἵνεκα ἦλθεν ἐς τὴν γῆν. (6) Κα Ἀρτέμιδος δὲ ἱερόν ἐστιν ἐνταῦθα, καὶ ὕδωρ ἐν φρέατ κεκραμένον πίσσῃ, Κυζικηνῷ μύρῳ μάλιστα ἰδεῖν ἐμφε ρές· παράσχοιτο εὐωδίαν πᾶσαν καὶ χρόαν ὕδωρ κα ὀσμήν. γλαυκότατον μὲν οἶδα ὕδωρ θεασάμενος τὸ ἐ Θερμοπύλαις, οὔτι που πᾶν, ἀλλ' ὅσον κάτεισιν ἐς τὴ κολυμβήθραν, ἥντινα ὀνομάζουσιν οἱ ἐπιχώριοι Χύτρου γυναικείους. ξανθὸν δὲ ὕδωρ, οὐδέν τι ἀποδέον τὴ χρόαν αἵματος, Ἑβραίων ἡ γῆ παρέχεται πρὸς Ἰόπῃ π λει. θαλάσσης μὲν ἐγγυτάτω τὸ ὕδωρ ἐστὶ, λόγον δὲ ἐ τὴν πηγὴν λέγουσιν οἱ ταύτῃ, Περσέα ἀνελόντα τὸ κῆτο ᾧ τὴν παῖδα προκεῖσθαι τοῦ Κηφέως, ἐνταῦθα τὸ αἷμ ἀπονίψασθαι. ὕδωρ δὲ ἀπὸ πηγῶν ἀνερχόμενον μέλα ἰδὼν οἶδα ἐν Ἀστύροις. τὰ δὲ Ἄστυρα ἀπαντικρὺ Λέσβο λουτρά ἐστι θερμὰ ἐν τῷ Ἀταρνεῖ καλουμένῳ. τὸ δὲ χ ρίον ἐστὶν ὁ Ἀταρνεὺς ὁ Χίων μισθὸς, ὃν παρὰ τοῦ Μή δου λαμβάνουσιν ἄνδρα ἐκδόντες ἱκέτην, Πακτύην τὸ Λυδόν. τοῦτο μὲν δὴ μελαίνεται· Ῥωμαίοις δὲ ὑπὲρ τῆ

a Diomede Minervae nuncupatis, omnis illa ventorum qua saevitia in posterum etiam omne tempus conquievit. (6) Ex tat ibidem etiam Dianae aedes, ubi aquae puteus pice per mistae, quae quum odoris suavitate, tum colore persimili est Cyziceno unguento. Omnium quidem, quas aspexeri aquarum maxime caerulea est in Thermopylis, neque tame tota, sed ea praecipue, quae in natationem influit, quas in colae muliebres vocant ollas. Rutila vero prope ad sanguin colorem aqua per Hebraeorum terram non longe a mari, agr Ioppae urbi finitimo, *labens* visitur. Perseum interempt ceto, cui Cephei filia fuerat exposita, in eo fonte cruore abluisse, indigenarum sermo vulgavit. Vidi etiam ad Astyr nigram aquam. Sunt Astyra calidarum aquarum balneae co tra Lesbum, in eo *vico*, qui Atarneus appellatur. Eam Chi mercedem a Persarum rege accepere, quum illi Pactyam ho minem Lydum, qui supplex ad ipsos confugerat, dedissen

πόλιν, διαβάντων τὸν Ἄνιον ὀνομαζόμενον ποταμὸν, ὕδωρ λευκόν ἐστιν. ἀνδρὶ δὲ ἐσβάντι ἐς αὐτὸ, τὸ μὲν παραυτίκα ψυχρόν τε πρόσεισι καὶ ἐμποιεῖ φρίκην, ἐπισχόντι δὲ ὀλίγον, ἅτε φάρμακον θερμαίνει τὸ πυρωδέστατον. καὶ ὅσαις μὲν πηγαῖς θαῦμα [ἰδεῖν καὶ] ἰδόντι, τοσαύτας θεασάμενος οἶδα· τὰς γὰρ ἐλάσσονος θαύματος ἐπιστάμενος παρίημι. ἁλμυρὸν δὲ ὕδωρ καὶ στρυφνὸν οὐ μέγα θαῦμα ἐξευρεῖν. δύο δὲ ἀλλοῖα· τὸ μὲν τῆς Καρδίας ἐν πεδίῳ καλουμένῳ Λευκῷ θερμόν ἐστιν ὕδωρ παρὰ κώμην ὀνομαζομένην Δασκύλου, πιεῖν καὶ γάλακτος ἥδιον· τὸν δὲ 371
Ἡρόδοτον οἶδα εἰπόντα, ὡς εἰς τὸν ποταμὸν τὸν Ὕπανιν ἐκδίδωσιν ὕδατος πικροῦ πηγή. πῶς δ' ἂν οὐκ ἀποδεξαίμεθα ἀληθεύειν αὐτῷ τὸν λόγον; ὅπου γε καὶ ἐφ' ἡμῶν ἐν Δικαιαρχίᾳ τῇ Τυῤῥηνῶν ἐξεύρηται ὕδωρ σφίσι θερμὸν, οὕτω δή τι ὀξὺ, ὥστε τὸν μόλιβδον (διεξῄει γὰρ διὰ μολίβδου ῥέον) ἔτεσι κατέτηξεν οὐ πολλοῖς.

Ostendunt etiam Romani non longe ab urbe trans amnem Anienem albam aquam. In eam qui descenderint, initio tam frigidam sentiunt, ut exhorrescant: at si paululum fuerint immorati, nihil minus incalescunt, quam si vehementer calidum medicamentum ebibissent. Atque has ego quidem aquas, ingenio fontium plane admirabili, ipse sum conspicatus. Nam vulgata praetereo aquarum miracula. Neque enim aut salsam, aut acerbam aquam e fontibus manare magni miraculi loco ducendum. Non omittam duos diversa admodum natura et loco fontes. In Cardiae campis, qui Albi nominantur, prope pagum, qui Dascyli dicitur, aqua est calida, lacte haustu suavior. Iam vero ab Herodoto literis proditum memini, amarae aquae rivum in Hypanim amnem influere: quod certe non video cur a veritate abhorrere putemus, quum aetate nostra ad Puteolos (quod est Tyrrheni maris accolarum oppidum, Dicaearchia Graecis dictum), aqua extiterit tam acuto calore effervescens, ut intra paucos annos plumbeos, per quos fluit, tubulos resolverit.

CAPUT XXXVI.

De promontorio Coryphasio et urbe Pylo — memorandis in urbe Pylo — Nestoris bobus et priscorum hominum pecoris et gregis studio — Sphacteria insula — memorandis Cyparissiarum et Neda fluvio.

Ἔστι δὲ ἐκ Μοθώνης ὁδὸς σταδίων μάλιστα ἑκατὸν ἐπὶ τὴν ἄκραν τὸ Κορυφάσιον· ἐπ᾽ αὐτῇ δὲ ἡ Πύλος κεῖται. ταύτην ᾤκισε Πύλος ὁ Κλήσωνος, ἀγαγὼν ἐκ τῆς Μεγαρίδος τοὺς ἔχοντας τότε αὐτὴν Λέλεγας. καὶ τῆς μὲν οὐκ ὤνατο, ὑπὸ Νηλέως καὶ τῶν ἐξ Ἰωλκοῦ Πελασγῶν ἐκβληθείς· ἀποχωρήσας δὲ ἐς τὴν ὅμορον, ἔσχεν ἐνταῦθα Πύλον τὴν ἐν τῇ Ἠλείᾳ. Νηλεὺς δὲ βασιλεύσας ἐς τοσοῦτο προήγαγεν ἀξιώματος τὴν Πύλον, ὡς καὶ Ὅμηρον ἐν τοῖς ἔπεσιν ἄστυ ἐπονομάσαι Νηλήϊον. (2) Ἐνταῦθα ἱερόν ἐστιν Ἀθηνᾶς, ἐπίκλησιν Κορυφασίας, καὶ οἶκος καλούμενος Νέστορος. ἐν δὲ αὐτῷ καὶ ὁ Νέστωρ γέγραπται, καὶ μνῆμα ἐντὸς τῆς πόλεώς ἐστιν αὐτῷ· τὸ δὲ ὀλίγον ἀπωτέρω τῆς Πύλου Θρασυμήδους φασὶν εἶναι. (3) Καὶ σπήλαιόν ἐστιν ἐντὸς τῆς πόλεως· βοῦς δὲ ἐνταῦθα τὰς Νέ-

Cap. XXXVI. A Mothone ad Coryphasium promontorium via interest haud minus stadia centum. In ipso promontorio est Pylos, quam Clesonis filius Pylus condidit, deductis in eam e Megaride Lelegibus; sed ei parum diuturnum illud fuit imperium: a Neleo siquidem et Pelasgis ab Iolco venientibus pulsus est. Quare inde abiens in proximos fines, Pylon in Elea tenuit. Eo vero dignitatis Pylon perduxit Neleus, ut *ab eo rege* Neleam urbem versibus Homerus appellarit suis. (2) Est Pyli Minervae templum, cognomento Coryphasiae: et domus, quae Nestoris dicitur. In ea Nestor ipse pictus cernitur: et intra oppidum eiusdem est monumentum. Nam quod extra est, id Thrasymedis esse ferunt. (3) Ostenditur in ipsa urbe spelunca, in qua Ne-

στορος, καὶ ἔτι πρότερον Νηλέως, φασὶν αὐλίζεσθαι. εἴη δ' ἂν Θεσσαλικὸν τὸ γένος τῶν βοῶν τούτων, Ἰφίκλου ποτὲ τοῦ Πρωτεσιλάου πατρός. ταύτας γὰρ δὴ τὰς βοῦς Νηλεὺς ἕδνα ἐπὶ τῇ θυγατρὶ ᾔτει τοὺς μνωμένους· καὶ 372
τούτων εἵνεκα [ὁ] Μελάμπους χαριζόμενος τῷ ἀδελφῷ Βίαντι ἀφίκετο ἐς τὴν Θεσσαλίαν, καὶ ἐδέθη μὲν ὑπὸ τῶν βουκόλων τοῦ Ἰφίκλου, λαμβάνει δὲ μισθὸν, ἐφ' οἷς αὐτῷ δεηθέντι ἐμαντεύσατο. ἐσπουδάκεσαν δὲ ἄρα οἱ τότε πλοῦτόν τινα συλλέγεσθαι τοιοῦτον, ἵππων καὶ βοῶν ἀγέλας· εἰ δὴ Νηλεύς τε γενέσθαι οἱ βοῦς ἐπεθύμησε τὰς Ἰφίκλου, καὶ Ἡρακλεῖ κατὰ δόξαν τῶν ἐν Ἰβηρίᾳ βοῶν προσέταξεν Εὐρυσθεὺς ἐλάσαι τῶν Γηρυόνου βοῶν τὴν ἀγέλην. φαίνεται δὲ καὶ Ἔρυξ τότε ἐν Σικελίᾳ δυναστεύων, δριμὺν οὕτως ἔχων ἐς τὰς βοῦς τὰς ἐξ Ἐρυθείας ἔρωτα, ὥστε καὶ ἐπάλαισε πρὸς τὸν Ἡρακλέα, ἆθλα ἐπὶ τῇ πάλῃ καταθέμενος τάς τε βοῦς ταύτας καὶ ἀρχὴν τὴν ἑαυτοῦ. πεποίηκε δὲ καὶ Ὅμηρος ἐν Ἰλιάδι, ὡς Ἰφιδάμας ὁ Ἀντήνορος τὰ πρῶτα

storis, et ante eum Nelei boum fuisse stabulum dicunt. Boves eas Thessalicas fuisse genere de grege Iphicli, Protesilai patris: eas Neleum a filiae procis sponsalitium munus depoposcisse: Melampodem itaque Biantis fratris adductum gratia, in Thessaliam venisse; et a pastoribus quidem Iphicli in vincula primum coniectum, deinde vero pro responsis, quae roganti Iphiclo dedit, vates quum esset, mercedem boves cepisse. Fuit hoc praecipuum illis temporibus divitiarum studium, luculenta habere equorum et boum pecuaria. Nam praeterquam quod Iphicli boves Neleus expetivit, Herculi etiam imperavit Eurystheus, ut ex Hispania boves, quas eximia ibi specie esse compererat, ad se abigeret. Eiusdem pecoris ex Erythea abacti *mira* fuisse incensum cupiditate Erycem in Sicilia, ex eo constat, quod, quum in luctae certamen cum Hercule descendisset, hinc Herculis boves, illinc Erycis regnum praemia victori proposita fuerunt. Testatum etiam in Iliade reliquit Homerus, Iphidamantem Antenoris filium in-

τῶν ἕδνων, ἑκατὸν βοῦς, τῷ πενθερῷ δοίη. ταῦτα μὲν
τὸν λόγον μοι βεβαιοῖ, βουσὶ τοὺς τότε μάλιστα χαίρειν
ἀνθρώπους. ἐνέμοντο δὲ (ἐμοὶ δοκεῖν) αἱ τοῦ Νηλέως
βοῦς ἐν τῇ ὑπερορίᾳ τὰ πολλά. ὑπόψαμμός τε γάρ ἐστιν
ὡς ἐπίπαν ἡ τῶν Πυλίων χώρα, καὶ πόαν βουσὶν οὐχ ἱκα-
νὴ τοσαύτην παρασχέσθαι. μαρτυρεῖ δέ μοι καὶ Ὅμηρος
ἐν μνήμῃ Νέστορος, ἐπιλέγων ἀεὶ βασιλέα αὐτὸν ἠμαθόεν-
τος εἶναι Πύλου. (4) Τοῦ λιμένος δὲ ἡ Σφακτηρία νῆ-
σος προβέβληται, καθάπερ τοῦ ὅρμου τοῦ Δηλίων, ἡ Ῥή-
νεια. ἐοίκασι δὲ αἱ ἀνθρώπειαι τύχαι καὶ χωρία τέως
ἄγνωστα ἐς δόξαν προηχέναι. Καφηρέως τε γάρ ἐστιν
373 ὄνομα τοῦ ἐν Εὐβοίᾳ τοῖς σὺν Ἀγαμέμνονι Ἕλλησιν ἐπιγε-
νομένου χειμῶνος ἐνταῦθα, ὡς ἐκομίζοντο ἐξ Ἰλίου. Ψυτ-
τάλιαν τε τὴν ἐπὶ Σαλαμῖνι ἴσμεν ἀπολομένων ἐν αὐτῇ
τῶν Μήδων. ὡσαύτως δὲ καὶ τὴν Σφακτηρίαν τὸ ἀτύχημα
τὸ Λακεδαιμονίων γνώριμον τοῖς πᾶσιν ἐποίησεν. Ἀθη-

ter sponsalia munera primo certum boves socero suo dedisse. Quae omnia satis perspicuo argumento sunt, bobus in primis priscos illos homines delectatos. Pascebant vero, ut mea fert opinio, Nelei armenta ut plurimum extra fines. Nam quum totus ferme Pyliorum ager arenosus sit, alendo certe pecori non satis est herbosus. Hoc idem testatur Homerus de Nestore loquens, quum eum fere ubique arenosae Pyli regem appellat. (4) Ante portum Sphacteria insula prominet, haud aliter quam ante Deliorum navalem stationem Rhenea. Est vero ita plerumque comparatum, ut, quae ante loca obscura fuerunt et ignota, ex aliquo hominum casu et fortunae momento fama celebrentur. Nam et Caphareum Euboeae *promontorium* Graecorum ab Ilio cum Agamemnone redeuntium naufragium nobilitavit. Ac Psyttalia quidem, *pusilla* ante Salaminem *insula*, non aliunde nota est, quam quod in eo loco Persae prope deleti sunt. Pari itaque ratione Lacedaemoniorum ad Sphacteriam clades celebre ad posteros loco

ναῖοι δὲ καὶ Νίκης ἀνέθηκαν ἄγαλμα ἐν ἀκροπόλει χαλκοῦν ἐς μνήμην τῶν ἐν τῇ Σφακτηρίᾳ. (5) Ἀφικομένων δὲ ἐς Κυπαρισσιὰς ἐκ Πύλου, σφίσι πηγὴ ὑπὸ τῇ πόλει πλησίον θαλάσσης ἐστί· ῥυῆναι δὲ Διονύσῳ τὸ ὕδωρ λέγουσι θύρσῳ πλήξαντι ἐς τὴν γῆν, καὶ ἐπὶ τούτῳ Διονυσιάδα ὀνομάζουσι τὴν πηγήν. ἔστι δὲ καὶ Ἀπόλλωνος ἐν Κυπαρισσιαῖς ἱερὸν καὶ Ἀθηνᾶς ἐπίκλησιν Κυπαρισσίας. ἐν δὲ Αὐλῶνι καλουμένῳ ναὸς Ἀσκληπιοῦ καὶ ἄγαλμά ἐστιν Αὐλωνίου. κατὰ τοῦτο ὁ ποταμὸς ἡ Νέδα μεταξὺ τῆς τε Μεσσηνίας ἤδη καὶ τῆς Ἠλείας διέξεισιν.

nomen dedit. Athenienses vero etiam aeneum Victoriae signum ad illustrandam rei ad Sphacteriam gestae memoriam in arce dedicarunt. (5) Qua a Pylo Cyparissias iter, in suburbanis non procul a mari fons est, quem percussa thyrso a Libero Patre terra extitisse ferunt: eaque de causa Dionysiada fontem ipsum nominant. Extat ad Cyparissias Apollinis templum, et Minervae cognomento Cyparissiae. Ad Aulonem delubrum est cum signo Aesculapii Aulonii. Illinc proxime Messeniorum et Eleorum fines Neda amnis interfluens dirimit.

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

ΗΛΙΑΚΩΝ Α.

ΗΛΙΑΚΩΝ Α SEU LIB. V.

CAPUT I.

De quinque Peloponnesi partibus — Eleorum origine, pri
regibus, et Endymione — Epeo et Epeis — Endymio
morte — Oenomao ac Pelope — Aetolo, unde Aetoli,
Eleo, unde Elei dicti — Augea et Hercule — Amarynce
Actore ejusque filiis.

Ὅσοι δὲ Ἑλλήνων Πελοποννήσου πέντε εἶναι μοίρας, κ
οὐ πλείονάς φασιν, ἀνάγκη σφᾶς ὁμολογεῖν, ὡς ἐν
Ἀρκάδων οἰκοῦσιν Ἠλεῖοι καὶ Ἀρκάδες, δευτέρα δὲ Ἀχαι
τρεῖς δὲ ἐπὶ ταύταις αἱ Δωριέων. γένη δὲ οἰκεῖ Πελοπο
375 νησον, Ἀρκάδες μὲν αὐτόχθονες, καὶ Ἀχαιοί. καὶ οἱ μ
ὑπὸ Δωριέων ἐκ τῆς σφετέρας ἀνέστησαν· οὐ μέντοι Π
λοποννήσου γε ἐξεχώρησαν, ἀλλὰ ἐκβαλόντες Ἴωνας νέμο
ται τὸν Αἰγιαλὸν τὸ ἀρχαῖον, νῦν δὲ ἀπὸ τῶν Ἀχαιῶν τ

Cap. I. Graecorum quicunque Peloponnesum in quinq
duntaxat partes dividunt, ii fateantur necesse est, in ea par
quae est Arcadum, Eleos et Arcades ipsos habitare: secu
dam vero Achaeorum, tres deinde reliquas Doriensium es
Nationes autem, quae Peloponnesum tenent, indigenae Arc
des et Achaei sunt. Quorum Achaei a Doriensibus pat
pulsi, non tamen extra Peloponnesum abiere; sed Ionib
eiectis, eam partem, quae Aegialus veteri nomine diceba

ου καλούμενον. οἱ δὲ Ἀρκάδες διατελοῦσιν ἐξ ἀρχῆς καὶ ς τόδε τὴν ἑαυτῶν ἔχοντες. τὰ δὲ λοιπὰ ἐπηλύδων ἐστὶν νθρώπων. Κορίνθιοι μὲν γὰρ οἱ νῦν νεώτατοι Πελοποννησίων εἰσί, καί σφισιν, ἀφ' οὗ τὴν γῆν παρὰ βασιλέως χουσιν, εἴκοσι ἔτη καὶ διακόσια τριῶν δέοντα ἦν ἐς ἐμέ. Δρύοπες δὲ καὶ Δωριεῖς, οἱ μὲν ἐκ τοῦ Παρνασσοῦ, Δωιεῖς δὲ ἐκ τῆς Οἴτης ἐς Πελοπόννησόν εἰσιν ἀφιγμένοι. 2) Τοὺς δὲ Ἠλείους ἴσμεν ἐκ Καλυδῶνος διαβεβηκότας αὶ Αἰτωλίας τῆς ἄλλης. τὰ δὲ ἔτι παλαιότερα ἐς αὐτοὺς οιάδε εὕρισκον. βασιλεῦσαι πρῶτον ἐν τῇ γῇ ταύτῃ λέουσιν Ἀέθλιον, παῖδα δὲ αὐτὸν Διός τε εἶναι καὶ Πρωογενείας τῆς Δευκαλίωνος, Ἀεθλίου δὲ Ἐνδυμίωνα γενέθαι. τούτου τοῦ Ἐνδυμίωνος Σελήνην φασὶν ἐρασθῆναι, καὶ ὡς θυγατέρες αὐτῷ γένοιντο ἐκ τῆς θεοῦ πεντήοντα. οἱ δὲ δὴ μᾶλλόν τι εἰκότα λέγοντες, Ἐνδυμίωνι λαβόντι Ἀστεροδίαν γυναῖκα· οἱ δὲ τὴν Ἴτωνου τοῦ Ἀμφικτύονος Χρομίαν· ἄλλοι δὲ Ὑπερίππην τὴν Ἀρκάδος:

nunc ab ipsis Achaeis denominata est, colunt. Arcades vero primae originis terram in hoc usque tempus perpetuo incoluere. At reliqua ab advenis habitantur: siquidem huius aetatis Corinthii omnium maxime novi in Peloponneso sunt. Abhinc enim annos ferme ducentos decem et septem colonia haec ab Imperatore *Romano* deducta est. Dryopes quoque et Dorienses, ex Parnasso illi, hi ex Pelopennesi parte advenerunt. (2) Eleos etiam scimus ex Calydone ceteraque Aetolia huc traiecisse: de quorum antiquitate, quae comperimus, haec propemodum sunt. Regnavit in hac terra primum (ut ferunt) Aethlius, Iovis et Protogeniae (Deucalionis filiae) filius; qui Endymionem genuit. Hunc a Luna adamatum, et ex ea filias quinquaginta suscepisse fabulantur. Qui vero magis veritati consentanea loquuntur, ipsum Endymionem aiunt tres tantum genuisse filios, Paeonem scilicet, Epeum et Aetolum; filiamque unam Eurycyden: et hos ex Asterodia uxore, sive ex Chromia Itoni filia, Amphictyonis nepte, seu

γενέσθαι δ' οὖν φασιν αὐτῷ Παίονα καὶ Ἐπειόν τε καὶ Αἰ-
376 τωλόν, καὶ θυγατέρα ἐπ' αὐτοῖς Εὐρυκύδαν. (3) Ἔθηκε
δὲ καὶ ἐν Ὀλυμπίᾳ δρόμου τοῖς παισὶν ἀγῶνα Ἐνδυμίων
ὑπὲρ τῆς ἀρχῆς, καὶ ἐνίκησε, καὶ ἔσχε τὴν βασιλείαν
Ἐπειός· καὶ Ἐπειοὶ πρῶτον τότε ὧν ἦρχεν, ὠνομάσθησαν
τῶν δὲ ἀδελφῶν οἱ τὸν μὲν καταμεῖναί φασιν αὐτοῦ, Παίο-
να δὲ, ἀχθόμενον τῇ ἥσσῃ, φυγεῖν ὡς ποῤῥωτάτω, καὶ
τὴν ὑπὲρ Ἀξίου ποταμοῦ χώραν ἀπ' αὐτοῦ Παιονίαν ὀνο-
μασθῆναι. (4) Τὰ δὲ ἐς τὴν Ἐνδυμίωνος τελευτὴν, οὐ
κατὰ τὰ αὐτὰ Ἡρακλεῶταί τε οἱ πρὸς Μιλήτῳ, καὶ Ἠλεῖοι
λέγουσιν, ἀλλὰ Ἠλεῖοι μὲν ἀποφαίνουσιν Ἐνδυμίωνος
μνῆμα, Ἡρακλεῶται δὲ ἐς Λάτμον τὸ ὄρος ἀποχωρῆσαι
φασιν αὐτόν· καὶ ἄδυτον Ἐνδυμίωνός ἐστιν ἐν τῷ Λάτμῳ.
Ἐπειῷ δὲ γήμαντι Ἀναξιρόην τὴν Κορώνου, θυγάτηρ μὲν
Ὑρμίνα, ἄρσεν δὲ οὐκ ἐγένετο αὐτῷ γένος. (5) Καὶ τάδε
ἄλλα συνέβη κατ' Ἐπειὸν βασιλεύοντα. Οἰνόμαος ὁ Ἀλ-
ξίωνος, (Ἄρεως δὲ, καθὰ ποιηταί τε ἐπεφήμισαν, καὶ
τῶν πολλῶν ἐστιν ἐς αὐτὸν λόγος) οὗτος δυναστεύων περὶ

ex Hyperippe Arcadis filia. Variae enim sunt de eius uxoribus sententiae. (3) Proposuit autem in Olympia cursus certamen de imperio filiis suis Endymion. Ex eo victor discessit Epeus, regnoque potitus est; ac Epei primum, qui sub ditione eius tunc erant, appellati. Fratrum vero alterum quidem in patria cum fratre regnante permansisse ferunt: Paeonem se superatum aegre ferentem, longe a domo peregre profectum, super Axio flumine regionem, ubi constiterat, de suo nomine Paeoniam appellasse. (4) De Endymionis autem morte non convenit inter Heracleotas, qui Milesiis finitimi sunt, et Eleos. Elei enim Endymionis monumentum ostendunt; Heracleotae illum dicunt in Latmum montem secessisse: et est quidem in Latmo monte Endymionis adytum. Epeus ex Anaxiroe Coroni filia, quam uxorem duxerat, filiam suscepit Hyrminan, marem omnino habuit nullum. (5) Accidit eo regnante, ut Oenomaus Alxionis vel (ut poetae canunt, et vulgi fabula celebrat) Martis filius, qui Pisaeis tunc imperita-

τὴν Πισαίαν καλουμένην ὁ Οἰνόμαος, ἐπαύθη τῆς ἀρχῆς διαβάντος Πέλοπος τοῦ Λυδοῦ ἐκ τῆς Ἀσίας. Πέλοψ δὲ ἀποθανόντος Οἰνομάου τήν τε Πισαίαν ἔσχε, καὶ Ὀλυμπίαν, ἀποτεμόμενος τῆς Ἐπειοῦ χώρας ὅμορον οὖσαν τῇ Πισαίᾳ. Ἑρμοῦ τε ἐν Πελοποννήσῳ ναὸν ἱδρύσασθαι, καὶ θῦσαι τῷ θεῷ Πέλοπα ἔλεγον οἱ Ἠλεῖοι πρῶτον, ἀποτρεπόμενον τὸ ἐπὶ τῷ Μυρτίλου θανάτῳ μήνιμα ἐκ τοῦ θεοῦ. (6) Αἰτωλῷ δὲ μετὰ Ἐπειὸν βασιλεύσαντι συνέπεσεν ἐκ Πελοποννήσου φυγεῖν, ὅτι αὐτὸν οἱ Ἄπιδος παῖδες ἐφ' αἵματι ἀκουσίῳ δίκῃ εἷλον, Ἆπιν γὰρ τὸν Ἰάσονος ἐκ Παλλαντίου τοῦ Ἀρκάδων ἀπέκτεινεν Αἰτωλὸς, ἐπελάσας τὸ ἅρμα τεθέντων ἐπὶ Ἀζᾶνι ἄθλων. ἀπὸ μὲν οὖν Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος οἱ περὶ τὸν Ἀχελῷον οἰκοῦντες ἐκλήθησαν, φυγόντος ἐς ταύτην τὴν ἤπειρον. τὴν δὲ Ἐπειῶν ἔσχεν ἀρχὴν Ἠλεῖος Εὐρυκύδας τε τῆς Ἐνδυμίωνος, καὶ (ὅτῳ πιστά) πατρὸς ὢν Ποσειδῶνος. καὶ τὸ ὄνομα οἱ ἄνθρωποι τὸ νῦν ἀντὶ Ἐπειῶν ἀπὸ τοῦ Ἠλείου μεταβεβλήκασιν. (7) Ἠλείου δὲ ἦν Αὐγέας. οἱ δὲ ἀποσεμνύνοντες 877

bat, regno expelleretur a Pelope Lydo, qui ex Asia illuc transmiserat. Occiso Oenomao Pelops et Pisaeam obtinuit, et Olympiam huic finitimam, quae sub Epei ditione erat, imperio suo adiecit. Hunc Pelopem dicunt Elei primum in Peloponneso fanum Mercurio exaedificasse et sacra fecisse, quo deum sibi ex Myrtili caede infensum placaret. (6) Aetolum, qui Epeo in regnum successit, ex Peloponneso fugere oportuit, quod eum, ob admissam imprudenter caedem, Apidis filii ad poenam vocabant. Nam quum Apin Iasonis filium a Pallantio Arcadiae *oppido originem ducentem*, funebribus ludis, qui Azani fiebant, incitatis quadrigis obvium *evertisset atque* interemisset Aetolus, ab Aetolo Endymionis filio Acheloi accolae, quod in eam continentis terrae partem *e patria* profugerat Aetolus, *Aetoli* appellati sunt. Epeorum imperium suscepit Eleus, ex Erycyda Endymionis filia et (si cui id credibile videtur) Neptuno genitus. Ab hoc Eleo, qui prius nominabantur Epei, nomen acceperunt. (7) Ex eo Augeas

τὰ ἐς αὐτόν, παρατρέψαντες τοῦ Ἠλείου τὸ ὄνομα, Ἡλίου φασὶν Αὐγέαν παῖδα εἶναι. τούτῳ βοῦς τῷ Αὐγέᾳ καὶ αἰπόλια τοσαῦτα ἐγένετο, ὡς καὶ τῆς χώρας αὐτῷ τὰ πολλὰ ἤδη διατελεῖν ἀργὰ ὄντα ὑπὸ τῶν βοσκημάτων τῆς κόπρου. Ἡρακλέα οὖν, εἴτε ἐπὶ μοίρᾳ τῆς Ἠλείας, εἴτε ἐφ' ὅτῳ δὴ ἄλλῳ μισθῷ, πείθει οἱ καθῆραι τῆς κόπρου τὴν γῆν. καὶ ὁ μὲν καὶ τοῦτο ἐξειργάσατο ἐκτρέψας τοῦ Μινυηΐου τὸ ῥεῦμα ἐς τὴν κόπρον. Αὐγέας δέ, ὅτι τῷ Ἡρακλεῖ σοφίᾳ πλέον καὶ οὐ σὺν πόνῳ τὸ ἔργον ἤνυστο, αὐτός τε ἀποδοῦναί οἱ τὸν μισθὸν ἀπηξίου, καὶ τῶν παίδων τῶν ἀρσένων τὸν πρεσβύτερον Φυλέα ἐξέβαλεν, ἀντειπόντα ὡς οὐ δίκαια ποιοῖτο πρὸς ἄνδρα εὐεργέτην. αὐτός τε τὰ ἄλλα παρεσκευάζετο ὡς τὸν Ἡρακλέα ἀμυνούμενος, ἢν ἐπὶ τὴν Ἦλιν στρατεύηται, καὶ τοὺς παῖδας τοὺς Ἄκτορος καὶ Ἀμαρυγκέα ἐπηγάγετο ἐς φιλίαν. (8) Ἦν δὲ ὁ Ἀμαρυγκεὺς ἄλλως μὲν ἀγαθὸς τὰ ἐς τὸν πόλεμον· ὁ δέ οἱ πατὴρ Πύττιος Θεσσαλὸς τὸ ἄνωθεν ἦν, καὶ ἐς τὴν Ἠλείαν ἀφίκετο ἐκ Θεσσαλίας. Ἀμαρυγκεῖ μὲν δὴ καὶ ἀρχῆς ἐν

nascitur. At enim qui Augeae et *Eleorum* res maxime extollunt, Augeam non Elei, sed Helii (*hoc est Solis*) filium fuisse dicunt. Et huic quidem Augeae adeo magna boum armenta caprarumque tanti greges fuisse dicuntur, ut *copiosiore* fimo obducta agri pars maxima, otiosa et inculta iaceret. Hercules vel agri Elei parte, vel alia quacunque mercede, ut agrum a stercoribus purgaret, adductus est: quod ille immisso in stercora Minyeio flumine perfecit. Sed Augeas Herculi mercedem abnegavit, quod eum videret arte potius, quam ullo labore opus perfecisse. Huius filius natu maior, cui Phyleo nomen, est a patre abdicatus, quod eius in bene de se meritum virum iniuriam reprehendere solitus esset. Augeas ipse quum alia comparabat ad propulsandum, si cum exercitu Elidem invaderet, Herculem, tum filios Actoris, et Amarynceum sibi in belli gerendi societatem adscivit. (8) Erat sane Amarynceus rerum bellicarum usu maxime sollers: (patre is ortus fuerat Pytlio, homine ex Thessalia oriundo: qui ex

Ἠλείᾳ μετέδωκεν ὁ Αὐγέας. Ἄκτορι δὲ καὶ τοῖς παισὶ γένος τε ἦν ἐπιχώριον, βασιλείας τε μετῆν σφίσιν. Ἄκτωρ γὰρ πατρὸς μὲν Φόρβαντος ἦν τοῦ Λαπίθου, μητρὸς δὲ Ὑρμίνης τῆς Ἐπειοῦ. καὶ ᾤκισεν ἀπ' αὐτῆς Ἄκτωρ πόλιν Ὑρμίναν ἐν τῇ Ἠλείᾳ.

CAPUT II.

De Herculis expeditione adversus Augeam et Actoris filiorum caede — Elei hujus caedis poenas expetunt ab Argivis — Molione Eleos ab Isthmicis ludis diris arcet — de causis, cur Elei Isthmicos ludos non frequentaverint, duplex narratio.

Τῷ δὲ Ἡρακλεῖ πρὸς τὸν Αὐγέαν πολεμοῦντι, οὐδὲν ὑπῆρχεν ἀποδείκνυσθαι λαμπρόν. ἅτε γὰρ καὶ τόλμῃ καὶ ταῖς ἡλικίαις τοῦ Ἄκτορος τῶν παίδων ἀκμαζόντων, ἐτρέπεθ' ὑπ' αὐτῶν ἀεὶ τὸ συμμαχικὸν τοῦ Ἡρακλέους· ἐς ὃ Ἰσθμικὰς σπονδὰς Κορινθίων ἐπαγγειλάντων, καὶ θεωρῶν ἐς τὸν ἀγῶνα ἐρχομένων τῶν υἱῶν τοῦ Ἄκτορος, ἀπέκτεινε 378
σφᾶς λοχήσας Ἡρακλῆς ἐν Κλεωναῖς. (2) Ἀφανοῦς δὲ ὄντος τοῦ εἰργασμένου τὸν φόνον, μάλιστα ἐποιεῖτο ἡ

Thessalia in Eleam venerat) acceptusque est ab Augea in partem imperii. Actor quoque, et eius filii, qui indigenae erant, regni fuere consortes; siquidem Actor Phorbante Lapithae filio, et Hyrmina Epei filia genitus fuerat, deque suae matris nomine urbem in Elea Hyrminen condiderat.

Cap. II. Hercules, suscepto adversus Augeam bello, nihil memoratu dignum in ea expeditione gerere potuit. Eius enim auxilia ab Actoris filiis audacia et aetate vigentibus facile reiiciebantur. Sed enim quum ludos Isthmicos indixissent Corinthii, venissentque Actoris filii spectandi causa, eos Hercules ex insidiis ad Cleonas occidit. (2) Quum autem, a quo caedes facta esset, ignoraretur, Molione *Actoris uxor,*

Μολιόνη σπουδὴν τῶν παίδων τὸν αὐτόχειρα ἐξευρεῖν. ὡς δὲ ἔμαθεν, ἐνταῦθα οἱ Ἠλεῖοι δίκας τοῦ φόνου παρὰ Ἀργείων ἀπῄτουν· τηνικαῦτα γὰρ ἔτυχεν Ἡρακλῆς ἐν Τίρυνθι οἰκῶν.. μὴ διδόντων δὲ σφισι δίκας τῶν Ἀργείων, οἱ δὲ δεύτερα ἐνέκειντο Κορινθίοις, ἐκσπονδον τὸ Ἀργολικὸν πᾶν τοῦ ἀγῶνος γενέσθαι τοῦ Ἰσθμικοῦ. (3) Ὡς δὲ ἡμάρτανον καὶ τούτου, Μολιόνην θέσθαι φασὶν ἐπὶ τοῖς πολίταις κατάρας, ἢν Ἰσθμίων μὴ θελήσωσιν εἴργεσθαι. φυλάσσουσι δὲ τῆς Μολιόνης καὶ ἐς τόδε ἔτι τὰς κατάρας, καὶ ὅσοι τὰ σώματα ἀσκοῦσιν Ἠλείων, οὔ σφισιν ἐς τὸν ἀγῶνα ἐσελθεῖν καθέστηκεν Ἰσθμικόν. (4) Διάφοροι δὲ τῶν εἰρημένων δύο εἰσὶν ἄλλοι λόγοι. τούτων δὲ ὁ μὲν Κύψελον τὸν τυραννήσαντα Κορινθίων φησὶν ἄγαλμα ἀναθεῖναι τῷ Διῒ χρυσοῦν ἐς Ὀλυμπίαν· προαποθανόντος δὲ τοῦ Κυψέλου πρὶν ἐπὶ τῷ ἀναθήματι τὸ ὄνομα ἐπιγράψαι τὸ αὐτοῦ, τοὺς Κορινθίους παρὰ Ἠλείων αἰτεῖν, δοῦναί [δὲ] σφισιν ἐπιγράψαι δημοσίᾳ τὴν πόλιν ἐπὶ τῷ ἀναθήματι, οὐ τυχόντας δὲ, ὀργῇ τε ἐς τοὺς Ἠλείους

a quonam filii fuissent interfecti, magna cura investigavit. Re cognita, Elei ab Argivis (quod tunc forte Tirynthe Hercules domicilium habebat) auctorem facinoris ad poenam depoposcerunt. Id quum illi recusassent, a Corinthiis rursus contenderunt, ut, quicquid Argolici nominis esset, pro violato foedere Isthmicorum ludorum celebritate interdicerent. (3) Quod ipsum quum frustra petiissent, Molione cives suos diris dicitur defixisse, quotcunque in posterum Isthmicis ludis non abstinuissent. Illud Moliones edictum tam religiose Elei observarunt, ut hoc etiam tempore, quicunque ex Eleis ad certaminum palmas corpora exercuerunt, eius devotionis metu Isthmicum neutiquam conventum celebrent. (4) De hac ipsa re duplex est fama. Ab aliis enim Cypselum proditum est Corinthiorum tyrannum aureum Iovi in Olympia signum dedicasse. Eo mortuo, priusquam nomen dono inscripsisset, ab Eleis Corinthios contendisse, ut civitatis suae nomen inscribi paterentur. Quod quum non impetrassent, ira incensos,

χρῆσθαι, καὶ προσιπεῖν σφισιν Ἰσθμίων εἴργεσθαι. πῶς ἂν οὖν Κορινθίοις αὐτοῖς τοῦ ἀγῶνος μετῆν τοῦ ἐν Ὀλυμπίᾳ, εἰ δὴ ἄκοντάς γε Ἠλείους ἀπὸ τῶν Ἰσθμίων εἶργον; ὁ δὲ ἕτερος ἔχει τῶν λόγων, Προλάῳ παῖδας ἀνδρὶ παρὰ Ἠλείοις δοκίμῳ, καὶ τῇ γυναικὶ αὐτοῦ Λυσίππῃ, Φίλανθον καὶ Λάμπον γενέσθαι· τούτους ἐπὶ τὸν ἀγῶνα ἐλθόντας τῶν Ἰσθμίων, παγκρατιάσοντας ἐν παισὶ, τὸν δὲ αὐτὸν παλαίσοντας, ὑπὸ τῶν ἀνταγωνιστῶν, πρὶν ἢ ἐς τὸν ἀγῶνα ἐσελθεῖν, ἀποπνιγῆναι σφᾶς, ἢ καὶ ἄλλῳ τῳ τρόπῳ διαχρησθῆναι. καὶ οὕτω τὰς ἐπὶ τοῖς Ἠλείοις, ἣν Ἰσθμίων μὴ ἑκόντες εἴργωνται, Λυσίππης ἀρὰς εἶναι. δείκνυται δὲ καὶ ὅδε εὐήθης ὢν ὁ λόγος. Τίμωνι γὰρ ἀνδρὶ Ἠλείῳ γεγόνασι πεντάθλου νῖκαι τῶν ἐν Ἕλλησιν ἀγώνων, καί οἱ καὶ εἰκών ἐστιν ἐν Ὀλυμπίᾳ, καὶ ἐλεγεῖον, στεφάνους τε ὁπόσους ἀνείλετο ὁ Τίμων λέγον, καὶ δὴ καὶ αἰτίαν δι' ἥντινα Ἰσθμικῆς οὐ μέτεστιν αὐτῷ νίκης. καὶ ἔχει τὰ ἐς τοῦτο τὸ ἐλεγεῖον· 379

Σισυφίαν δὲ μολεῖν χθόν' ἐκώλυεν ἀνέρα νεῖκη

Eleos Isthmiorum aditu prohibuisse. Sed haud satis consentaneum videri potest, Corinthiis Olympicorum conventu non interdictum, si priores ipsi Eleis, ne Isthmicis interessent, edixissent. Illud item alterum de eadem re hominum sermo vulgavit. Prolao, viro inter Eleos nobili, ex Lysippe uxore Philanthum et Lampum genitos: hos, quum ad Isthmia (ut qui pancratiastae inter adolescentulos erant) venissent, priusquam in certamen descenderent, ab adversariis strangulatos, vel alio mortis genere confectos: Lysippes imprecationes in causa fuisse, Elei ut Isthmiis ultro abstinerent. Facile vero eo argumento hoc ipsum refellitur, quod Timoni Eleo, qui de ceteris Graeciae certaminibus quinquertii palmas tulit, in Olympia statua posita est, cum elegis, omnes eius viri victorias testantibus. Eadem quoque inscriptio, quare Isthmicae non fuerit compos coronae, his versibus indicat:

Sisyphiis iuvenem vetuit succedere terris

Ἀμφὶ Μολιονιδᾶν οὐλομένων θανάτῳ.
τάδε μὲν ἡμῖν ἐς τοσοῦτον ἐξηγήσθω.

CAPUT III.

Hercules cum sociis Elidem capit — Eleam terram Phyleo tradit — Eleorum feminae quam ob causam Minervae cognomine Matri templum dedicaverint — de Eleorum regibus post Augeae mortem — Dorienses Eleo regnante in Peloponnesum redeunt Oxylo duce.

Ἡρακλῆς δὲ εἷλεν ὕστερον καὶ ἐπόρθησεν Ἦλιν, στρατιὰν παρά τε Ἀργείων καὶ ἐκ Θηβῶν ἀθροίσας καὶ Ἀρκάδας. ἤμυναν δὲ καὶ Ἠλείοις οἱ ἐκ Πύλου τοῦ ἐν τῇ Ἠλείᾳ καὶ οἱ Πισαῖοι. καὶ τοὺς μὲν ἐτιμωρήσατο αὐτῶν ὁ Ἡρακλῆς· τῆς δὲ ἐπὶ τοὺς Πισαίους στρατείας αὐτὸν χρησμὸς ἐπέσχεν ἐκ Δελφῶν ἔχων οὕτω·

Πατρὶ μέλει Πίσης, Πυθὼ δέ μοι ἐγγυάλιξεν.

τοῦτο μὲν δὴ σωτηρία Πισαίοις τὸ μάντευμα ἐγένετο. (2) Φυλεῖ δὲ ὁ Ἡρακλῆς τήν τε χώραν ἀνέδωκε τὴν Ἠλείαν καὶ τἄλλα, αἰδοῖ τοῦ Φυλέως μᾶλλον ἢ αὐτὸς ἑκουσίως· τά τε αἰχμάλωτα ἀφίησιν ἔχειν αὐτῷ, καὶ Αὐγέαν μὴ ὑπο-

Dira Molionidum poena secuta necem.

At enim satis iam hac de re dictum fuerit.

Cap. III. Post haec Hercules, collecto ab Argivis, Thebanis, et Arcadibus exercitu, Elidem captam diripuit: quo tempore Eleis et Pylii, qui in Elea terra sunt, et Pisaei auxilia tulerunt: et alteros quidem ultus est Hercules; Pisaeis vero quo minus bellum inferret, huiusmodi oraculo prohibuit Apollo Delphicus:

Pisa patri curae, mihi celsa cacumina Pythus.

Fuit haec vox Pisaeis saluti. (2) Phyleo autem Eleam Hercules verecundia potius, quam bene merendi studio adductus tradidit. Eidem captivos, et Augeae poenam condona-

σχεῖν δίκην. (3) Τῶν δὲ Ἠλείων αἱ γυναῖκες, ἅτε τῶν ἐν ἡλικίᾳ σφίσιν ἠρημωμένης τῆς χώρας, εὔξασθαι τῇ Ἀθηνᾷ λέγονται κυῆσαι παραυτίκα, ἐπειδὰν μιχθῶσι τοῖς ἀνδράσι. καὶ ἥ τε εὐχή σφισιν ἐτελέσθη, καὶ Ἀθηνᾶς ἱερὸν ἐπίκλησιν Μητρὸς ἱδρύσαντο. ὑπερησθέντες δὲ ἀμφότεροι τῇ μίξει καὶ αἱ γυναῖκες καὶ οἱ ἄνδρες, ἔνθα συνεγένοντο ἀλλήλοις πρῶτον, αὐτό τε τὸ χωρίον Βαδὺ ὀνομάζουσι, καὶ ποταμὸν τὸν ῥέοντα ἐνταῦθα ὕδωρ Βαδὺ ἐπιχωρίῳ φωνῇ. (4) Φυλέως δὲ, ὡς τὰ ἐν τῇ Ἤλιδι κατεστήσατο, αὖθις ἐς Δουλίχιον ἀποχωρήσαντος, Αὐγέαν μὲν τὸ χρεὼν ἐπέλαβε προήκοντα ἐς γῆρας· βασιλείαν δὲ τὴν Ἠλείων Ἀγασθένης ἔσχεν ὁ Αὐγέου, καὶ Ἀμφίμαχός τε καὶ Θάλπιος. Ἄκτορος γὰρ τοῖς παισὶν ἀδελφὰς ἐσαγαγομένοις διδύμας ἐς τὸν οἶκον, Δεξαμενοῦ θυγατέρας ἐν Ὠλένῳ βασιλεύοντος, τῷ μὲν ἐκ Θηρονίκης Ἀμφίμαχος, Εὐρύτῳ δὲ ἐκ Θηρεφόνης ἐγεγόνει Θάλπιος. οὐ μὴν οὐδὲ Ἀμαρυγκεὺς οὔτε αὐτὸς διέμεινεν ἰδιωτεύων, οὔτε Διώρης ὁ Ἀμαρυγκέως. ἃ δὴ καὶ Ὅμηρος παρεδήλωσεν ἐν 380

vit. (3) Eo tempore Eleorum foeminae orbatam virili robore patriam miseratae, Palladi vota nuncuparunt, si gravidae ad primos virorum congressus fierent. Eius voti damnatae, Minervae cognomento matri templum dicarunt. Utrique, et viri et mulieres, summa ex illo congressu percepta voluptate, locum primo in quo congressi sunt, Bady vernacula voce nominarunt; deinde flumen etiam ipsum, quod praeterfluit, ex eodem argumento Bady nuncuparunt. (4) Phyleus, ordinatis Elidis rebus, quum Dulichium migrasset, et Augeas iam senio confectus diem suum obiisset, exin Eleorum regnum Agasthenes, alter Augeae filius, cum Amphimacho et Thalpio suscepit. Nam quum Actoris filii geminas Dexameni Oleni regis filias uxores duxissent, alteri quidem eorum ex Theronice Amphimachus, Euryto vero ex Therophone Thalpius nascitur. Non tamen interea aut Amarynceus, aut Amaryncei filius Diores privatam vitam egerunt, quod et Homerus Eleos

καταλόγῳ τῶν Ἠλείων, τὸν μὲν σύμπαντα αὐτῶν στόλον ποιήσας τεσσαράκοντα εἶναι νεῶν, τούτων δὲ τὰς ἡμισείας ὑπὸ Ἀμφιμάχῳ τετάχθαι καὶ Θαλπίῳ· τῶν λοιπῶν δὲ εἴκοσι, δέκα μὲν ναυσὶν Διώρην τὸν Ἀμαρυγκέως ἡγεῖσθαι, τοσαύταις δὲ ἑτέραις Πολύξενον τὸν Ἀγασθένους. Πολυξένῳ δὲ ἀνασωθέντι ἐκ Τροίας ἐγένετο υἱὸς Ἀμφίμαχος (τὸ δὲ ὄνομα τῷ παιδὶ ἔθετο ὁ Πολύξενος κατὰ φιλίαν, ἐμοὶ δοκεῖν, πρὸς Ἀμφίμαχον τὸν Κτεάτου τελευτήσαντα ἐν Ἰλίῳ), Ἀμφιμάχου δὲ Ἠλεῖος. (5) Καὶ ἐπὶ Ἠλείου βασιλεύοντος ἐν Ἤλιδι, τηνικαῦτα ὁ Δωριέων στόλος σὺν τοῖς Ἀριστομάχου παισὶν ἠθροίζετο ἐπὶ καθόδῳ ἐς Πελοπόννησον. γίγνεται δὲ τοῖς βασιλεῦσιν αὐτῶν λόγιον τόδε, ἡγεμόνα τῆς καθόδου ποιεῖσθαι τὸν τριόφθαλμον. ἀπορούσι δέ σφισιν, ὅ τι ὁ χρησμὸς ἐθέλει, συντυγχάνει ἐλαύνων ἀνὴρ ἡμίονον, ὁ δὲ ἕτερος διέφθαρτο τῷ ἡμιόνῳ τῶν ὀφθαλμῶν. Κρεσφόντου δὲ συμφρονήσαντος, ὡς ἐς τοῦτον τὸν ἄνδρα ἔχοι τὸ μάντευμα, οὕτως ᾠκειώσαντο αὐτὸν οἱ Δωριεῖς. ὁ δὲ σφᾶς ναυσὶν ἐκέλευεν ἐς Πελοπόν-

recensens facile ostendit. Omnem enim eorum classem XL navium fuisse dicit: quarum dimidiae parti Amphimachus et Thalpius imperarent: e reliquo numero decem Amaryncei filius Diores, totidem Agasthenis Polyxenus ducerent. Polyxeno autem a Troia reduci filius natus est Amphimachus. Hoc puero nomen, opinor, indidit Polyxenus ob amicitiam, quae ei cum Amphimacho Cteati filio, qui ad Ilium ceciderat, intercesserat. Amphimacho Eleus oritur. (5) Hoc Eleo Elidis regnum tenente, Dorienses cum Aristomachi filiis comparata classe moliti sunt reditum in Peloponnesum. Classis imperatoribus oraculo denunciatum est, remigrationis ducem trioculum ut facerent. Quare addubitantibus, quidnam sibi responsum illud vellet, vir forte, qui mulum altero captum oculo agebat, occurrit. Tum nimirum acute coniecit Cresphontes, oraculi vocem ad hunc hominem pertinere. Eum itaque sibi Dorienses familiarem ac socium adsciverunt. Is in Peloponnesum navibus transmittendum, non pedestri

νησον κατιέναι, μηδὲ στρατῷ πεζῷ διὰ τοῦ Ἰσθμοῦ πει-
ρᾶσθαι. ταῦτα δὲ δὴ παρήνεσε, καὶ ἅμα τὸν ἐς Μολύ- 381
κριον ἐκ Ναυπάκτου πλοῦν καθηγήσατο αὐτοῖς· οἱ δὲ
ἀντὶ τούτου δεηθέντι τὴν Ἠλείαν γῆν συνέθεντο αὐτῷ δώ-
σειν. ὁ δὲ ἀνὴρ ἦν Ὄξυλος Αἵμονος τοῦ Θόαντος. Θόας
δὲ ἦν οὗτος, ὃς καὶ τοῖς Ἀτρέως παισὶν ἀρχὴν συγκαθεῖλε
τὴν Πριάμου. γενεαὶ δὲ ἀπὸ Θόαντος ἀνήκουσιν ἓξ ἐς
Αἰτωλὸν τὸν Ἐνδυμίωνος. ἦσαν δὲ οἱ Ἡρακλεῖδαι συγγε-
νεῖς καὶ ἄλλως τοῖς ἐν Αἰτωλίᾳ βασιλεῦσι, καὶ ἀδελφαὶ
Θόαντι τῷ Ἀνδραίμονος, καὶ Ὕλλου τοῦ Ἡρακλέους ἦσαν
αἱ μητέρες. συνεπεπτώκει δὲ τῷ Ὀξύλῳ φυγάδι ἐξ Αἰτω-
λίας εἶναι. δισκεύοντα γάρ φασιν ἁμαρτεῖν αὐτὸν, καὶ
ἐξεργάσασθαι φόνον ἀκούσιον· τὸν δὲ ἀποθανόντα ὑπὸ
τοῦ δίσκου, τὸν ἀδελφὸν εἶναι τοῦ Ὀξύλου Θέρμιον· οἱ
δὲ, Ἀλκιδόκου τοῦ Σκοπίου.

exercitu per Isthmum irruptionem tentandam censuit. Neque tantum id fieri oportere monuit, sed ipse navigationis a Naupacto ad Molycrium dux fuit: quamobrem illi Dorienses Eleum agrum petenti desponderunt. Fuit hic quidem vir Oxylus Haemone Thoantis filio genitus: Thoas vero ipse Atrei filiorum ad Priami regnum evertendum socius: a quo ad Aetolum Endymionis filium aetates retro sex numerantur. Erant autem Heraclidae et alio Aetoliae regibus sanguine iuncti, et eo maxime nomine, quod Thoantem Andraemon et Hyllum Hercules e *germanis* sororibus genuerant. In exilium vero ex Aetolia abierat Oxylus, quod disco ludens imprudenter hominem occiderat. Eum, qui ceciderat, alii Thermium, Oxyli fratrem tradidere; Alcidocum alii, Scopii filium.

CAPUT IV.

De Oxylo alia narratio — varia, quae ad Oxylum pertinent — post Oxylum Laïas regnum obtinet — dein Iphitus, qu Olympicum certamen restituit — de bellis, quibus inter fuerunt Elei.

Λέγεται δὲ καὶ ἄλλο ἐπὶ τῷ Ὀξύλῳ τοιόνδε, ὡς τοὺς παῖ δας ὑποπτεύσειε τοῦ Ἀριστομάχου, μὴ τὴν Ἠλείαν τε ἰδόν τες ἀγαθὴν οὖσαν καὶ ἐξειργασμένην διὰ πάσης, οὐκ ἐθ λήσωσιν ἔτι αὐτῷ διδόναι τὴν γῆν· καὶ τοῦδε εἵνεκα δι
382 τῶν Ἀρκάδων, καὶ οὐ διὰ τῆς Ἠλείας, τοῖς Δωριεῦσι ἡγήσατο. Ὀξύλῳ δὲ σπεύσαντι ἀμαχεὶ λαβεῖν τὴν Ἠλεία ἀρχὴν, Δῖος οὐκ εἶκε· πρόκλησιν δὲ ἐποιεῖτο, μὴ σφᾶ παρασκευῇ τῇ πάσῃ διακινδυνεῦσαι, προκριθῆναι δὲ ἀφ ἑκατέρων στρατιώτην ἕνα ἐς τὴν μάχην. καὶ πως συνήρεσ ταῦτα ἀμφοτέροις· οἱ δὲ ἐς τὸ ἔργον προσταχθέντες, Δ γμενός τε Ἠλεῖος ἦν τοξότης, καὶ παρὰ τῶν Αἰτωλῶν Πυ ραίχμης σφενδόνην δεδιδαγμένος. κρατήσαντος δὲ το Πυραίχμου, τήν τε βασιλείαν ἔσχεν Ὄξυλος, καὶ Ἐπειοὺ

Cap. IV. Proditum etiam memoriae est aliud huiusmod de Oxylo, veritum illum esse, ne Aristomachi liberi, quum quam esset fertilis et bene cultus omni ex parte ager Eleu cognovissent, eum sibi tradere recusarent: eiusque rei caus per Arcadum fines, non per Eleorum agrum, Dorienses de duxisse. Et Eleorum quidem imperium sibi sine armis vin dicanti Oxylo non cessit Dius. Facta is provocatione censui non esse universo agmine decernendum, verum singulos e utroque exercitu deligendos, qui singulari certamine de re rum summa dimicarent. Cuius quum pars utraque sententian comprobasset, delatum hoc certamen Degmeno Eléo sagitta rio, ex Aetolis vero Pyraechmae funditori. Superior disces sit Pyraechmes: quare potitus regno est Oxylus. Et is qui

τοὺς ἀρχαίους τὰ μὲν ἄλλα εἴασεν ἐπὶ τῆς αὐτῶν μένειν, συνοίκους δὲ σφισι τοὺς Αἰτωλοὺς ἐπὶ ἀναδασμῷ τῆς χώρας ἐπεσήγαγε. καὶ Διΐ τε ἀπένειμε γέρα, καὶ ἥρωσι τοῖς τε ἄλλοις κατὰ τὰ ἀρχαῖα ἐφύλαξε τὰς τιμὰς, καὶ Αὐγέᾳ τὰ ἐς τὸν ἐναγισμὸν ἔτι καὶ ἐς ἡμᾶς αὐτῷ καθεστηκότα. λέγεται δὲ ὡς καὶ τοὺς ἀνθρώπους ἐκ τῶν κωμῶν, ὅσοι τοῦ τείχους οὐ πολὺ ἀφεστήκεσαν, κατελθεῖν ἔπεισεν ἐς τὴν πόλιν καὶ πλήθει τε οἰκητόρων μείζονα, καὶ εὐδαιμονεστέραν ἐς τὰ ἄλλα ἀπέφηνε τὴν Ἦλιν. (2) Ἀφίκετο δὲ αὐτῷ καὶ ἐκ Δελφῶν χρησμὸς, τὸν Πελοπίδην ἐπάγεσθαι συνοικιστήν. Ὄξυλος δὲ τὴν ζήτησιν ἐποιεῖτο σπουδῇ, καὶ ἀναζητῶν εὗρεν Ἀγόριον τὸν Δαμασίου τοῦ Πενθίλου τοῦ Ὀρέστου, καὶ αὐτόν τε ἐξ Ἑλίκης τῶν Ἀχαιῶν, καὶ σὺν τῷ Ἀγορίῳ μοῖραν τῶν Ἀχαιῶν ἐπηγάγετο οὐ πολλήν. Τῷ δὲ Ὀξύλῳ Πιερίαν μὲν τῇ γυναικὶ ὄνομα εἶναι λέγουσι, τὰ δὲ ἐς αὐτὴν οὐ μνημονεύουσιν. Ὀξύλου δὲ γενέσθαι παῖδας φασὶν Αἰτωλὸν καὶ Λαΐαν. προαποθανόντος δὲ Αἰτωλοῦ, θάπτουσιν αὐτὸν οἱ γονεῖς ἐν αὐτῇ ποιησάμενοι τῇ πύλῃ

dem priscos Epeos facile pristinas sedes obtinere passus est: sed cum illis Aetolos coniunxit, agro aequabiliter assignato. Iovi praeterea sacra fecit, et sancitos veteri religione honores quum ceteris heroibus habuit, tum Augeae eo, qui aetate nostra observatur, more ut parentaretur, instituit. Eundem aiunt, e proximis vicis inquilinis intra urbem evocatis, Elin tum moenibus ampliorem tum multitudine frequentiorem, ac simul opibus auctiorem reddidisse. (2) Huic quum Delphici Apollinis voce praeceptum esset, ut de Pelopis genere unum sibi imperii condendi socium adscisceret, magno undique studio conquisitum, Agorium tandem Damosii filium, Penthili nepotem, Orestis pronepotem invenit, quem ab Helice Achaiae urbe, cum non magna utique Achaeorum manu, in regni partem recepit. Oxyli uxorem Pieriam nomine fuisse tradunt, de qua nihil aliud quicquam memorant. Filios aiunt Oxylo genitos Aetolum et Laian: et Aetolum quidem immatura morte ereptum condiderunt parentes, extructo monumento in ipsa

τὸ μνῆμα, ἥτις ἐπ' Ὀλυμπίαν καὶ τὸ ἱερὸν ἄγει τοῦ Διός.
883 ἔθαψαν δὲ αὐτὸν οὕτω κατὰ μαντείαν, ὡς μήτε ἐντός, μήτε ἐκτὸς τῆς πόλεως γένοιτο ὁ νεκρός. ἐναγίζει δὲ ὁ γυμνασίαρχος ἔτι καὶ ἐς ἐμὲ καθ' ἕκαστον ἔτος τῷ Αἰτωλῷ. (3) Μετὰ δὲ Ὄξυλον, Λαΐας ἔσχεν ὁ Ὀξύλου τὴν ἀρχήν. οὐ μὴν τούς γε ἀπογόνους αὐτοῦ βασιλεύοντας εὕρισκον, καὶ σφᾶς ἐπιστάμενος ὅμως παρίημι· οὐ γάρ τί μοι καταβῆναι τὸν λόγον ἠθέλησα ἐς ἄνδρας ἰδιώτας. (4) Χρόνῳ δὲ ὕστερον Ἴφιτος, γένος μὲν ὢν ἀπὸ Ὀξύλου, ἡλικίαν δὲ κατὰ Λυκοῦργον, τὸν γράψαντα Λακεδαιμονίοις τοὺς νόμους, τὸν ἀγῶνα διέθηκεν ἐν Ὀλυμπίᾳ, πανήγυρίν τε Ὀλυμπιακὴν αὖθις ἐξ ἀρχῆς καὶ ἐκεχειρίαν κατεστήσατο, ἐκλιπόντα ἐπὶ χρόνον, ὁπόσος δὴ οὗτος ἦν. αἰτίαν δὲ δι' ἥντινα ἐξέλιπε τὰ Ὀλύμπια, ἐν τοῖς ἔχουσιν ἐς Ὀλυμπίαν τοῦ λόγου δηλώσω. τῷ δὲ Ἰφίτῳ, φθειρομένης τότε δὴ μάλιστα τῆς Ἑλλάδος ὑπὸ ἐμφυλίων στάσεων καὶ ὑπὸ νόσου λοιμώδους, ἐπῆλθεν αἰτῆσαι τὸν ἐν Δελφοῖς θεὸν λύσιν τῶν κακῶν· καί οἱ προσταχθῆναί φασιν ὑπὸ τῆς Πυθίας, ὡς

porta, qua in Olympiam ad Iovis templum iter est. Hoc ei monumentum ex oraculo posuere, quo iussi sunt, neque intra, neque extra urbem illum sepelire. Parentat Aetolo hac ipsa aëtate quotannis *stato die* gymnasii praefectus. (3) Successit Laias in regnum patri. Non tamen uspiam reperi eius posteros regno potitos. Quare eos consulto praetereo. Neque enim in praesens ad privatos homines mea descendit oratio. (4) Secundum haec Iphitus ab Oxylo quidem oriundus, aequalis vero Lycurgi, a quo scriptae Lacedaemoniis leges, ludos in Olympia ordinavit, nundinas Olympicas denuo indixit, et ludorum caussa inducias instituit, quum haec *omnia* intermissa fuissent aliquandiu. (Eius quidem intermissionis causam tunc exponam, quum ad ea, quae in Olympia sunt, accessero.) Etenim Graecia iam prope deleta intestinis seditionibus et pestilentia, consulendum de remedio earum calamitatum Delphicum Apollinem censuit Iphitus. Respondit

αὐτόν τε Ἴφιτον δέοι καὶ Ἠλείους τὸν Ὀλυμπιακὸν ἀγῶνα ἀνασώσασθαι. ἔπεισε δὲ Ἠλείους Ἴφιτος καὶ Ἡρακλεῖ θύειν, τὸ πρὸ τούτου πολέμιόν σφισιν Ἡρακλέα εἶναι νομίζοντας. τὸν δὲ Ἴφιτον τὸ ἐπίγραμμα τὸ ἐν Ὀλυμπίᾳ φησὶν Αἵμονος παῖδα εἶναι· Ἑλλήνων δὲ οἱ πολλοὶ Πραξωνίδου, καὶ οὐχ Αἵμονος εἶναί φασι· τὰ δὲ Ἠλείων γράμματα ἀρχαῖα ἐς πατέρα ὁμώνυμον ἀνῆγε τὸν Ἴφιτον. (5) Ἠλείοις δὲ μέτεστι μὲν πολέμου τοῦ πρὸς Ἰλίῳ, μέτεστι δὲ καὶ ἔργων κατὰ τὴν Μήδων ἐς τὴν Ἑλλάδα ἔφοδον. ὑπερβάντι δὲ ὅσοι σφίσιν ἐγένοντο κίνδυνοι πρὸς Πισαίους τε καὶ Ἀρκάδας ὑπὲρ τῆς διαθέσεως τοῦ ἀγῶνος τοῦ ἐν Ὀλυμπίᾳ, συνεσέβαλον μὲν Λακεδαιμονίοις ἀκουσίως ἐς τὴν Ἀθηναίων, συνέστησαν δὲ μετὰ οὐ πολὺν χρόνον ἐπὶ Λακεδαιμονίους Μαντινεῦσιν ὁμοῦ καὶ Ἀργείοις, ἐπαγόμενοι καὶ τὸ 384
Ἀττικὸν ἐς τὴν συμμαχίαν. κατὰ δὲ τὴν Ἄγιδος ἐπιστρατείαν ἐς τὴν γῆν καὶ τὴν προδοσίαν τὴν Ξενίου, μάχῃ μὲν περὶ Ὀλυμπίαν νικῶσιν οἱ Ἠλεῖοι, καὶ τροπὴν ἐργασάμενοι τῶν Λακεδαιμονίων, ἐκ τοῦ περιβό-

deus, expedire ab Iphito et Eleis Olympicos ludos instaurari. Suasit praeterea Eleis Iphitus, ut Herculi immolarent, quum illum ante hostem iudicassent. Inscriptio, quae in Olympia est, Iphitum testatur Haemonis filium fuisse: Graecorum plerique non Haemonis eum, sed Praxonidae filium dixere. Prisca Eleorum monumenta eius patrem eodem appellant nomine. (5) Elei quum belli Troiani, tum vero suscepti contra Persas in Graeciam invadentes belli participes fuere. Ac ut missum faciam, quoties, dum Olympicos ludos instaurant, cum Pisaeis et Arcadibus dimicarint, inviti quidem cum Lacedaemoniis in Atheniensium fines irruperunt. Neque multo post adscitis in societatem Atheniensibus, Argivis et Mantinensibus, contra Lacedaemonios stetere. Agide vero cum exercitu intra fines per Xeniae proditionem ingresso, ad Olympiam magno praelio hostes vicere, et in fugam versos Lacedaemonios extra fani septa eiecere: interiecto dein tempore

λὸν σφᾶς ἐξήλασαν τοῦ ἱεροῦ. χρόνῳ δὲ ὕστερον ἐπαύθη σφίσιν ὁ πόλεμος κατὰ τὰς συνθήκας, ἃς ἐγὼ πρότερον ἔτι ἐν τῷ λόγῳ τῷ ἐς Λακεδαιμονίους ἐδήλωσα. Φιλίππου δὲ τοῦ Ἀμύντου οὐκ ἐθέλοντος ἀποσχέσθαι τῆς Ἑλλάδος, προσεχώρησαν μὲν ἐς τὴν συμμαχίαν τῶν Μακεδόνων οἱ Ἠλεῖοι, στάσει κακωθέντες ὑπὸ ἀλλήλων, μαχεσθῆναι δὲ οὐχ ὑπέμειναν τοῖς Ἕλλησιν ἐναντία ἐν Χαιρωνείᾳ. τῆς δὲ ἐφόδου Φιλίππῳ τῆς ἐπὶ Λακεδαιμονίους μετέσχον κατὰ ἔχθος ἐς αὐτοὺς τὸ ἀρχαῖον· ἀποθανόντος δὲ Ἀλεξάνδρου, Μακεδόσι καὶ Ἀντιπάτρῳ μετὰ Ἑλλήνων ἐπολέμησαν.

CAPUT V.

Aristotimus, qui postea Elidis regnum obtinet, a Cylone interficitur — de bysso, quae in Eleo agro gignitur — regione Samico dicta, Triphylia et urbe Lepreo — urbis Leprei conditore, nominis origine et memorandis — fluvio Anigro eiusque malo odore — antro Anigridum Nympharum.

Χρόνῳ δὲ ὕστερον Ἀριστότιμος ὁ Δαμαρέτου τοῦ Ἐτύμονος τυραννίδα ἔσχεν ἐν Ἠλείᾳ, συμπαρασκευάσαντος

arma posuere iis conditionibus, de quibus ante scripsi, dum Lacedaemoniorum res commemorarem. Iam vero Philippo Amyntae filio Graeciae imperium occupante, Elei quidem ipsi intestinis discordiis iam paene afflicti, se cum Macedonibus coniunxerunt; non tamen, ut ad Chaeroneam cum Graecis acie confligerent, adduci potuerunt: Philippum tantum Lacedaemonios adorientem prisco in eam civitatem odio suo indulgentes iuverunt. Iidem mortuo Alexandro cum ceteris Graecis bellum adversus Antipatrum et Macedonas gessere.

Cap. V. Insequenti postea tempore Aristotimus Damareti filius, Etymonis nepos, Eleorum tyrannide, missis ab An-

αὐτῷ τὰ ἐς τὴν ἐπίθεσιν Ἀντιγόνου τοῦ Δημητρίου βασι-
λεύοντος ἐν Μακεδονίᾳ. τὸν δὲ Ἀριστότιμον μῆνας τυ-
ραννήσαντα ἕξ, καταλύουσιν ἐπαναστάντες Χίλων καὶ Ἑλ-
λάνικος καὶ Λάμπις τε καὶ Κύλων. οὗτος δὲ καὶ αὐτο-
χειρίᾳ τὸν τύραννον ἀπέκτεινεν ὁ Κύλων ἐπὶ Διὸς σωτῆ-
ρος βωμὸν καταφυγόντα ἱκέτην. τὰ μὲν δὴ ἐς πόλεμον
τοιαῦτα ὑπῆρχεν Ἠλείοις, ὡς περὶ αὐτῶν ἡμῖν ἐν τῷ πα-
ρόντι ἀπαριθμῆσαι μετρίως. (2) Θαυμάσαι δ' ἄν τις ἐν
τῇ γῇ τῇ Ἠλείᾳ τήν τε βύσσον, ὅτι ἐνταῦθα μόνον, ἑτέρωθι
δὲ οὐδαμοῦ τῆς Ἑλλάδος φύεται, καὶ ὅτι ἐν τῇ ὑπερορίᾳ,
καὶ οὐκ ἐντὸς τῆς χώρας αἱ ἵπποι σφίσιν ἐκύϊσκον ἐκ τῶν
ὄνων· καὶ τούτου μὲν κατάραν τινὰ ἐλέγετο γενέσθαι αἴ-
τιον. ἡ δὲ βύσσος ἡ ἐν τῇ Ἠλείᾳ λεπτότητος μὲν εἵνεκα 385
οὐκ ἀποδεῖ τῆς Ἑβραίων, ἔστι δὲ οὐχ ὁμοίως ξανθή.
(3) Ἰόντι δὲ ἐπὶ τῆς Ἠλείας, χωρίον ἐστὶν ἐπὶ θάλασσαν
καθῆκον, ὃ ὀνομάζεται μὲν Σαμικὸν, ἐν δεξιᾷ δὲ ὑπὲρ
αὐτὸ, ἥ τε Τριφυλία καλουμένη, καὶ πόλις ἐστὶν ἐν τῇ
Τριφυλίᾳ Λέπρεος. ἐθέλουσι μὲν δὴ οἱ Λεπρεᾶται μοῖρα

tigono Demetrii filio Macedoniae rege auxiliis, potitus est. Hunc Aristotimum, sextum iam mensem dominantem, Chilon, Hellanicus, Lampis, et Cylon *de improviso* adorti eiiciunt. Quin et eundem, quum ad Iovis Servatoris aram supplex se recepisset, sua manu Cylon is, quem ante nominavimus, occidit. Hae fuerunt bellicae Eleorum res gestae, quas modica in praesentia oratione perstrinximus. (2) Inter Elei agri miracula byssus est. Hic enim tantum, nec alibi uspiam in tota Graecia nascitur. Tenuitate quidem nihil est impar ei, quam fert Hebraeorum terra; minus utique flava. Admirationi iure fuerit illud etiam, quod, quum in finitimis locis equae ex asinis pariant, id intra ipsos Eleae terrae fines nunquam usu evenit. Cuius rei causam execrationem quandam perhibent. (3) Ex Eleo agro egredienti vicus ad mare est, cui Samicon nomen. Supra hunc ad dexteram regio, quae Triphylia dicitur. In ea urbs Lepreos. Lepreatae nunc ipsi inter Arca-

εἶναι τῶν Ἀρκάδων, φαίνονται δὲ Ἠλείων κατήκοοι τὸ ἐξαρχῆς ὄντες· καὶ ὅσοι αὐτῶν Ὀλύμπια ἐνίκησαν, Ἠλείους ἐκ Λεπρέου σφᾶς ὁ κῆρυξ ἀνεῖπε. καὶ Ἀριστοφάνης ἐποίησεν, ὡς Λέπρεος εἴη πόλισμα Ἠλείων. ἔστι δὲ ὁδὸς ἐς Λέπρεον ἀπὸ μὲν Σαμικοῦ τὸν Ἄνιγρον ποταμὸν ἀφέντι ἐν ἀριστερᾷ, ἑτέρα δὲ ἐξ Ὀλυμπίας, τρίτη δὲ ἐξ Ἤλιδος· ἡμερήσιος δὲ αὐτῶν ἐστιν ἡ μακροτάτη. (4) Τεθῆναι δὲ τῇ πόλει τὸ ὄνομά φασιν ἀπὸ τοῦ οἰκιστοῦ Λεπρέου τοῦ Πυργέως. ἐλέγετο δὲ καὶ ὡς πρὸς Ἡρακλέα ἐρίσειεν ὁ Λεπρέος, μὴ ἀποδεῖν τοῦ Ἡρακλέους ἐσθίειν· ἐπειδὴ ἑκάτερος αὐτῶν βοῦν ἐν ἴσῳ τῷ καιρῷ κατέσφαξε καὶ εὐτρέπισεν ἐς τὸ δεῖπνον, καὶ ἦν, ὥσπερ καὶ ὑφίστατο, ὁ Λεπρέος φαγεῖν οὐκ ἀδυνατώτερος τοῦ Ἡρακλέους, ἐτόλμησε τὸ μετὰ τοῦτο προκαλέσασθαι καὶ ἐς ἀγῶνα ὅπλων αὐτόν. καὶ ἀποθανεῖν τε Λεπρέον κρατηθέντα τῇ μάχῃ, καὶ ἐν τῇ Φιγαλέων ταφῆναι λέγουσιν. οὐ μὴν εἶχόν γε οἱ Φιγαλεῖς ἀποφῆναι Λεπρέου μνῆμα. ἤδη δὲ ἤκουσα
386 θυγατρὶ τοῦ Πυργέως Λεπρέᾳ προσποιούντων τὸν οἰκι-

das censentur, quum liquido constet, antiquitus Eleis paruisse. Nam quotcunque ex ea civitate in Olympicis vicerunt, eos praeco Eleos e Lepreo renunciavit: et Aristophanes versibus testatus est, Lepreon Eleorum oppidum esse. Lepreon a Samico, relicto ad laevam Anigro amne, via una ducit; eodem altera ex Olympia, tertia ex Elide. Earum quae longissima, unius diei est. (4) Inditum oppido nomen tradunt a Lepreo conditore, Pyrgei filio, quem cum Hercule in edacitatis certamen descendisse aiunt. Ubi quum uterque eodem tempore bovem epulaturus occidisset, ac plane se nihilo ad edendum Lepreus Hercule imparatiorem ostendisset, eo processit certandi cupido, ut eum ad singularis etiam certaminis dimicationem ausus fuerit provocare. Interfectum quidem ab Hercule in ea pugna, in Phigalensium finibus sepultum fuisse tradidere, quum tamen non habeant Phigalenses ipsi, quo loco Leprei monumentum fuerit, indicare. Audivi vero et, qui ad Lepream Pyrgei filiam oppidi origi-

ρόν. οἱ δὲ τοῖς πρῶτον οἰκήσασιν ἐν τῇ γῇ νόσον φασὶν ἐπιγενέσθαι λέπραν, καὶ οὕτω τὸ ὄνομα λαβεῖν τὴν πόλιν ἐπὶ τῶν οἰκητόρων τῇ συμφορᾷ. γενέσθαι δὲ οἱ Λεπρεᾶται σφισιν ἔλεγον ἐν τῇ πόλει Λευκαίου Διὸς ναὸν, καὶ Λυκούργου τάφον τοῦ Ἀλέου, καὶ ἄλλον Καύκωνος· τούτῳ δὲ καὶ ἐπίθημα ἄνδρα ἐπεῖναι λύραν ἔχοντα. κατὰ δὲ ἐμὲ οὔτε μνῆμα ἐπίσημον, οὔτε ἱερὸν ἦν θεῶν σφισιν οὐδενὸς, πλήν γε Δήμητρος· πλίνθου δὲ καὶ τοῦτο ἐπεποίητο ὠμῆς, καὶ οὐδὲν παρείχετο ἄγαλμα. Λεπρεατῶν δέ ἐστιν οὐ πόῤῥω τῆς πόλεως Ἀρήνη καλουμένη πηγὴ, καὶ τὸ ὄνομα ἀπὸ τῆς Ἀφαρέως γυναικὸς τεθῆναι λέγουσι τῇ πηγῇ. (5) Ἀναστρέψαντι δὲ αὖθις ἐπὶ τὸ Σαμικὸν, καὶ διοδεύοντι τὸ χωρίον, Ἄνιγρος ποταμὸς ἐκδίδωσιν ἐς θάλασσαν. τούτου τὸ ῥεῦμα τοῦ ποταμοῦ πολλάκις ἀνείργουσιν οἱ ἄνεμοι βίαιοι πνέοντες. φοροῦντες γὰρ κατ' αὐτὸν τὴν θῖνα ἐκ τοῦ πελάγους ἐπέχουσι τοῦ πρόσω τὸ ὕδωρ. ὁπότε οὖν ἀμφοτέρωθεν ἡ ψάμμος ὑπό τε τῆς θαλάσσης καὶ τὰ ἐντὸς ὑπὸ τοῦ ποταμοῦ διάβροχος γένοιτο, ἐνταῦθα καὶ ὑποζυγίοις καὶ ἀνδρὶ ἔτι μᾶλλον εὐζώνῳ κα-

nem referrent. Sunt qui primos urbis inquilinos lepram passos dicant, atque ex ea incolarum calamitate urbem nomen accepisse. Narrant sane Lepreatae, fuisse in urbe Leucaei Iovis aedem, et Lycurgi Alei filii sepulcrum: *heroum* etiam aliorum, et in primis Cauconis. Huius monumenti insigne fuisse virum lyram tenentem. Sed aetate hac neque monumentum ullum extat paulo insignius, neque cuiusquam dei aedes, una excepta Cereris, et ipsa e crudo latere extructa, in qua ne signum quidem ullum est. Non procul ab urbe fons est Arene: nomen ab Apharei uxore impositum ferunt. (5) Reversis ad Samicum, recta per vicum eum contendentibus, Anigrus fluvius in mare exit; et exeuntem quidem saepe violentiores ventorum flatus repellunt. Congesta enim e pelago ad ostium fluminis arena, aquam, quo minus profluat, coercent. Quo fit, ut, quum exterius mare, interius amnis ipse arenam diluerit, non sine periculo iumenta, multo etiam

ταδῦναι κίνδυνός ἐστιν ἐς αὐτήν. ὁ δὲ Ἄνιγρος οὗτος ἐξ Ἀρκαδικοῦ μὲν κάτεισιν ὄρους Λαπίθου, παρέχεται δὲ εὐθὺς ἀπὸ τῶν πηγῶν ὕδωρ οὐκ εὐῶδες, ἀλλὰ καὶ δύσοσμον δεινῶς. πρὶν δὲ ἢ καταδέξασθαι τὸν Ἀκίδαντα καλούμενον, δῆλός ἐστιν οὐδὲ ἀρχὴν τρέφων ἰχθῦς. μετὰ δὲ τοῦτον ἐσβαλόντα ὅσοι τῶν ἰχθύων ὁμοῦ τῷ ὕδατι αὐτοῦ κατίασιν ἐς τὸν Ἄνιγρον, οὐ σφᾶς ἔτι ἐδωδίμους ἔχουσιν οἱ ἄνθρωποι, τὰ πρότερα δ', ἢν ἐντὸς ἁλῶσι τοῦ Ἀκίδαντος, ἐδωδίμους ὄντας. ὅτι δὲ τῷ Ἀκίδαντι ὄνομα Ἰάρδανος ἦν τὸ ἀρχαῖον, αὐτὸς μὲν οὐδαμόθεν συνεβαλόμην, ἀκούσας
387 δὲ ἀνδρὸς Ἐφεσίου, λέγω τὸν λόγον. τῷ δὲ Ἀνίγρῳ τὸ ἄτοπον εἶναι τῆς ὀσμῆς ἀπὸ τῆς γῆς πείθομαι, δι' ἧς ἄνεισι τὸ ὕδωρ· καθὰ δὴ καὶ τοῖς ὑπὲρ Ἰωνίας ἐστὶν ὕδασι τὸ αὐτὸ αἴτιον, ὁπόσων ἡ ἀτμὶς ὀλέθριός ἐστιν ἀνθρώπῳ. Ἑλλήνων δὲ οἱ μὲν Χείρωνα, οἱ δὲ ἄλλον Κένταυρον Πολήνορα τοξευθέντα ὑπὸ Ἡρακλέους, καὶ φυγόντα τραυματίαν φασὶν ἐν τῷ ὕδατι ἀπολοῦσαι τούτῳ τὸ ἕλκος, καὶ ἀπὸ τῆς Ὕδρας τοῦ ἰοῦ γενέσθαι δυσχερῆ τῷ Ἀνίγρῳ τὴν

minus expediti homines in eam se possint demittere. Descendit flumen e Lapitha Arcadiae monte; ac statim a fonte graviter olentem aquam mittit: quae prius quam flumen aliud, Acidantem nomine, accipiat, manifestum est ne pisces quidem in ea ali. Quin et, quos ipse Acidas influens importat, esculentos esse negant, quum tamen, antequam in Anigrum ipsum innatent, ad cibum expetantur. Fuisse vero Acidanti nomen vetus Iardano, unde ipse coniicerem, non habui, sed auditum ab Ephesio homine refero. Tetrum vero illum aquarum odorem e terra, unde effluit, existere crediderim, quemadmodum et supra Ioniam ex eadem causa aquae tam mali sunt odoris, ut halitu ipso nonnullae exitium homini afferant. E Graecis vero Chironem alii, alii alium Centaurum Polenorem, ab Hercule sagitta percussum aiunt, quum vulneratus fugeret, huius fluminis aqua vulnus abluisse: inde Hydrae veneno infectum flumen, foedum odorem contraxisse.

σμήν. οἱ δὲ ἐς Μελάμποδα τὸν Ἀμυθάονος, καὶ ἐς τῶν Προίτου θυγατέρων τὰ καθάρσια ἐμβληθέντα ἐνταῦθα ἀνάγουσι τὴν αἰτίαν τοῦ ἐπὶ τῷ ποταμῷ καθήματος. (6) Ἔστι δὲ ἐν τῷ Σαμικῷ σπήλαιον οὐκ ἄποθεν τοῦ ποταμοῦ, καλούμενον Ἀνιγρίδων νυμφῶν. ὃς δ' ἂν ἔχων ἀλφὸν ἢ λεύκην ἐς αὐτὸ εἰσέλθῃ, πρῶτα μὲν ταῖς νύμφαις εὔξασθαι καθέστηκεν αὐτῷ, καὶ ὑποσχέσθαι θυσίαν ὁποιανδήτινα· μετὰ δὲ, ἀποσμήχει τὰ νοσοῦντα τοῦ σώματος. διανηξάμενος δὲ τὸν ποταμὸν, ὄνειδος μὲν ἐκεῖνο κατέλιπεν ἐν τῷ ὕδατι αὐτοῦ· ὁ δὲ ὑγιής τε ἄνεισι καὶ ὁμόχρους.

CAPUT VI.

De urbe Samia et de Samico — Arene — Scilluntis reliquiis — Xenophontis fuga et exilio in Scillunte — monte Typaeo ad viam Olympiam versus, et Callipatira seu Pherenice, femina in Olympico certamine deprehensa.

Κατὰ δὲ τὴν ὁδὸν τὴν εὐθεῖαν διαβάντι τὸν Ἄνιγρον, καὶ ἰόντι ἐς Ὀλυμπίαν, ἔστιν οὐ μετὰ πολὺ ἐν δεξιᾷ τῆς ὁδοῦ χωρίον τε ὑψηλὸν καὶ πόλις Σαμία ἐπ' αὐτοῦ Σαμι-

Sunt qui in id causam referunt, quod insaniae morbo liberatis Proeti filiabus, Melampus Amythaonis filius piacula in hunc amnen abiecerit. (6) In Samico non longe a flumine antrum est, Anigridum Nympharum *incolae* appellant. Huc qui vitiata aliquo vitiliginis genere (nigro vel albo) cute intravit, ubi primum Nymphis rite imploratis, nuncupatisque cuiuscunque sacrificii votis, deinde laborantes corporis partes defricuerit, amnemque nando transmiserit, foeditatem eam in aquis relinquere creditur, atque inde sanus emergere, nativo cuti colore restituto omnique macula abolita.

Cap. VI. Anigro transmisso recta in Olympiam contendentibus modico intervallo ad viae dexteram in eminentiore loco Samia oppidum supra ipsum Samicum. Et Samicum

κοῦ. ταύτῃ [τῷ Σαμικῷ] Πολυσπέρχοντά φασιν ἄνδρ Αἰτωλὸν ἐπιτειχίσματι ἐπὶ τοὺς Ἀρκάδας χρήσασθαι. (2) Τ δὲ ἐρείπια τὰ Ἀρήνης σαφῶς μὲν οὔτε Μεσσηνίων εἶχε οὐδεὶς, οὔτε Ἠλείων ἀποφῆναί μοι. διάφορα δὲ ὑπὲρ αὐ τῆς καὶ οὐ κατὰ ταὐτὰ πάρεστι τοῖς ἐθέλουσιν εἰκάζει πιθανώτατα δὲ ἐφαίνοντό μοι λέγειν οἱ τὸ Σαμικὸν τ παλαιότερα ἔτι καὶ τὰ ἐπὶ τῶν ἡρώων Ἀρήνην καλεῖσθα νομίζοντες: οὗτοι δὲ καὶ ἔπη τῶν ἐν Ἰλιάδι ἔλεγον·

Ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων
Ἐγγύθεν Ἀρήνης.

388 τὰ δὲ ἐρείπια ταῦτα πλησιαίτατά ἐστι τοῦ Ἀνίγρου. κα Ἀρήνην μὲν ἀμφισβητοίης ἂν μὴ ὀνομασθῆναι τὸ Σαμικὸν τῷ δὲ ποταμῷ Ἀνίγρῳ Μινυήϊον τὸ ὄνομα εἶναι τὸ ἀρχαῖον ὡμολογήκασιν οἱ Ἀρκάδες. ὅρον δὲ Ἠλείοις πρὸς τὴ Μεσσηνίαν τῆς Νέδας τὰ ἐπὶ θαλάσσῃ γενέσθαι τις πεί θοιτο ἂν ὁμοῦ τῇ ἐς Πελοπόννησον Ἡρακλειδῶν καθόδῳ (3) Μετὰ δὲ τὸν Ἄνιγρον ὁδεύσας ἐπὶ μακρότερον δι χωρίου τὰ πλείονα ὑπὸ ψάμμου κεκαλυμμένου, καὶ ἔχοντο

quidem Polysperchonti Aetolo traditum est adversus Arcada propugnaculum fuisse. (2) Arenes vero vestigia neque Messeniorum, neque Eleorum quisquam, quo loco essent, visus es mihi compertum habere. In diversas enim sententias, qui i coniicere conati fuerint, distrahuntur. Veri mihi simillima i dicere videntur, qui Samicum heroum temporibus, et long etiam ante Arenen vocatam existimant. Nituntur vero Homeri, qui in Iliade sunt, versuum testimonio:

Proximus Arenae Minyeius in mare currens
Est amnis.

Quae se ostendunt ruinae, proxime Anigrum sunt. Atque contendere quidem possis, Samicum non appellatum esse Arenen, Anigrum autem fluvium Minyeium antiquitus fuisse nominatum, confitentur Arcades. Nedae quidem maritimam partem sub Heraclidarum reditum in Peloponnesum terminum fuisse inter Messenios et Eleos, facile deprehendi potest. (3) Iam secundum Anigrum qui longius processerit per campos maiori ex parte arena coopertos, in quibus sunt agrestes

δένδρα, πίτυς ἀγρίας, ὀπίσω ἐπ' ἀριστερᾷ Σκιλλοῦντος ὄψει ἐρείπια. τῶν μὲν δὴ πόλεων ἦν τῶν ἐν τῇ Τριφυλίᾳ καὶ Σκιλλοῦς. ἐπὶ δὲ τοῦ πολέμου τοῦ Πισαίων πρὸς Ἠλείους, ἐπίκουροί τε Πισαίων οἱ Σκιλλούντιοι καὶ διάφοροι τοῖς Ἠλείοις ἦσαν ἐκ τοῦ φανεροῦ, καὶ σφᾶς οἱ Ἠλεῖοι τούτων εἵνεκα ἐποίησαν ἀναστάτους. (4) Λακεδαιμόνιοι δὲ ὕστερον Σκιλλοῦντα ἀποτεμόμενοι τῆς Ἠλείας, Ξενοφῶντι ἔδοσαν τῷ Γρύλλου, φυγάδι ἤδη γεγονότι ἐξ Ἀθηνῶν. ἐδιώχθη δὲ ὁ Ξενοφῶν ὑπὸ Ἀθηναίων, ὡς ἐπὶ βασιλέα τῶν Περσῶν, σφίσιν εὔνουν ὄντα, στρατείας μετασχὼν Κύρῳ πολεμιωτάτῳ τοῦ δήμου. καθήμενος γὰρ ἐν Σάρδεσιν ὁ Κῦρος, Λυσάνδρῳ τῷ Ἀριστοκρίτου καὶ Λακεδαιμονίοις χρήματα ἀνήλισκεν ἐς τὰς ναῦς. ἀντὶ τούτων μὲν Ξενοφῶντι ἐγένετο φυγή· κατοικήσας δὲ ἐν Σκιλλοῦντι, τέμενός τε καὶ ἱερὸν καὶ ναὸν Ἀρτέμιδι ᾠκοδομήσατο Ἐφεσίᾳ. παρέχεται δὲ ὁ Σκιλλοῦς καὶ ἄγρας θηρίων, σῶν τε ἀγρίων καὶ ἐλάφων. καὶ τὴν γῆν τὴν Σκιλλουντίαν Σελινοῦς ποταμὸς διέξεισιν. οἱ δὲ Ἠλείων ἐξηγηταὶ κομί-

pinus, ad laevam Scilluntis rudera videat. Fuit enim una de Triphyliae urbibus Scillus. Ac belli quidem eius tempore, quod inter Pisaeos et Eleos gestum est, Pisaeos Scilluntii secuti, cum Eleis propalam inimicitias exercuere, qua de causa postea ab Eleis deleti sunt. (4) Sed ereptam Eleis Scilluntem Lacedaemonii post Xenophonti Grylli filio tunc Athenis exulanti donarunt. Exagitatus vero est Xenophon a suis civibus, quod Cyro, qui fuit Atheniensi populo inimicissimus, contra Persarum regem, quo maxime benevolo utebantur, stipendia fecisset. Quum enim Sardibus esset Cyrus, Lysandrum Aristocriti filium ad comparandum contra Athenienses classem pecunia iuverat. Haec itaque Xenophonti exilii causa fuit. Constituto autem ad Scilluntem domicilio, agri partem Ephesiae Dianae, et fanum dedicavit. Abundat Scillus *omnibus* ferarum generibus ad venationem, apris in primis, et cervis. Agrum perlabitur Scilluntium Selinus amnis. Ex

389 σασθαί τε αὖθις Σκιλλοῦντα Ἠλείους ἔλεγον, καὶ Ξενο-φῶντα, ὅτι ἔλαβε παρὰ Λακεδαιμονίων τὴν γῆν, κριθῆ-ναι μὲν ἐν τῇ Ὀλυμπιακῇ βουλῇ, τυχόντα δὲ παρὰ Ἠλείω συγγνώμης, ἀδεῶς ἐν Σκιλλοῦντι οἰκῆσαι. καὶ δὴ κα ὀλίγον ἀπωτέρω τοῦ ἱεροῦ μνῆμά τε ἐδείκνυτο, καὶ τῆ Πεντέλησιν ἐστι λιθοτομίας εἰκὼν ἐπὶ τῷ τάφῳ· εἶναι δ αὐτὸ Ξενοφῶντος λέγουσιν οἱ προσοικοῦντες. (5) Κατ δὲ τὴν ἐς Ὀλυμπίαν ὁδὸν, πρὶν ἢ διαβῆναι τὸν Ἀλφειὸ ἔστιν ὄρος ἐκ Σκιλλοῦντος ἐρχομένῳ πέτραις ὑψηλαῖς ἀπό-τομον· ὀνομάζεται δὲ Τυπαῖον τὸ ὄρος. κατὰ τούτου τὰ γυναῖκας Ἠλείοις ἐστὶν ὠθεῖν νόμος, ἢν φωραθῶσιν ἐ τὸν ἀγῶνα ἐλθοῦσαι τὸν Ὀλυμπιακὸν, ἢ καὶ ὅλως ἐν ταῖ ἀπειρημέναις σφίσιν ἡμέραις διαβᾶσαι τὸν Ἀλφειόν. οὐ μὴν οὐδὲ ἁλῶναι λέγουσιν οὐδεμίαν, ὅτι μὴ Καλλιπάτει-ραν μόνην. εἰσὶ δὲ οἳ τὴν αὐτὴν ταύτην Φερενίκην, κα οὐ Καλλιπάτειραν καλοῦσιν. αὕτη, προαποθανόντος αὐτῇ τοῦ ἀνδρὸς, ἐξεικάσασα αὑτὴν τὰ πάντα ἀνδρὶ γυ-μναστῇ, ἤγαγεν ἐς Ὀλυμπίαν τὸν υἱὸν μαχούμενον. νικῶν-

Eleis autem ii, quibus curae est antiquitatis memoriam conservare, receptam a suis Scilluntem memorant: et Xenophontem, quod illam a Lacedaemoniis accepisset, *maiestatis* in Olympico consilio postulatum, *causam dixisse*, eundemque ab Eleis absolutum, Scillunte impune domicilium habuisse. Et sane non longe a Dianio monumentum monstratur cum statua e Pentelico marmore, quam Xenophontis esse accolae dicunt. (5) In via, quae Olympiam ducit cis Alpheum, Scillunte venienti, celsa crepidine praeruptus mons occurrit: Typaeum illum appellant. Hinc de saxo foeminas deiicere Eleorum lex iubet, quae ad Olympicos ludos penetrasse deprehensae fuerint, vel quae omnino Alpheum transmiserint, quibus est eis interdictum diebus. Non tamen deprehensam esse ullam perhibent praeter unam Callipatiram, quam alii Pherenicen nominant. Haec viro mortuo, cum virili ornatu exercitationum se magistrum simulans, Pisidorum filium in certa-

τος δὲ τοῦ Πεισιδώρου, τὸ ἔρυμα, ἐν ᾧ τοὺς γυμναστὰς ἔχουσιν ἀπειλημμένους, τοῦτο ὑπερπηδῶσα ἡ Καλλιπάτειρα ἐγυμνώθη. φωραθείσης δὲ ὅτι εἴη γυνή, ταύτην ἀφιᾶσιν ἀζήμιον, καὶ τῷ πατρὶ καὶ ἀδελφοῖς αὐτῆς καὶ τῷ παιδὶ αἰδῶ νέμοντες· ὑπῆρχον δὴ ἅπασιν αὐτοῖς Ὀλυμπικαὶ νῖκαι. ἐποιήσαντο δὲ νόμον ἐς τὸ ἔπειτα ἐπὶ τοῖς γυμνασταῖς, γυμνοὺς σφᾶς ἐς τὸν ἀγῶνα ἐσέρχεσθαι.

CAPUT VII.

De Alpheo et fluviis in eum influentibus — de Alpheo et Arethusa fabula — de aliis fluviis paludem vel mare perlabentibus ac maris mortui mira ratione — Olympicorum ludorum origine et denominatione — Hyperboreis.

Ἀφικομένῳ δὲ ἐς Ὀλυμπίαν, ἐνταῦθα ἤδη τὸ ὕδωρ ἐστὶ τοῦ Ἀλφειοῦ πλήθει τε πολὺ ἰδόντι καὶ ἥδιστον, ἅτε ποταμῶν καὶ ἄλλων καὶ λόγου μάλιστα ἀξίων ἔτι τε ἐς αὐτὸν ῥεόντων. διὰ Μεγάλης μέν γε πόλεως Ἑλισσὼν ἐρχόμενος ἐκδίδωσιν ἐς τὸν Ἀλφειόν· Βρενθεάτης δὲ ἐκ τῆς Μεγαλο- 390
πολιτῶν γῆς· παρὰ δὲ Γόρτυναν ἔνθα ἱερὸν Ἀσκληπιοῦ, παρὰ δὲ ταῦτα Γορτύνιος ῥέων· ἐκ Μελαινέων Βουφάγος τῆς Μεγαλοπολίτιδος μεταξὺ καὶ Ἡραιίτιδος χώρας· ἐκ

men deduxit: iamque eo vincente sepimentum id, quo magistros seclusos habent, transiluit veste posita. Foeminam tamen agnitam omni crimine liberarunt. Datum hoc ex iudicum aequitate patris, fratrum, et filii gloriae, qui omnes ex Olympicis ludis victores abierant. Ex eo lege sancitum, ut nudati adessent ad ludicrum ipsi etiam magistri.

Cap. VII. Qui iam in Olympiam pervenerint, Alpheum amnem videant, uberrima et suavissima fluentem aqua: in quem tum alii nobiles amnes influunt, tum in primis, qui per Megalopolim labitur Helisson nomine: Brentheates etiam ex agro Megalopolitano. At prope Gortynam, ubi Aesculapii fanum, praeterfluit Gortynius. Ex Melaenensibus, inter Megalopolitanae et Heraitidis terrae fines, Buphagus. E Cli-

δὲ τῆς Κλειτορίων Λάδων· ἐκ δὲ Ἐρυμάνθου τοῦ ὄρο ὁμώνυμος τῷ ὄρει. οὗτοι μὲν ἐξ Ἀρκαδίας κατίασιν τὸν Ἀλφειόν. Κλάδεος δὲ ἐρχόμενος ἐκ τῆς Ἠλείας συ μίσγει οἱ τὸ ῥεῦμα. αὐτῷ δὲ ἐν τῇ Ἀρκάδων τῷ Ἀλφει καὶ οὐχὶ ἐκ τῆς Ἠλείας εἰσὶν αἱ πηγαί. (2) Λέγεται δ καὶ ἄλλα τοιάδε ἐς τὸν Ἀλφειὸν, ὡς ἀνὴρ εἴη θηρευτὴ ἐρασθῆναι δὲ αὐτὸν Ἀρεθούσης· κυνηγετεῖν δὲ καὶ ταύ την. καὶ Ἀρέθουσαν μὲν οὐκ ἀρεσκομένην γήμασθα περαιωθῆναί φασιν ἐς νῆσον τὴν κατὰ Συρακούσας, κα λουμένην δὲ Ὀρτυγίαν, καὶ ἐνταῦθα ἐξ ἀνθρώπου γεν σθαι πηγήν· συμβῆναι δὲ ὑπὸ τοῦ ἔρωτος καὶ Ἀλφει τὴν ἀλλαγὴν ἐς τὸν ποταμόν. ταῦτα μὲν λόγου τοῦ ἐ Ἀλφειὸν ἐς τὴν Ὀρτυγίαν. τὸ δὲ διὰ τῆς θαλάσσης ἰόντα ἐνταῦθα ἀνακοινοῦσθαι τὸ ὕδωρ πρὸς τὴν πηγὴν, οὐ ἔχειν ὅπως ἀπιστήσω, τὸν θεὸν ἐπιστάμενος τὸν ἐν Δελ φοῖς ὁμολογοῦντά σφισιν· ὃς Ἀρχίαν τὸν Κορίνθιον ἐς τὸν Συρακουσῶν ἀποστέλλων οἰκισμὸν, καὶ τάδε εἶπε τὰ ἔπη

Ὀρτυγίη τις κεῖται ἐν ἠεροειδέϊ πόντῳ,

toriorum agro Ladon. Ex Erymantho monte cognominis fluvius. Atque hi quidem ex Arcadia omnes in Alpheum descendunt. Iam Cladaeus ab Eleis veniens eidem se permiscet. (2) Neque tamen Alphei ipsius in Eleo agro, sed in Arcadia fontes sunt: de quo vulgata est fabula, virum illum fuisse venatorem, Arethusam amasse, et ipsam venandi studiosam. Quae quum illius nuptias recusasset, in insulam, cui Ortygiae nomen fuit, prope Syracusas, dicitur transmisisse, atque ibi in fontem conversam: ipsi etiam Alpheo accidisse, ut prae amore in amnem mutaretur. Quae omnia fabulose dicta facile videri possunt. Meantem vero subter mare amnem fonti apud Syracusas immisceri, quid causae sit, quare non credam, non plane video, quum Delphici Apollinis voce rei fidem factam meminerim. Is enim Archiam Corinthium ad Syracusas condendas proficisci iubens, huiusmodi usus est versibus:

Trinacriam supra medio iacet insula ponto:

Τρινακίης καθύπερθεν, ἵν' Ἀλφειοῦ στόμα βλύζει,
Μισγόμενον πηγαῖσιν εὐῤῥείτης Ἀρεθούσης.

κατὰ τοῦτο οὖν, ὅτι τῇ Ἀρεθούσῃ τοῦ Ἀλφειοῦ τὸ ὕδωρ μίσγεται, καὶ τοῦ ἔρωτος τὴν φήμην τῷ ποταμῷ πείθομαι γενέσθαι. (3) Ὅσοι δὲ Ἑλλήνων ἢ Αἰγυπτίων ἐς Αἰθιοπίαν ὑπὲρ Συήνης καὶ ἐς Μερόην Αἰθιόπων πόλιν ἀναβε- 391
βήκασι, λέγουσιν οὗτοι τὸν Νεῖλον ἐσιόντα ἐς λίμνην, καὶ δι' αὐτῆς διεξιόντα ὥσπερ ἐκ χέρσου, μετὰ τοῦτο ἤδη δι' Αἰθιοπίας τῆς κάτω καὶ ἐπ' Αἴγυπτον ῥεύσαντα, ἐπὶ Φάρον καὶ τὴν ταύτῃ θάλασσαν κατέρχεσθαι. ἐν δὲ τῇ γῇ ποταμόν τινα Ἑβραίων καὶ αὐτὸς οἶδα Ἰορδάνην λίμνην Τιβεριάδα ὀνομαζομένην διοδεύοντα, ἐς δὲ τὴν λίμνην ἑτέραν καλουμένην θάλασσαν νεκρὰν, ἐς ταύτην ἐσιόντα, καὶ ὑπὸ τῆς λίμνης αὐτὸν ἀναλούμενον. ἡ δὲ θάλασσα ἡ νεκρὰ πάσχει κατὰ ὕδατι ἄλλῳ τὰ ἐναντία. ἐν ᾗ γε τὰ μὲν ζῶντα πέφυκεν οὐ νηχόμενα ἐποχεῖσθαι, τὰ δὲ θνήσκοντα ἐς βυθὸν χωρεῖν. ταύτῃ ἄκαρπος καὶ ἰχθύων ἡ λίμνη, ἅτε ἀπὸ τοῦ φανερωτάτου κινδύνου ἐπὶ τὸ ὕδωρ

Ortygiam dixere: ubi cana fluenta refundit
Alpheus, pulchre sese immiscens Arethusae.

Atque ex eo quidem, quod in Arethusam fontem illabitur Alpheus, fabulae de Alphei amore locum datum crediderim. (3) Et sane Graecorum quotcunque, vel Aegyptiorum, qui in Aethiopiam supra Syenen vel ad Meroen (Aethiopum urbem) profecti sunt, Nilum narrant paludem quandam ingressum, per eamque non secus ac per continentem terram elapsum, exinde per Aethiopiam inferiorem in Aegyptum decurrere, ac postea in mare, quod ad Pharum est, erumpere. In Hebraeorum finibus amnem ipse vidi Iordanem, qui stagnum Tiberiadem nuncupatum subit; ac deinde in alterum stagnum, cui Mare mortuum nomen est, ingressus, in ea ipsa palude consumtus evanescit. Hoc ipsum mare, quod Mortuum dicitur, diversa admodum a ceteris aquis natura est. In eo enim viventia, etiamsi nihil se moveant, supernatant; inanima vero omnia in ima descendunt. Eo fit, ut et piscibus orba sit palus. E manifesto enim periculo se pisces ad

ἀναφεύγουσιν ὀπίσω τὸ οἰκεῖον. τῷ δὲ Ἀλφειῷ τὸ αὐτ
πάσχει καὶ ὕδωρ ἄλλο ἐν Ἰωνίᾳ. τούτου δὲ τοῦ ὕδατο
πηγὴ μέν ἐστιν ἐν Μυκάλῃ τῷ ὄρει. διεξελθὸν δὲ θάλασ-
σαν τὴν μεταξὺ ἄνεισιν αὖθις κατὰ Βραγχίδας πρὸς λιμέν
ὀνομαζομένῳ Πανόρμῳ. ταῦτα μὲν δὴ ἔχει τρόπον τὸ
εἰρημένον.

(4) Ἐς δὲ τὸν ἀγῶνα τὸν Ὀλυμπιακὸν, λέγουσι
Ἠλείων οἱ τὰ ἀρχαιότατα μνημονεύοντες, Κρόνον τὴν ἐ
οὐρανῷ σχεῖν βασιλείαν πρῶτον, καὶ ἐν Ὀλυμπίᾳ ποιη-
θῆναι Κρόνῳ ναὸν ἀπὸ τῶν τότε ἀνθρώπων, οἳ ὠνομά-
ζοντο χρυσοῦν γένος· Διὸς δὲ τεχθέντος ἐπιτρέψαι Ῥέα
τοῦ παιδὸς τὴν φρουρὰν τοῖς Ἰδαίοις Δακτύλοις, καλουμέ-
νοις δὲ τοῖς αὐτοῖς τούτοις καὶ Κούρησιν· ἀφικέσθαι δ
392 αὐτοὺς ἐξ Ἴδης τῆς Κρητικῆς, Ἡρακλέα, καὶ Παιωναῖον
καὶ Ἐπιμήδην, Ἰασόν τε καὶ Ἴδαν· τὸν δὲ Ἡρακλέα παί-
ζοντα (εἶναι γὰρ δὴ αὐτὸν πρεσβύτατον ἡλικίᾳ) συμβαλεῖ
τοὺς ἀδελφοὺς ἐς ἅμιλλαν δρόμου, καὶ τὸν νικήσαντα ἐ
αὐτῶν κλάδῳ στεφανῶσαι κοτίνου· παρεῖναι δὲ αὐτοῖς

aquas recipiunt naturae suae congruentes. Idem quod Alphe
accidit etiam alii in Ionia flumini, cuius quum in Mycale monte
fontes sint, mare, quod in medio est, perlapsus, emergi
rursus in Branchidis, prope portum, cui Panormo nomen.
Atque haec quidem ad hunc modum se habent. (4) De Olym-
picorum vero ludorum origine inter Eleos ii, qui maxime
priscarum rerum memoriam consectantur, haec commemo-
rant: Saturnum primum omnium coeli regnum obtinuisse: et
in Olympia homines eos, quod aureum genus nuncupatum est,
templum dedicasse. Post haec recens natum Iovem Rheam,
matrem, Dactylis Idaeis, qui Curetes alio nomine appellati
sunt, commendasse: venisse illos postea ab Ida Cretae monte
in Elidem: fratres hos fuisse: quorum etiam nomina produnt,
Herculem, Paeonaeum, Epimedem, Iasium, et Idam. Her-
culem, ut qui natu maximus erat, cursus certamen fratribus
per ludum proposuisse, victoremque oleastri corona donasse.

πολύ δή τι οὕτω τὸν κότινον, ὡς τὰ χλωρὰ ἔτι τῶν φύλλων ὑπεστρῶσθαι σφᾶς καθεύδοντας. κομισθῆναι δὲ ἐκ τῆς Ὑπερβορέων γῆς τὸν κότινόν φασιν ὑπὸ τοῦ Ἡρακλέους ἐς Ἕλληνας· εἶναι δὲ ἀνθρώπους, οἳ ὑπὲρ τὸν ἄνεμον οἰκοῦσι τὸν Βορέαν. πρῶτος μὲν ἐν ὕμνῳ τῷ ἐς Ἀχαιΐαν ἐποίησεν Ὠλὴν ὁ Λύκιος, ἀφικέσθαι τὴν Ἀχαιΐαν ἐς Δῆλον ἐκ τῶν Ὑπερβορέων τούτων. ἔπειτα ᾠδὴν Μελάνωπος Κυμαῖος ἐς Ὦπιν καὶ Ἑκαέργην ᾖσεν, ὡς ἐκ τῶν Ὑπερβορέων καὶ αὗται πρότερον [ἐς τὴν Ἀχαιΐαν] ἀφίκοντο καὶ ἐς Δῆλον. Ἀριστέας γὰρ ὁ Προκοννήσιος μνήμην ἐποιήσατο Ὑπερβορέων· καὶ οὗτος τάχα τι καὶ πλέον περὶ αὐτῶν πεπυσμένος εἴη παρὰ Ἰσσηδόνων, ἐς οὓς ἀφικέσθαι φησὶν ἐν τοῖς ἔπεσιν. Ἡρακλεῖ οὖν πρόσεστι τῷ Ἰδαίῳ δόξα τὸν τότε ἀγῶνα διαθεῖναι πρώτῳ, καὶ Ὀλύμπια ὄνομα θέσθαι. διὰ πέμπτου οὖν ἔτους αὐτὸν κατεστήσατο ἄγεσθαι, ὅτι αὐτός τε καὶ οἱ ἀδελφοὶ πέντε ἦσαν ἀριθμόν. ἄλλα δὴ οἱ μὲν ἐνταῦθα παλαῖσαι καὶ αὐτῷ Κρόνῳ περὶ τῆς ἀρχῆς, οἱ δὲ ἐπὶ κατειργασμένοις ἀγωνοθετῆσαι * φα-

Magnam vero illos oleastri copiam habuisse; siquidem sua etiam cubilia eius arboris viridi fronde substernebant. Stirpem quidem eam fuisse ex Hyperboreis ab Hercule primum ad Graecos deportatam. Esse Hyperboreos ipsos gentem supra Aquilones, primus certe versibus mandavit Olen Lycius in hymno, quem in Achaeian fecit: venisse Delum ex Hyperboreis Achaeian. Post Olenem canticum Melanopus Cumanus in Opin et Hecaergen decantavit, quo et ipsas testatus est prius in Achaeiam et Delum ab Hyperboreis venisse. Nam Aristeas Proconnesius mentionem *duntaxat* Hyperboreorum fecit, quum plura tamen de illis cognoscere potuerit ab Issedonibus, ad quos se aliquando profectum carminibus prodidit. Auctor igitur istorum ludorum Hercules Idaeus celebratur, a quo sunt Olympia appellati; et ob eam rem quinquennales esse placuit, quod fratres quinque numero fuere. Sunt qui Iovem cum Saturno de imperio hoc ipso in loco colluctatum dicant. Alii debellatis Titanibus ab eodem ludos

σιν αὐτόν. νικῆσαι δὲ ἄλλοι τε λέγονται, καὶ ὅτι Ἀπόλ λων παραδράμοι μὲν ἐρίζοντα Ἑρμῆν, κρατήσαι δὲ Ἄρεα πυγμῇ. τούτου δὲ εἵνεκα καὶ τὸ αὔλημα τὸ Πυθικόν φασ τῷ πηδήματι ἐπεισαχθῆναι τῶν πεντάθλων, ὡς τὸ μὲν ἱε ρὸν τοῦ Ἀπόλλωνος τὸ αὔλημα ὄν, τὸν Ἀπόλλωνα δὲ ἀνη ρημένον Ὀλυμπιακὰς νίκας.

CAPUT VIII.

De variis regibus, qui post Herculem ludos Olympiacos celebra runt — ludis Olympiacis post Oxylum usque ad Iphitum cessantibus — primo cursus certamine, reliquisque certami nis generibus institutis.

393 Τούτων δὲ ὕστερον Κλύμενον τὸν Κάρδιος, πεντηκοστῷ μάλιστα ἔτει μετὰ τὴν συμβᾶσαν ἐπὶ Δευκαλίωνος ἐν Ἕλ λησιν ἐπομβρίαν, ἐλθόντα ἐκ Κρήτης, γένος ἀπὸ Ἡρα κλέους ὄντα τοῦ Ἰδαίου, τόν τε ἀγῶνα ἐν Ὀλυμπίᾳ θεῖναι καὶ Κούρησι τοῖς τε ἄλλοις καὶ Ἡρακλεῖ τῷ προγόνῳ λέ γουσιν ἱδρύσασθαι βωμὸν, Παραστάτην ἐπωνυμίαν τῷ Ἡρακλεῖ θέμενον. Ἐνδυμίων δὲ ὁ Ἀεθλίου Κλύμενόν τ

institutos; quibus et alii vicisse narrantur, et Apollo Mercu rium cursu secum certantem praevertisse, pugilatu Martem superasse: cuius rei causa traditum, ut Pythii tibiarum modi salientibus quinquertionibus praecinerentur, quod sacrum id carmen Apollini esset, et ipse *primus* Olympicas tulisset palmas.

Cap. VIII. Quinquaginta vero annis post Deucalioni diluvium Clymenum aiunt Cardis filium, ab Idaeo Hercul oriundum, e Creta venientem ludos in Olympia fecisse, tum aliis Curetibus, tum vero Herculi proavo suo aram de casse, et ipsum Herculem cognomento Adiutorem appellas Clymenum hunc Endymion Aethlii filius regno exuit; ac s

ιαυσε τῆς ἀρχῆς, καὶ δρόμου τοῖς υἱοῖς ἆθλα ἐν Ὀλυμ-
ίᾳ τὴν βασιλείαν ἔθηκε. Πέλοψ δὲ ὕστερον γενεᾷ μάλι-
τα μετὰ Ἐνδυμίωνα τὸν ἀγῶνα τῷ Ὀλυμπίῳ Διῒ ἐποίη-
εν ἀξιολογώτατα ἀνθρώπων τῶν πρὸ αὐτοῦ. Πέλοπος
ὲ τῶν παίδων σκεδασθέντων ἐξ Ἤλιδος ἀνὰ πᾶσαν τὴν
λλην Πελοπόννησον, Ἀμυθάων ὁ Κρηθέως Ἐνδυμίωνι
νεψιὸς πρὸς πατρὸς (εἶναι γάρ φασι καὶ Ἀέθλιον Αἰόλου,
ιὸς δὲ ἐπίκλησιν) ἔθηκεν ὁ Ἀμυθάων τὰ Ὀλύμπια, μετὰ
ὲ αὐτὸν Πελίας τε καὶ Νηλεὺς ἐν κοινῷ. ἔθηκε δὲ καὶ
ὐγέας καὶ Ἡρακλῆς ὁ Ἀμφιτρύωνος ἑλὼν Ἦλιν. ὁπό-
σους δὲ ἐστεφάνωσεν οὗτος νικῶντας, ἔστιν Ἰόλαος ταῖς
Ἡρακλέους δραμὼν ἵπποις. ἦν δὲ ἄρα ἐκ παλαιοῦ καθε-
στηκὸς, ἀγωνίζεσθαι καὶ ἀλλοτρίαις ἵπποις. Ὅμηρος
οὖν ἐν ἄθλοις τεθεῖσιν ἐπὶ Πατρόκλῳ πεποίηκεν, ὡς Με-
νέλαος Αἴθῃ τῇ Ἀγαμέμνονος, τῷ δὲ ἑτέρῳ χρήσαιτο τῶν
ἵππων οἰκείῳ. ἡνιόχει δὲ καὶ ἄλλως Ἰόλαος Ἡρακλεῖ τὰς
ἵππους. αὐτός τε οὖν ἅρματι, καὶ Ἴασιος ἀνὴρ Ἀρκὰς
κέλητος ἐνίκησεν ἵππου δρόμῳ. Τυνδάρεω δὲ οἱ παῖδες,

deinde filiis in Olympia cursus certamen de regno proposuit. Dehinc una fere post Endymionem exacta aetate Pelops omnium, qui ante se fuissent, maxime memorabiles Olympio Iovi ludos fecit. Pelopis vero filiis ex Elide eiectis, et per ceteram Peloponnesum totam dissipatis, Amythaon Crethei filius, Endymionis patruelis, (fuisse enim Aethlium quoque Aeoli, cui Iovi cognomen, filium dicunt) Olympia instauravit. Post hunc eosdem ludos novarunt Pelias et Neleus communi consilio. Augeas praeterea, et Hercules Amphitryonis filius Elide capta. Coronam is quidem Iolao primum detulit, qui equas ab Hercule mutuatus in cursu ceteros anteierat. Et fuit antiquitus traditum fuit alienas equas ad certamen mutuari: siquidem Homerus in funebribus Patrocli ludis Menelaum fecit Agamemnonis Aetha usum, altero vero suo ipsius. Herculis certe auriga fuit Iolaus; atque hic quidem curru, Iasius vero Arcas desultorio equo vicit. Ex Tyndarei filiis curru alter,

ὁ μὲν δρόμῳ, Πολυδεύκης δὲ πυκτεύων. λέγεται δὲ κα ἐς αὐτὸν Ἡρακλέα, ὡς πάλης τε ἀνέλοιτο καὶ παγκρατίο νίκας. (2) Μετὰ δὲ Ὄξυλον (διέθηκε γὰρ τὸν ἀγῶνα κα Ὄξυλος) μετὰ τοῦτον βασιλεύσαντα ἐξέλιπεν ἄχρι Ἰφίτο τὰ Ὀλύμπια. Ἰφίτου δὲ τὸν ἀγῶνα ἀνανεωσαμένου κα τὰ ἤδη μοι λελεγμένα, τοῖς ἀνθρώποις ἔτι ὑπῆρχε τῶ ἀρχαίων λήθη, καὶ κατ' ὀλίγον ἐς ὑπόμνησιν ἤρχοντο αι
394 τῶν, καὶ ὁπότε τι ἀναμνησθεῖεν, ἐποιοῦντο τῷ ἀγῶ προσθήκην. (3) Δῆλον δέ· ἐξ οὗ γὰρ τὸ συνεχὲς ταῖς μν μαις ἐπὶ ταῖς Ὀλυμπιάσιν ἐστί, δρόμου μὲν ἆθλα ἐτέθη πρῶ τον, καὶ Ἠλεῖος Κόροιβος ἐνίκα. εἰκὼν μὲν δὴ οὐκ ἔστ ἐν Ὀλυμπίᾳ τοῦ Κοροίβου, τάφος δὲ ἐπὶ τοῖς πέρασι τ Ἠλείας. Ὀλυμπιάδι δὲ ὕστερον τετάρτῃ καὶ δεκάτῃ προ ετέθη σφίσι δίαυλος. Ὕπηνος δὲ ἀνὴρ Πισαῖος ἀνείλετ ἐπὶ τῷ διαύλῳ τὸν κότινον· τῇ δὲ ἑξῆς Ἄκανθος. ἐπὶ δ τῆς ὀγδόης καὶ δεκάτης Ὀλυμπιάδος πεντάθλου καὶ πάλη ἀφίκοντο ἐς μνήμην. καὶ τοῦ μὲν Λάμπιδι ὑπῆρξεν, Ευ

Pollux caestibus. Ipsum etiam Herculem famá vulgatum e de lucta et pancratio coronatum. (2) Post Oxylum (nam hic ludos fecit) Olympia intermissa sunt usque ad Iphitu Illa vero instaurante Iphito, prorsus iam veterum ludoru obsoleverat memoria. Sed paulatim in eorum memoriam red ierunt; ac si quid reminiscerentur, id renovatis ludis adi cerunt additamentum. (3) Id ex eo maxime perspicuum est ex eo enim tempore, quo continuata est Olympiadum me moria (seu quo continua serie Olympiades memorari coepta sunt), cursus primum proposita sunt praemia, quae Coroebu Eleus obtinuit. Neque tamen ulla Coroebi in Olympia statu extat; sed permanet eius sepulcrum in Eleorum finibus. Olym piade vero quartadecima additus est duplicati stadii cursu (δίαυλον Graeci vocant), e quo, accepta ex oleastro corona victor discessit Hypenus Pisaeus: Acanthus ea, quae conse cuta est, Olympiade. At decima octava quinquertii et lu ctae certamen eis in mentem venit: quinquertii Lampidi, lu

υβάτῳ δὲ ἡ νίκη τῆς πάλης, Λακεδαιμονίοις καὶ τούτοις. ίτῃ δὲ Ὀλυμπιάδι καὶ εἰκοστῇ πυγμῆς ἆθλα ἀπέδοσαν· νομάστος δὲ ἐνίκησεν ἐκ Σμύρνης συντελούσης ἤδη ηνικαῦτα ἐς Ἴωνας. πέμπτῃ δὲ ἐπὶ ταῖς εἴκοσι κατεδέξαντο ἵππων τελείων δρόμον· καὶ ἀνηγορεύθη Θηβαῖος αγώνδας κρατῶν ἅρματι. ὀγδόῃ δὲ ἀπὸ ταύτης Ὀλυμπιάδι ἐδέξαντο παγκρατιαστήν τε ἄνδρα, καὶ ἵππον κέλητα. ππος μὲν δὴ Κρανωνίου Κραυξίδα παρέφθη· τοὺς δὲ ελθόντας ἐπὶ τὸ παγκράτιον [ὁ] Λύγδαμις κατειργάσατο ρακούσιος. τούτῳ πρὸς ταῖς λιθοτομίαις ἐστὶν ἐν Συρακούσαις μνῆμα. εἰ δὲ καὶ Ἡρακλεῖ τῷ Θηβαίῳ μέγεθος αρισοῦτο ὁ Λύγδαμις, ἐγὼ μὲν οὐκ οἶδα, λεγόμενον δὲ πὸ Συρακουσίων ἐστί. τὰ δὲ ἐπὶ τοῖς παισίν, ἐς μὲν ῶν παλαιοτέρων οὐδεμίαν ἥκει μνήμην, αὐτοὶ δὲ ἀρέσαν φίσι κατεστήσαντο Ἠλεῖοι. δρόμου μὲν δὴ καὶ πάλης έθη παισὶν ἆθλα ἐπὶ τῆς ἑβδόμης καὶ τριακοστῆς Ὀλυμιάδος· καὶ Ἱπποσθένης Λακεδαιμόνιος πάλην, Πολυνεί- 395

ae praemium Eurybato (utrique Lacedaemonio) obtigit. Teria dehinc et vicesima Olympiade caestuum ludicrum institum: victor extitit Onomastus Smyrnaeus, quum iam tum d Ionum concilium Smyrna accessisset. Quinta supra viceimam iustae aetatis equorum cursus introductus: curru vicit hebanus Pagondas. Octava secundum hanc Olympiade, qui to corpore certaret (Pancratiasten *vocant*) et desultorius quus in curriculum rediere. Antevertit omnes equa Crauidae Cranonii. Evertit in pancratio adversarios Lygdamis yracusanus. Huius Syracusis prope Latomias monumentum stat. Nunquid is corporis magnitudine par fuerit Herculi hebano, compertum omnino non habeo: a Syracusanis certe psis ita traditum est. Puerorum vero certamina nullo veteis memoriae exemplo, arbitratu suo instituerunt Elei. Ac rimum quidem de cursu et lucta, septima et tricesima Olympiade, pueris proposita praemia. Luctae Hipposthenes Laedaemonius, cursus palmam accepit Polynices Eleus. At

κης δὲ τὸν δρόμον ἐνίκησεν Ἠλεῖος. πρώτῃ δὲ ἐπὶ ταῖ τεσσαράκοντα Ὀλυμπιᾶσι πύκτας ἐσεκάλεσαν παῖδας, κ περιῆν τῶν ἐσελθόντων Συβαρίτης Φιλήτας. τῶν δὲ ὁπλι τῶν ὁ δρόμος ἐδοκιμάσθη μὲν ἐπὶ τῆς πέμπτης Ὀλυμπι δος καὶ ἑξηκοστῆς, μελέτης ἐμοὶ δοκεῖν ἕνεκα τῆς ἐς τ πολεμικά. τοὺς δὲ δραμόντας ἀσπίσιν ὁμοῦ πρῶτος Δ μάρατος ἐκράτησεν Ἡραιεύς. δρόμος δὲ δύο ἵππων τ λείων συνωρὶς κληθεῖσα τρίτῃ μὲν Ὀλυμπιάδι ἐτέθη πρ ταῖς ἐνενήκοντα· Εὐαγόρας δὲ ἐνίκησεν Ἠλεῖος. ἐνν δὲ ἤρεσεν Ὀλυμπιάδι καὶ ἐνενηκοστῇ καὶ πώλων ἅρμασ ἀγωνίζεσθαι· Λακεδαιμόνιος δὲ Συβαριάδης τὸν στέφανο τῶν πώλων ἔσχε τοῦ ἅρματος. συνέθεσαν δὲ ὕστερον κ συνωρίδα πώλων, καὶ πῶλον κέλητα. ἐπὶ μὲν δὴ τῇ συ ωρίδι Βελιστίχην ἐκ Μακεδονίας τῆς ἐπὶ θαλάσσῃ γυνα κα, Τληπόλεμον δὲ Λύκιον ἀναγορευθῆναι λέγουσιν ἐ τῷ κέλητι· τοῦτον μὲν ἐπὶ τῆς πρώτης καὶ τριακοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, τῆς Βελιστίχης τὴν συνωρίδ Ὀλυμπιάδι πρὸ ταύτης τρίτῃ. πέμπτῃ δὲ ἐπὶ ταῖς τεσσ

prima et quadragesima Olympiade pueros in caestuum pugi commiserunt. Competitores superavit Sybaritanus Phileta Iam vero gravioris armaturae peditum cursus in stadium cu plausu receptus est quinta et sexagesima Olympiade: idon visa est ad res bellicas exercitatio. Qui cum scutis decurr runt, eos primus vicit Demaratus Heraeensis. Biiugorum integra aetate equorum (*συνωρίδα vocant, quasi bigas dix ris*) cursus *in curriculum* receptus Olympiade tertia et nonag sima: vicit Euagoras Eleus. Undecentesima vero Olympiad iunctis ad currum pullis certatum est: coronam cepit Syba riades Lacedaemonius. Receptae deinde pullorum bigae; pullus item desultorius. Bigarum palmam Belistiche, foe mina e maritima Macedoniae ora; desultorii Tlepolemus Ly cius abstulit: hic tricesima prima supra centesimam Olym piade; illa Olympiade ante hanc tertia. Post haec Olympiad

ῥάκοντα καὶ ἑκατὸν ἆθλα ἐτέθη παγκρατίου παισὶ, καὶ ἐνίκα Φαίδιμος Αἰολεὺς ἐκ πόλεως Τρωάδος.

CAPUT IX.

Nonnulla Olympica certamina ab Eleis abolentur — de Calpes et Anabatarum cursu — Olympicorum ludorum ordine — ludorum praefectis (Agonothetis) — Hellanodicis.

Κατελύθη δὲ ἐν Ὀλυμπίᾳ καὶ ἀγωνίσματα, μεταδόξαν
μηκέτι ἄγειν αὐτὰ Ἠλείοις. πένταθλόν τε γὰρ παίδων ἐπὶ
τῆς ὀγδόης Ὀλυμπιάδος καὶ τριακοστῆς ἐτέθη, καὶ ἐπ'
αὐτῷ τὸν κότινον Εὐτελίδα Λακεδαιμονίου λαβόντος, οὐκ-
έτι ἀρεστὰ Ἠλείοις ἦν πεντάθλους εἰσέρχεσθαι παῖδας.
τῆς δὲ ἀπήνης καὶ κάλπης τὸν δρόμον, τὸν μὲν Ὀλυμπιάδι
νομισθέντα ἑβδομηκοστῇ, τὸν δὲ τῆς κάλπης τῇ ἐφεξῆς 396
ταύτης, κήρυγμα ὑπὲρ ἀμφοτέρων ἐποιήσαντο ἐπὶ τῆς τε-
τάρτης Ὀλυμπιάδος καὶ ὀγδοηκοστῆς, μήτε κάλπης τοῦ λοι-
ποῦ, μήτε ἀπήνης ἔσεσθαι δρόμον. ὅτε δὲ ἐτέθη πρῶτον,
Θερσίου μὲν ἀπήνη Θεσσαλοῦ, Παταίκου δὲ Ἀχαιοῦ τῶν

centesima et quadragesima quinta puerile institutum pancratium: in quo vicit Phaedimus Aeolensis ex urbe Troade.

Cap. IX. Sunt etiam antiquata nonnulla Olympiae certamina, Eleisque mutata sententia visum non amplius ea agitari. Puerorum enim quinquertium XXXVIII Olympiade institutum quidem fuit; et Lacedaemonius Eutelidas eo victor oleastri coronam accepit; postea tamen non amplius Eleis placuit, ut in quinquertii certamen descenderent pueri. Quumque apenen septuagesima Olympiade solenniter instituissent, et calpen Olympiade post eam proxima, decreto facto octogesima quarta Olympiade utrumque abrogarunt certamen, ac vetuerunt, ne in posterum vel calpes vel apenes cursu contenderetur. Quum vero primum ea certamina essent instituta, Thersius Thessalus apene, calpe autem vicit Patae-

ἐκ Δύμης ἐνίκησεν ἡ κάλπη. (2) Ἦν δὲ ἡ μὲν θήλεια ἵπ-πος, καὶ ἀπ' αὐτῶν ἀποπηδῶντες ἐπὶ τῷ ἐσχάτῳ δρόμῳ συνέθεον οἱ ἀναβάται ταῖς ἵπποις εἰλημμένοι τῶν χαλι-νῶν, καθὰ καὶ ἐς ἐμὲ ἔτι οἱ ἀναβάται καλούμενοι. διά-φορα δὲ τοῖς ἀναβάταις ἐς τῆς κάλπης τὸν δρόμον τά τε σημεῖά ἐστι, καὶ ἄρσενες σφίσιν ὄντες οἱ ἵπποι. ἀπήνη δὲ οὔτε τῷ ἀνευρήματι οὐδὲν ἀρχαῖον, οὔτε εὐπρέπεια αὐτῇ προσῆν, ἐπάρατόν τε Ἠλείοις ἐκ παλαιοῦ καὶ ἀρχὴν γενέσθαι σφίσιν ἐν τῇ χώρᾳ τὸ ζῶον. ἦν γὰρ δὴ ἀπήνη κατὰ τὴν συνωρίδα ἡμιόνους ἀντὶ ἵππων ἔχουσα. (3) Ὁ δὲ κόσμος ὁ περὶ τὸν ἀγῶνα ἐφ' ἡμῶν, ὡς θύεσθαι τῷ θεῷ τὰ ἱερεῖα, πεντάθλου μὲν καὶ δρόμου τῶν ἵππων ὕστερα ἀγωνισμάτων, οὗτος κατέστη σφίσιν ὁ κόσμος Ὀλυμπιάδι ἑβδόμῃ πρὸς ταῖς ἑβδομήκοντα. τὰ πρὸ τούτων δὲ ἐπὶ ἡμέρας ἦγον τῆς αὐτῆς ὁμοίως καὶ ἀνθρώπων καὶ ἵππων ἀγῶνα. τότε δὲ προήχθησαν ἐς νύκτα οἱ παγκρατιάζοντες, ἅτε οὐ κατὰ καιρὸν ἐσκληθέντες· αἴτιοι δὲ ἐγένοντο οἵ τε

cus Achaeus ex urbe Dyma. (2) Utebantur vero in calpes certamine equabus: e quibus sub extremam cursus metam de-silientes sessores, prehenso suae quilibet equae freno, cum equabus decurrebant: quod ad meum usque seculum faciunt ii, qui dicuntur anabatae (quasi dicas conscensores). Sed inter calpes cursum et anabatas hoc est discriminis, quod peculiaribus anabatae insignibus et masculis utuntur equis. Porro apene neque inventum est antiquum, neque de-coris habet quicquam; et alioqui antiquitus inter portenta Eleis muli fuerunt usque adeo, ut animal id intra fines ali religio esset; mulas enim pro equis apene bigarum in morem habebat. (3) Ludorum aetate mea hic propemo-dum ordo est. Mactatis deo victimis, quinquertii primum et cursus, deinde equorum certamina committuntur; atque ita est septima et septuagesima Olympiade institutum. Nam ante eadem die et equi et homines inducebantur. Pancratia-stae tunc sub noctem prodibant. Neque enim satis mature poterant accersiri, quum dies equiriis et potississimum quin-

ἵπποι καὶ ἐς πλέον ἔτι ἡ τῶν πεντάθλων ἅμιλλα· καὶ ἐκράτει μὲν Ἀθηναῖος Καλλίας τοὺς παγκρατιάσαντας. ἐμπόδιον δὲ οὐκ ἔμελλε παγκρατίῳ τοῦ λοιποῦ τὸ πένταθλον, οὐδὲ οἱ ἵπποι γενήσεσθαι. (4) Τὰ δὲ ἐπὶ τοῖς ἀγωνοθετοῦσιν οὐ κατὰ τὰ αὐτὰ, ἃ καθεστηκότα ἦν ἐξαρχῆς, καὶ ἐφ' ἡμῶν ἐς αὐτοὺς νομίζουσιν. ἀλλὰ Ἴφιτος μὲν τὸν 397 ἀγῶνα ἔθηκεν αὐτὸς μόνος· καὶ μετὰ Ἴφιτον ἐτίθεσαν ὡσαύτως οἱ ἀπὸ Ὀξύλου. πεντηκοστῇ δὲ Ὀλυμπιάδι ἀνδράσι δύο ἐξ ἁπάντων λαχοῦσιν Ἠλείων ἐπετράπη ποιῆσαι τὰ Ὀλύμπια· καὶ ἐπὶ πλεῖστον ἀπὸ ἐκείνου διέμεινε τῶν ἀγωνοθετῶν ὁ ἀριθμὸς τῶν β'. (5) Πέμπτῃ δὲ Ὀλυμπιάδι καὶ εἰκοστῇ ἐννέα Ἑλλανοδίκας κατέστησαν. τρισὶ μὲν δὴ ἐπετέτραπτο ἐξ αὐτῶν ὁ δρόμος τῶν ἵππων, τοσούτοις δὲ ἑτέροις ἐπόπταις εἶναι τοῦ πεντάθλου· τοῖς δὲ ὑπολειπομένοις τὰ λοιπὰ ἔμελε τῶν ἀγωνισμάτων. δευτέρᾳ δὲ ἀπὸ ταύτης Ὀλυμπιάδι, προσετέθη καὶ ὁ δέκατος ἀθλοθέτης. ἐπὶ δὲ τῆς τρίτης καὶ ἑκατοστῆς, φυλαί τε Ἠλείοις δώδεκα, καὶ εἷς ἀπὸ φυλῆς ἑκάστης ἐγένετο Ἑλλανοδίκης. πιεσθέν-

quertio consumeretur. De pancratiastis illa Olympiade palmam tulit Atheniensis Callias. Sed in posterum cautum est, ne aut quinquertium, aut equiria pancratio impedimento essent. (4) In ludorum praefectis a maiorum more aetatis nostrae institutum variavit. Iphitus enim solus a se editis ludis praefuit. Idemque post Iphitum ab *omnibus* Oxyli posteris est observatum. Quinquagesima Olympiade Duumviris ex ipsa Eleorum civitate sorte ductis, Olympiorum cura mandata est: atque ille quidem binorum designatorum numerus ad multos post annos servatus est. (5) Quinta post et vicesima Olympiade *iudices* novem (Hellanodicas *vocabant*) creati. Eorum tres de equorum cursu, totidem de quinquertio, de ceteris reliqui certaminibus, cognoscebant. Secunda deinceps Olympiade designator decimus additus. At tertia supra centesimam in tribus duodecim Elei descripti sunt; ac *deinde* tribus singulae suum dedere ludorum cognitorem. Afflicti

τες δὲ ὑπὸ Ἀρκάδων πολέμῳ, μοῖράν τε ἀπέβαλον τῆς γῆς, καὶ ὅσοι τῶν δήμων ἦσαν ἐν τῇ ἀποτμηθείσῃ χώρᾳ, καὶ οὕτως ἐς ὀκτώ τε ἀριθμὸν φυλῶν ἐπὶ τῆς τετάρτης συνεστάλησαν Ὀλυμπιάδος καὶ ἑκατοστῆς, καὶ Ἑλλανοδίκαι σφίσιν ἴσοι ταῖς φυλαῖς ᾑρέθησαν. ὀγδόῃ δὲ ἐπὶ ταῖς ἑκατὸν Ὀλυμπιάδι ἐπανῆλθον αὖθις ἐς ἀνδρῶν δέκα ἀριθμόν· καὶ ἤδη τὸ ἀπὸ τούτου διαμεμένηκεν ἐς ἡμᾶς.

CAPUT X.

De Jovis luco, Alti dicto — templi Jovis Olympici descriptio.

Πολλὰ μὲν δὴ ἄλλα ἴδοι τὶς ἂν ἐν Ἕλλησι, τὰ δὲ καὶ ἀκούσαι θαύματος ἄξια· μάλιστα δὲ τοῖς Ἐλευσῖνι δρωμένοις, καὶ ἀγῶνι τῷ ἐν Ὀλυμπίᾳ μέτεστιν ἐκ θεοῦ φροντίδος. τὸ δὲ ἄλσος τὸ ἱερὸν τοῦ Διὸς, παραποιήσαντες τὸ ὄνομα, Ἄλτιν ἐκ παλαιοῦ καλοῦσι· καὶ δὴ καὶ Πινδάρῳ ποιήσαντι ἐς ἄνδρα Ὀλυμπιονίκην ᾆσμα, Ἄλτις ἐπωνόμασται τὸ χωρίον. (2) Ἐποιήθη δὲ ὁ ναὸς καὶ τὸ ἄγαλ-

post haec Arcadum bello, et agri parte mulctati, amissis insuper omnibus pagis, qui adempta agri parte continebantur, in tribus octo contracti sunt, quarta et centesima Olympiade. Eo factum, ut Hellanodicae totidem legerentur. Octava postremo, quae supra centesimam fuit, pristinus est *aedilium* decem numerus usurpatus, idemque ad nostram aetatem permansit.

Cap. X. Multa sane habet Graecia, quae vel spectentur vel audiantur cum admiratione: sed omnium accuratissime, divinitus religione imbutis animis, Eleusinia initia, et Olympici ludi celebrantur. Iovis ἄλσος (*id est lucum*) mutato nomine Altin antiquitus vocitant. Et sane Pindarus in iis versibus, quos in quendam fecit Olympiorum victorem, Altin appellavit. (2) Templum et signum Iovi de manubiis Elei

μα τῷ Διῒ ἀπὸ λαφύρων, ἡνίκα Πίσαν οἱ Ἠλεῖοι καὶ ὅσον τῶν περιοίκων ἄλλο συναπέστη Πισαίοις, πολέμῳ καθεῖλον. Φειδίαν δὲ τὸν ἐργασάμενον τὸ ἄγαλμα εἶναι καὶ ἐπίγραμμά ἐστιν ἐς μαρτυρίαν ὑπὸ τοῦ Διὸς γεγραμμένον τοῖς ποσί·

Φειδίας Χαρμίδου υἱὸς Ἀθηναῖός μ' ἐποίησε.

Τοῦ ναοῦ δὲ Δώριος μέν ἐστιν ἡ ἐργασία, τὰ δὲ ἐκτὸς περίστυλός ἐστι. πεποίηται δὲ ἐπιχωρίου πώρου. ὕψος μὲν 398
δή, αὐτὸ τοῦτο ἐς τὸν ἀετὸν ἀνῆκον, εἰσὶν οἱ ὀκτὼ πόδες καὶ ἑξήκοντα, εὖρος δὲ πέντε καὶ ἐνενήκοντα, τὰ δὲ ἐς μῆκος, τριάκοντά τε καὶ διακόσιοι. τέκτων δὲ ἐγένετο αὐτοῦ Λίβων ἐπιχώριος. κέραμος δὲ οὐ γῆς ὀπτῆς ἐστιν, ἀλλὰ κεράμου τρόπον λίθος ὁ Πεντέλησιν εἰργασμένος. τὸ δὲ εὕρημα ἀνδρὸς Ναξίου λέγουσιν εἶναι Βύζου, οὗ φασιν ἐν Νάξῳ τὰ ἀγάλματα, ἐφ' ὧν ἐπίγραμμα, εἶναι·

Νάξιος εὐεργός με γένει Λητοῦς πόρε Βύζεω
Παῖς, ὃς πρώτιστος τεῦξε λίθου κέραμον.

ἡλικίαν δὲ ὁ Βύζης οὗτος κατὰ Ἀλυάττην τὸν Λυδὸν, καὶ

dicarunt, Pisaeis, aliisque finitimis populis, qui cum illis defecerant, bello superatis, ac Pisa ipsa direpta. Simulacrum a Phidia factum, inscriptio ad Jovis pedes posita testatur: PHIDIAS CHARMIDAE FILIUS ATHENIENSIS ME FECIT. Templi ipsius Dorica exaedificatio est. Ambitus exterior dispositas in orbem columnas ostentat. *Parietes* e vernaculo lapide structi sunt. Surgit in altitudinem ab ima area ad aquilas, *quae tecti fastigium sustinent*, pedes octo et sexaginta; patet in latitudinem nonaginta quinque; excurrit longitudo ad ducentesimum ac trigesimum. Architectus operi praefuit Libon, homo indigena. Tectum est non coctili tegula, sed caeso ad tegulae formam e lapicidinis Pentelicis marmore. Inventum hoc Byzae Naxio tribuunt, cuius opus statuas Naxi esse dicunt, quae hanc inscriptionem habent:

Naxi haec Latoidis fecit sollertia Byzae,
Cui primum secta est tegula de lapide.

Viguisse Byzen hunc illis temporibus proditum est, quibus in

Ἀστυάγην τὸν Κυαξάρου, βασιλεύοντα ἐν Μήδοις. ἐν δὲ Ὀλυμπίᾳ λέβης ἐπίχρυσος ἐπὶ ἑκάστῳ τοῦ ὀρόφου τῷ πέρατι ἐπίκειται· καὶ Νίκη κατὰ μέσον μάλιστα ἕστηκε τὸν ἀετὸν, ἐπίχρυσος καὶ αὕτη· ὑπὸ δὲ τῆς Νίκης τὸ ἄγαλμα ἀσπὶς ἀνάκειται χρυσῆ, Μέδουσαν τὴν Γοργόνα ἔχουσα ἐπειργασμένην. τὸ ἐπίγραμμα δὲ τὸ ἐπὶ τῇ ἀσπίδι, τούς τε ἀναθέντας δηλοῖ, καὶ καθ' ἥντινα αἰτίαν ἀνέθεσαν. λέγει γὰρ δὴ οὕτω·

Ναὸς μὲν φιάλαν χρυσέαν ἔχει, ἐκ δὲ Τανάγρας
  Τᾶς Λακεδαιμονίοις συμμαχίδος γε τεθὲν
Δῶρον, ἀπ' Ἀργείων καὶ Ἀθηναίων καὶ Ἰώνων
399 Τὰν δεκάταν, νίκας εἵνεκα τῶ πολέμω.

ταύτης τῆς μάχης μνήμην καὶ ἐν τῇ Ἀτθίδι ἐποιησάμην συγγραφῇ, τὰ Ἀθήνῃσιν ἐπεξιὼν μνήματα. τοῦ δὲ ἐν Ὀλυμπίᾳ ναοῦ τῆς ὑπὲρ τῶν κιόνων περιθεούσης ζώνης κατὰ τὸ ἐκτὸς, ἀσπίδες εἰσὶν ἐπίχρυσοι μία καὶ εἴκοσιν ἀριθμὸν, ἀνάθημα στρατηγοῦ Ῥωμαίων Μομμίου, κρατήσαντος Ἀχαιῶν πολέμῳ, καὶ Κόρινθόν τε ἑλόντος, καὶ Κορινθίους τοὺς Δωριέας ποιήσαντος ἀναστάτους. τὰ δὲ

Lydia Alyattes, et Astyages Cyaxarae filius regnavit in Medis. Eminent in extremis tecti finibus inaurati lebetes. In medio fastigii apice inaurata item Victoria. Infra Victoriae signum fixus est aureus clypeus, in quo Medusa Gorgon caelata est. Clypei inscriptio, et qui dedicarint, et qua de causa, declarat his versibus:

Ex auro phialam capta posuere Tanagra,
  Iuverat haec bello quod Lacedaemonios,
Cecropidae Argivique duces, et Ionica proles
  Victores partis de spoliis decimam.

Huius ego pugnae mentionem feci in historia de rebus Atticis, Atheniensium persequens monumenta. In eodem Olympii Iovis fano zonae, quae summas columnas ambit, extrinsecus clypei affixi sunt inaurati viginti et unus, a Romani exercitus imperatore Mummio dedicati, confecto Achaico bello, capta Corintho, et pulsis extra suos fines Corinthiis, qui Do-

ἐν τοῖς ἀετοῖς, ἔστιν ἔμπροσθεν Πέλοπος ἡ πρὸς Οἰνόμαον τῶν ἵππων ἅμιλλα ἔτι μέλλουσα, καὶ τὸ ἔργον τοῦ δρόμου παρὰ ἀμφοτέρων ἐν παρασκευῇ. Διὸς δὲ ἀγάλματος κατὰ μέσον πεποιημένου μάλιστα τὸν ἀετὸν, ἔστιν Οἰνόμαος ἐν δεξιᾷ ἐπικείμενος κράνος τῇ κεφαλῇ· παρὰ δὲ αὐτὸν γυνὴ Στερόπη, θυγατέρων καὶ αὕτη τῶν Ἄτλαντος. Μυρτίλος δὲ, ὃς ἤλαυνε τῷ Οἰνομάῳ τὸ ἅρμα, κάθηται πρὸ τῶν ἵππων· οἱ δέ εἰσιν ἀριθμὸν οἱ ἵπποι τέσσαρες. μετὰ δὲ αὐτόν εἰσιν ἄνδρες δύο· ὀνόματα μέν σφισιν οὐκ ἔστι, θεραπεύειν δὲ ἄρα τοὺς ἵππους καὶ τούτοις προσετέτακτο ὑπὸ τοῦ Οἰνομάου. πρὸς αὐτῷ δὲ κατάκειται τῷ πέρατι Κλάδεος· ἔχει δὲ καὶ ἐς τὰ ἄλλα παρ' Ἠλείων τιμὰς ποταμῶν μάλιστα μετά γε Ἀλφειόν. τὰ δὲ ἐπ' ἀριστερὰ ἀπὸ τοῦ Διὸς, ὁ Πέλοψ καὶ Ἱπποδάμεια· καὶ ὅ τε ἡνίοχός ἐστι τοῦ Πέλοπος, καὶ ἵπποι, δύο τε ἄνδρες, ἱπποκόμοι δὴ καὶ οὗτοι τῷ Πέλοπι. καὶ αὖθις ὁ ἀετὸς κάτεισιν ἐς στενὸν, καὶ κατὰ τοῦτο Ἀλφειὸς ἐπ' αὐτοῦ πεποίηται. τῷ δὲ ἀνδρὶ, ὃς ἡνιοχεῖ τῷ Πέλοπι, λόγῳ μὲν τῷ Τροιζηνίων, ἔστιν ὄνομα Σφαῖρος· ὁ δὲ ἐξηγητὴς ἔφασκεν ὁ ἐν Ὀλυμ-

rici nominis fuere. Sub ipsis templi lacunaribus in antica parte signa sunt, apparatum curulis certaminis inter Pelopem et Oenomaum testantia. Signo Iovis medius imminet lacunaris vertex: ad eius dexteram galea armatus Oenomaus positus est: adsistit ei uxor Sterope, una de Atlantis filiarum numero. Sedet ante currum et eques Myrtilus Oenomai auriga. Ipsi quidem equi quatuor sunt. Myrtilo proximi viri duo, quibus non sunt adscripta nomina; sed et illis videri potest ab Oenomao demandata equorum curatio. In extremo lacunari Cladei *amnis* effigies cernitur. Huic Elei secundum Alpheum praecipuos habent honores. Ad Iovis laevam expressi sunt, Pelops et Hippodamia, Pelopis auriga, equi, ac viri duo, et ipsi Pelopis equisones. Hic se laquear in angustum fastigium contrahit. Ea in parte Alpheus effictus est. Hominem eum, quo auriga usus est Pelops, Troezenii Sphaerum nomine prodidere. Interpres Olympicarum rerum Cillam

πίᾳ, Κίλλαν εἶναι. τὰ μὲν δὴ ἔμπροσθεν τοῖς ἀετοῖς ἐστὶ Παιωνίου, γένος ἐκ Μένδης τῆς Θρᾳκίας· τὰ δὲ ὄπισθεν αὐτῶν Ἀλκαμένους ἀνδρὸς ἡλικίαν τε κατὰ Φειδίαν, καὶ
400 τὰ δευτερεῖα ἐνεγκαμένου σοφίας ἐς ποίησιν ἀγαλμάτων. τὰ δὲ ἐν τοῖς ἀετοῖς, ἔστιν αὐτῷ Λαπιθῶν ἐν τῷ Πειρίθου γάμῳ πρὸς Κενταύρους ἡ μάχη. κατὰ μὲν δὴ τοῦ ἀετοῦ τὸ μέσον Πειρίθους ἐστί· παρὰ δὲ αὐτὸν, τῇ μὲν Εὐρυτίων, ἡρπακὼς τὴν γυναῖκά ἐστι τοῦ Πειρίθου, καὶ ἀμύνων Καινεὺς τῷ Πειρίθῳ, τῇ δὲ Θησεὺς ἀμυνόμενος πελέκει τοὺς Κενταύρους. Κένταυρος δὲ ὁ μὲν παρθένον, ὁ δὲ παῖδα ἡρπακώς ἐστιν ὡραῖον. ἐποίησε δὲ (ἐμοὶ δοκεῖν) ταῦτα ὁ Ἀλκαμένης, Πειρίθουν τε εἶναι Διὸς ἐν ἔπεσι τοῖς Ὁμήρου δεδιδαγμένος, καὶ Θησέα ἐπιστάμενος ὡς εἴη τέταρτος Πέλοπος. ἔστι δὲ ἐν Ὀλυμπίᾳ καὶ Ἡρακλέους τὰ πολλὰ τῶν ἔργων. ὑπὲρ μὲν τοῦ ναοῦ πεποίηται τῶν θυρῶν ἡ ἐξ Ἀρκαδίας ἄγρα τοῦ ὑὸς, καὶ τὰ πρὸς Διομήδην τὸν Θρᾷκα, καὶ ἐν Ἐρυθείᾳ πρὸς Γηρυόνην, καὶ Ἄτλαντός τε τὸ φόρημα ἐκδέχεσθαι μέλλων, καὶ τῆς κόπρου κα-

appellatum aiebat. Quae igitur in antica lacunaris parte visuntur, Paeonii opus sunt, cui genus e Menda Thraciae oppido. Postica vero pars Alcamenis est opus, aetate sua signorum opificio uno tantum artifice inferioris. In ipsa testudine Lapithae cum Centauris in Pirithoi nuptiis pugnant. In media lacunaris parte est Pirithous. Prope Eurytion, Pirithoi sponsam rapiens, contra pugnante Caeneo. Altera ex parte Theseus securi Centauros obtruncans. E Centauris vero virginem alius *pubescentem*, alius puerum rapit aetate ac forma florentem. Fecit haec, opinor, Alcamenes, quod ex Homeri versibus didicerat Iovis Pirithoum filium fuisse: ac Theseum sciebat *generis ordine* quartum esse a Pelope. In eodem templo complures ex Herculis aerumnis elaboratae sunt. Supra fores enim Erymanthii apri venatio est, et quae de Thrace Diomede tradita sunt. Ad haec Herculis eiusdem in Erythea insula contra Geryonem gestae res. Idem etiam Hercules Atlantis onus *vicaria opera* subiturus cernitur. Praeterea et Eleorum

θαίρων τὴν γῆν ἐστιν Ἠλείοις. ὑπὲρ δὲ τοῦ ὀπισθοδόμου τῶν θυρῶν τοῦ ζωστῆρος τὴν Ἀμαζόνα ἐστὶν ἀφαιρούμενος, καὶ τὰ ἐς τὴν ἔλαφον καὶ τὸν ἐν Κνωσσῷ ταῦρον, καὶ ὄρνιθας τὰς ἐπὶ Στυμφήλῳ, καὶ ἐς ὕδραν τε καὶ τὸν ἐν τῇ γῇ τῇ Ἀργείᾳ λέοντα. (3) Τὰς θύρας δὲ ἐσιόντι τὰς χαλκᾶς, ἔστιν ἐν δεξιᾷ πρὸς τοῦ κίονος, Ἴφιτος ὑπὸ γυναικὸς στεφανούμενος Ἐκεχειρίας, ὡς τὸ ἐλεγεῖον τὸ ἐπ' αὐτοὺς φησιν. ἑστήκασι δὲ καὶ ἐντὸς τοῦ ναοῦ κίονες καὶ στοαί τε ἔνδον ὑπερῷοι, καὶ πρόσοδος δι' αὐτῶν ἐπὶ τὸ ἄγαλμά ἐστι. πεποίηται δὲ καὶ ἄνοδος ἐπὶ τὸν ὄροφον σκολιά.

CAPUT XI.

Simulacri Jovis Olympii ejusque throni in templo Olympico accuratior descriptio.

Καθέζεται μὲν δὴ ὁ Θεὸς ἐν θρόνῳ χρυσοῦ πεποιημένος καὶ ἐλέφαντος· στέφανος δὲ ἐπίκειταί οἱ τῇ κεφαλῇ, μεμιμημένος ἐλαίας κλῶνας. ἐν μὲν δὴ τῇ δεξιᾷ φέρει Νίκην ἐξ ἐλέφαντος καὶ ταύτην καὶ χρυσοῦ, ταινίαν τε ἔχουσαν,

agrum, fimo *amoto de Augeae stabulo*, purgat. At supra postici fores Amazoni balteum eripit. Iam vero, quae de cervo et Gnossio tauro commemorantur, quae item de hydra *Lernaea*, deque Stymphaliis volucribus, et Nemeo leone, ibidem expressa sunt. (3) Iam per aeneas fores ingressis, est ad dexteram ante columnam Iphitus ab Ecechiria muliere coronam accipiens: nomina elegi indicant. Erectae sunt in templi parte interiore columnae, quae sublimes a terra sustinent porticus, per quas ad Iovis signum aditus patet. Attollit et inde se cochlea, per quam ad templi culmen scanditur.

Cap. XI. Sedet in solio deus ex auro et ebore factus. Corona capiti imposita est, ad oleaginae frondis imaginem. Dextera Victoriam, et ipsam ex ebore et auro praefert, cum

καὶ ἐπὶ τῇ κεφαλῇ στέφανον· τῇ δὲ ἀριστερᾷ τοῦ θεοῦ
χαρίεν ἐστι σκῆπτρον μετάλλοις τοῖς πᾶσιν ἠνθισμένον.
ὁ δὲ ὄρνις ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενος, ἐστὶν ὁ ἀετός.
401 χρυσοῦ δὲ καὶ τὰ ὑποδήματα τῷ θεῷ, καὶ ἱμάτιον ὡσαύ-
τως ἐστί. τῷ δὲ ἱματίῳ ζώδιά τε καὶ τῶν ἀνθέων τὰ κρίνα
ἐστὶν ἐμπεποιημένα. (2) Ὁ δὲ θρόνος ποικίλος μὲν χρυ-
σῷ καὶ λίθοις, ποικίλος δὲ καὶ ἐβένῳ τε καὶ ἐλέφαντι. ἔστι
καὶ ζῷά τε ἐπ' αὐτοῦ γραφῇ μεμιμημένα, καὶ ἀγάλματά
ἐστιν εἰργασμένα. Νῖκαι μὲν δὴ τέσσαρες, χορευουσῶν
παρεχόμεναι σχῆμα, κατὰ ἕκαστον τοῦ θρόνου τῶν ποδῶν·
δύο δὲ εἰσιν πρὸς ἑκάστου πέζῃ ποδός. τῶν ποδῶν δὲ ἑκα-
τέρῳ τῶν ἔμπροσθεν παῖδές τε ἐπίκεινται Θηβαίων ὑπὸ
σφιγγῶν ἡρπασμένοι, καὶ ὑπὸ τὰς σφίγγας Νιόβης τοὺς
παῖδας Ἀπόλλων κατατοξεύουσι καὶ Ἄρτεμις. τῶν δὲ τοῦ
θρόνου μεταξὺ ποδῶν τέσσαρες κανόνες εἰσὶν, ἐκ ποδὸς
ἐς πόδα ἕτερον διήκων ἕκαστος. τῷ μὲν δὴ κατευθὺ τῆς
ἐσόδου κανόνι, ἑπτά ἐστιν ἀγάλματα ἐπ' αὐτῷ· τὸ γὰρ
ὄγδοον ἐξ αὐτῶν οὐκ ἴσασι τρόπον ὅντινα ἐγένετο ἀφανές.
εἴη δ' ἂν ἀγωνισμάτων ἀρχαίων ταῦτα μιμήματα· οὐ γάρ

taenia et corona. Laeva sceptrum tenet affabre expolitum, et omnium metallorum varietate distinctum. Quae avis sceptro incumbit, aquila est. Aurei sunt deo calcei, pallium item aureum. In eo tum diversa animalia, tum ex omnibus florum generibus lilia in primis caelata sunt. (2) Solium ipsum auro et pretiosis praefulget lapidibus: neque in eo vel ebenum, vel ebur desideratur: animalium vero formis intercurrente pictura exornatur. Signa etiam in eo eminent, Victoriae quatuor saltantium specie ad singulos sellae pedes. Duae itidem ad pedum calcem sunt: ac prioribus quidem pedibus utrinque insistunt Thebanorum pueri a Sphingibus rapti. Infra Sphingas Niobes liberos Apollo et Diana sagittis configunt. Inter pedes discurrunt regulae, mutua illos compage iungentes. In ea quae in fronte regula est septem se adhuc ostendunt sigilla. Nam eorum octavum quae causa aboleverit, ignoratur. Sunt autem illa priscorum *inter viros* certami-

κω τὰ ἐς τοὺς παῖδας ἐπὶ ἡλικίας ἤδη καθειστήκει τῆς Φειδίου. τὸν δὲ αὐτὸν ταινίᾳ τὴν κεφαλὴν ἀναδούμενον ἐοικέναι τὸ εἶδος Παντάρκει λέγουσι, μειράκιον δὲ Ἠλεῖον τὸν Παντάρκη παιδικὰ εἶναι τοῦ Φειδίου. ἀνείλετο δὲ καὶ ἐν παισὶν ὁ Παντάρκης πάλης νίκην Ὀλυμπιάδι ἕκτῃ πρὸς ταῖς ὀγδοήκοντα. ἐπὶ δὲ τῶν κανόνων τοῖς λοιποῖς ὁ λόχος ἐστὶν ὁ σὺν Ἡρακλεῖ μαχόμενος πρὸς Ἀμαζόνας, ἀριθμὸς μὲν δὴ συναμφοτέρων ἐς ἐννέα ἐστὶ καὶ εἴκοσι, τέτακται δὲ καὶ Θησεὺς ἐν τοῖς συμμάχοις τοῦ Ἡρακλέους. ἀνέχουσι δὲ οὐχ οἱ πόδες μόνοι τὸν θρόνον, ἀλλὰ καὶ κίονες, ἴσοι τοῖς ποσὶ μεταξὺ ἑστηκότες τῶν ποδῶν. ὑπελθεῖν δὲ οὐχ οἷόν τέ ἐστιν ὑπὸ τὸν θρόνον, ὥσπερ γε καὶ ἐν Ἀμύκλαις ἐς τὸ ἐντὸς τοῦ θρόνου παρερχόμεθα. ἐν Ὀλυμπίᾳ δὲ ἐρύματα τρόπον τοίχων πεποιημένα, τὰ δὲ ἀπείργοντά ἐστι. τούτων τῶν ἐρυμάτων ὅσον μὲν ἀπαντικρὺ 402
τῶν θυρῶν ἐστιν, ἀλήλιπται κυανῷ μόνον, τὰ δὲ λοιπὰ αὐτῶν παρέχεται Παναίνου γραφάς. ἐν δὲ αὐταῖς ἐστι μὲν οὐρανὸν καὶ γῆν Ἄτλας ἀνέχων, παρέστηκε δὲ καὶ

num simulacra. Nondum enim, qua Phidias viguit aetate, puerorum instituta fuerant ludicra. Eum vero, qui taenia ipse sibi caput praecingit, ex corporis specie Pantarcem esse suspicantur, Eleum puerum, amore Phidiae devinctum. Idem Pantarces in lucta puerorum palmam est adeptus Olympiade sexta supra octogesimam. In ceteris regulis extat Herculis comitatus adversus Amazonas. Numerus utriusque partis coniunctus accedit ad XXIX. Inter Herculis socios est etiam Theseus. Non soli autem pedes solium fulciunt, sed mediae etiam inter binos pedes, pedibus magnitudine pares, columnae. Quod si penetrari subter posset, ut Amyclis intra Apollinis solium, interiora item opera persequi non essemus gravati. Sed quo minus propius accedant spectatores, sepimentis quibusdam in parietum modum extructis solium intercluditur. *Eorum sepimentorum* pars, quae ex adverso ianuae est, caeruleo tantum oblita est; latera reliqua Panaeni picturas habent. Inter eas Atlas est, coelum ac terram sus-

Ἡρακλῆς ἐκδέξασθαι τὸ ἄχθος ἐθέλων τοῦ Ἄτλαντος. ἔτι δὲ Θησεύς τε καὶ Πειρίθους, καὶ Ἑλλάς τε καὶ Σαλαμὶς ἔχουσα ἐν τῇ χειρὶ τὸν ἐπὶ ταῖς ναυσὶν ἄκραις ποιούμενον κόσμον· Ἡρακλέους τε τῶν ἀγωνισμάτων τὸ ἐς τὸν λέοντα τὸν ἐν Νεμέᾳ, καὶ τὸ ἐς Κασσάνδραν παρανόμημα Αἴαντος. Ἱπποδάμειά τε ἡ Οἰνομάου σὺν τῇ μητρὶ, καὶ Προμηθεὺς ἔτι ἐχόμενος μὲν ὑπὸ τῶν δεσμῶν, Ἡρακλῆς δὲ ἐς αὐτὸν ὁρῶν. λέγεται γὰρ δὴ καὶ τόδε ἐς τὸν Ἡρακλέα, ὡς ἀποκτεῖναι μὲν τὸν ἀετὸν, ὃς ἐν τῷ Καυκάσῳ τὸν Προμηθέα ἐλύπει, ἐξέλοιτο δὲ καὶ αὐτὸν Προμηθέα ἐκ τῶν δεσμῶν. τελευταῖα δὲ ἐν τῇ γραφῇ, Πενθεσίλειά τε ἀφιεῖσα τὴν ψυχὴν, καὶ Ἀχιλλεὺς ἀνέχων ἐστὶν αὐτήν. καὶ Ἑσπερίδες δύο φέρουσι τὰ μῆλα, ὧν ἐπιτετράφθαι λέγουσι τὴν φρουράν. Πάναινος μὲν δὴ οὗτος ἀδελφός τε ἦν Φειδίου, καὶ αὐτοῦ καὶ Ἀθήνῃσιν ἐν Ποικίλῃ τὸ Μαραθῶνι ἔργον ἐστὶ γεγραμμένον. ἐπὶ δὲ τοῖς ἀνωτάτω τοῦ θρόνου, πεποίηκεν ὁ Φειδίας ὑπὲρ τὴν κεφαλὴν τοῦ ἀγάλματος, τοῦτο μὲν Χάριτας, τοῦτο δὲ Ὥρας, τρεῖς ἑκατέρας. εἶναι γὰρ θυγατέρας Διὸς καὶ ταύτας ἐν ἔπεσιν

tinens: adsistit Hercules iam prope illum onere levaturus. Cernitur etiam Theseus cum Pirithoo. *Veteris* praeterea Graeciae, et Salaminis imagines. Haec navium rostra manibus prae se fert. Herculis cum leone Nemeo certamen. Aiacis in Cassandram contumelia. Tum Hippodamia Oenomai filia cum matre. Vinculis districtus Prometheus, et eum intuens Hercules. Traditum enim est hoc etiam negotii Herculem habuisse, ut Prometheum aquila, quae illum male in Caucaso mulctabat, interemta, e vinculis exemerit. Postrema in pictura sunt, Penthesilea animam agens, eam sustinente Achille. Et Hesperides duae mala ferunt, quae ipsarum dicuntur fuisse commissa custodiae. Panaenus quidem hic Phidiae frater fuit; qui Atheniensibus etiam in Poecile Marathoniam pugnam pinxit. In solii puteali, supra simulacri caput, fecit Phidias Gratias una ex parte tres, totidem Horas ex altera. Nam et has Iovis esse filias poetarum carminibus proditum. Horas

ἐστιν εἰρημένα. Ὅμηρος δὲ ἐν Ἰλιάδι ἐποίησε τὰς Ὥρας
καὶ ἐπιτετράφθαι τὸν οὐρανόν, καθάπερ τινὰς φύλακας
βασιλέως αὐλῆς. τὸ ὑπόθημα δὲ τὸ ὑπὸ τοῦ Διὸς τοῖς
ποσίν, ὑπὸ τῶν ἐν τῇ Ἀττικῇ καλούμενον θρανίον, λέον-
τάς τε χρυσοῦς, καὶ Θησέως ἐπειργασμένην ἔχει μάχην
τὴν πρὸς Ἀμαζόνας, τὸ Ἀθηναίων πρῶτον ἀνδραγάθημα
ἐς οὐχ ὁμοφύλους. (3) Ἐπὶ δὲ τοῦ βάθρου τοῦ τὸν θρόνον
τε ἀνέχοντος καὶ ὅσος ἄλλος κόσμος περὶ τὸν Δία, ἐπὶ τού- 403
του τοῦ βάθρου χρυσᾶ ποιήματα, ἀναβεβηκὼς ἐπὶ ἅρμα
Ἥλιος, καὶ Ζεύς τέ ἐστι καὶ Ἥρα, παρὰ δὲ αὐτὸν Χάρις·
ταύτης δὲ Ἑρμῆς ἔχεται, τοῦ Ἑρμοῦ δὲ Ἑστία· μετὰ δὲ
τὴν Ἑστίαν Ἔρως ἐστὶν ἐκ θαλάσσης Ἀφροδίτην ἀνιοῦσαν
ὑποδεχόμενος· τὴν δὲ Ἀφροδίτην στεφανοῖ Πειθώ. ἐπείρ-
γασται δὲ καὶ Ἀπόλλων σὺν Ἀρτέμιδι, Ἀθηνᾶ τε καὶ Ἡρα-
κλῆς· καὶ ἤδη τοῦ βάθρου πρὸς τῷ πέρατι Ἀμφιτρίτη καὶ
Ποσειδῶν, Σελήνη τε ἵππον (ἐμοὶ δοκεῖν) ἐλαύνουσα. τοῖς
δέ ἐστιν εἰρημένα ἐφ' ἡμιόνου τὴν θεὸν ὀχεῖσθαι, καὶ οὐχ
ἵππου, καὶ λόγον γέ τινα ἐπὶ τῷ ἡμιόνῳ λέγουσιν εὐήθη.
(4) Μέτρα δὲ τοῦ ἐν Ὀλυμπίᾳ Διὸς ἐς ὕψος τε καὶ εὖρος

certe Homerus in Iliade nominavit, coelique illis dixit, quasi regiae domus excubiis, custodiam attributam. In basi ea, quae pedibus subest, (θρανίον Attici appellant, *pedum quasi fulcra dixeris*) leones aurei, et contra Amazones Thesei pugna caelata est. Fuit haec nempe prima pugna contra exteras gentes suscepta, quae Atheniensium nomen nobilitavit. (3) In eo vero scamillo, qui universam signi molem sustinet, alia quaedam sunt supervacanei operis, quasi emblemata ex auro. In currum ascendunt Sol, Iupiter, et Iuno. Praesto est Gratia. Eam Mercurius amplectitur: Mercurium Vesta. Continenti fere spatio Amor Venerem e mari emergentem excipit, cui Suada coronam defert. Adsunt Apollo cum Diana, Minerva, Hercules. In ima basi cernuntur Amphitrite, et Neptunus: equum Luna, ut mihi videtur, ad cursum incitat. Etsi multi ferunt, non equis, deam vehi, futili quadam de mulo fabula vulgata. (4) Et Olympii quidem Iovis signum quam

ἐπιστάμενος γεγραμμένα, οὐκ ἐν ἐπαίνῳ θήσομαι τοὺς μετρήσαντας· ἐπεὶ καὶ τὰ εἰρημένα αὐτοῖς μέτρα πολύ τι ἀποδέοντά ἐστιν, ἢ τοῖς ἰδοῦσι παρέστηκεν ἐς τὸ ἄγαλμα δόξα· ὅπου γε καὶ αὐτὸν τὸν θεὸν μάρτυρα ἐς τοῦ Φειδίου τὴν τέχνην γενέσθαι λέγουσιν. ὡς γὰρ δὴ ἐκτετελεσμένον ἤδη τὸ ἄγαλμα ἦν, ηὔξατο ὁ Φειδίας ἐπισημῆναι τὸν θεόν, εἰ τὸ ἔργον ἐστὶν αὐτῷ κατὰ γνώμην· αὐτίκα δ' ἐς τοῦτο τοῦ ἐδάφους κατασκῆψαι κεραυνόν φασιν, ἔνθα ὑδρία καὶ ἐπίθημα ἐς ἐμὲ ἦν ἡ χαλκῆ. (5) Ὅσον δὲ τοῦ ἐδάφους ἐστὶν ἔμπροσθεν τοῦ ἀγάλματος, τοῦτο οὐ λευκῷ, μέλανι δὲ κατεσκευάσθαι τῷ λίθῳ. περιθεῖ δὲ ἐν κύκλῳ τὸν μέλανα λίθου Παρίου κρηπίς, ἔρυμα εἶναι τῷ ἐλαίῳ τῷ ἐκχεομένῳ. ἔλαιον γάρ τῷ ἀγάλματί ἐστιν ἐν Ὀλυμπίᾳ συμφέρον, καὶ ἔλαιόν ἐστι τὸ ἀπεῖργον, μὴ γίνεσθαι τῷ ἐλέφαντι βλάβος διὰ τὸ ἑλῶδες τῆς Ἄλτεως. ἐν ἀκροπόλει δὲ τῇ Ἀθηναίων
404 τὴν καλουμένην παρθένον, οὐκ ἔλαιον, ὕδωρ δὲ τὸ ἐς τὸν ἐλέφαντα ὠφελοῦν ἐστιν. ἅτε γὰρ αὐχμηρᾶς τῆς ἀκροπόλεως οὔσης διὰ τὸ ἄγαν ὑψηλόν, τὸ ἄγαλμα ἐλέφαντος

alte lateque pateat, linearum descriptionibus qui demonstrare conati fuerint, quum sciam non defuisse, eorum mihi certe parum est in metiendo probata sollertia. Est enim ea tota dimensio inferior multo prope aspicientium opinione. Tradunt certe ipsius dei auctoritate Phidiae artem comprobatam. Nam quum expolito iam opere Iovem orasset, significationem ut sibi aliquam daret, numquid illud ipsi acceptum esset et gratum opus, eam pavimenti partem repente de coelo tactam memorant, quo loco usque ad aetatem meam urna visitur aenea, et impositum ei operculum. (5) Et a signi quidem fronte pavimentum nigro, non candido marmore constratum est, ambit nigrum marmor circumcirca crepido e Pario lapide. Ea cohibetur oleum, quod effunditur: oleum enim Olympico simulacro propterea adhibetur, quia prohibet, ne quam e paludosa luci natura ebur contrahat noxam. At contra in Atheniensium arce, eminenti scilicet et saxoso loco, ebur, e qua materia factum est Minervae si-

πεποιημένον, ὕδωρ καὶ δρόσον τὴν ἀπὸ τοῦ ὕδατος πόθεν. ἐν Ἐπιδαύρῳ δὲ ἐρομένου μου, καθ' ἥντινα αἰτίαν οὔτε ὕδωρ τῷ Ἀσκληπιοῦ σφίσιν οὔτε ἔλαιόν ἐστιν ἐγχεόμενον, ἐδίδασκόν με οἱ περὶ τὸ ἱερὸν, ὡς καὶ τὸ ἄγαλμα τοῦ θεοῦ καὶ ὁ θρόνος ἐπὶ φρέατι εἴη πεποιημένα.

CAPUT XII.

De ebore, elephanti cornu, non dente — velo laneo in templo Jovis Olympii — donariis et signis hujus templi — Adriani et Trajani imperator. statuis operibusque Trajani insignibus — Augusti imperator. signo ex electro et Nicomedis ex ebore confecto — de electro — Neronis et aliis donariis.

Ὅσοι δὲ ἀνθρώπων τὰ διὰ τοῦ στόματος ἐς τὸ ἐκτὸς ἐλέφασιν ἐξίσχοντα ὀδόντας τῶν θηρίων εἶναι, καὶ οὐ κέρατα ἥγηνται, τούτοις ἔστιν ἀπιδεῖν μὲν ἐς τὰς ἄλκας, τὸ ἐν Κελτικῇ θηρίον, ἀπιδεῖν δὲ ἐς τοὺς Αἰθιοπικοὺς ταύρους. ἄλκαι μὲν γὰρ καὶ κέρατα ἐπὶ ταῖς ὀφρύσιν ἔχουσιν οἱ ἄῤῥενες, τὸ δὲ θῆλυ οὐ φύει τοπαράπαν. οἱ δὲ Αἰθιοπικοὶ ταῦροι τὰ κέρατα φύουσιν ἐπὶ τῇ ῥινί. τίς ἂν οὖν ποιήσαιτο ἔτι ἐν μεγάλῳ θαύματι διὰ στόματος ζώῳ κέρατα

gnum, quam ipsi virginem vocant, non oleo, sed aquae aspersu a siccioris loci incommodis vindicatur. Epidauri certe quum percontarer, cur neque oleum, neque aqua esset adhibita *ad arcendam ab Aesculapii signo noxam*, docuerunt me aeditui, solium, cui signum insideret, puteo imminere.

Cap. XII. Quod vero ad ebur pertinet, si qui hominum ea, quae ex elephantorum ore exerta prominent, istarum belluarum dentes esse, non cornua, existimant, ab alce illi, Gallica fera, et tauris Aethiopicis specimen capiant. Alcae enim, qui mares sunt, (nam foeminis nulla omnino prodeunt cornua) e superciliis, Aethiopici tauri e naribus cornua extrudunt. Quis igitur in magno ponat miraculo, esse animal,

ἐκφῦναι; πάρεστι δὲ ἀναδιδάσκεσθαι καὶ τοῖσδε ἔτι· κέρατα γὰρ κατὰ ἐτῶν περίοδον ἀπογίνεται, καὶ αὖθις ἐκβλαστάνει ζώοις. καὶ τοῦτο ἔλαφοί τε καὶ δορκάδες, ὡσαύτως δὲ καὶ οἱ ἐλέφαντες πεπόνθασιν. ὀδοὺς δὲ οὐκ ἔστιν ὅτῳ δεύτερα παρέσται ζώῳ τῶν γε ἤδη τελείων. εἰ δὲ ὀδόντες τὰ διὰ στόματος ἐξίσχοντα, καὶ μὴ κέρατα ἦσαν, πῶς ἂν καὶ ἀνεφύοντο αὖθις; οὐ μὴν οὐδὲ εἴκειν πυρὶ
405 ἔχουσιν ὀδόντες φύσιν. κέρατα δὲ καὶ βοῶν καὶ ἐλεφάντων, ἐς ὁμαλές τε ἐκ περιφεροῦς, καὶ ἐς ἄλλα ὑπὸ πυρὸς ἄγεται σχήματα. Ποταμίοις γε μὴν ἵπποις καὶ ὑσὶν ἡ κάτωθεν γένυς τοὺς χαυλιόδοντας φέρει· κέρατα δὲ ἀναφυόμενα ὁρῶμεν ἐκ γενύων; ἐλέφαντι οὖν τὰ κέρατα ἴστω τὶς διὰ κροτάφων κατερχόμενα ἄνωθεν, καὶ οὕτως ἐς τὸ ἐκτὸς ἐπιστρέφοντα. τοῦτο οὐκ ἀκοῇ γράφω, θεασάμενος δὲ ἐλέφαντος ἐν γῇ τῇ Καμπανῶν κρανίον ἐν Ἀρτέμιδος ἱερῷ· σταδίους δὲ ὡς τριάκοντα ἀπέχει μάλιστα Καπύης τὸ ἱερόν· αὕτη δὲ ἡ μητρόπολίς ἐστιν ἡ Καπύη τῶν Καμπα-

cuius ex ore erumpant cornua? Argumento et illud esse facile potest, *illam eboris molem cornua esse*, quod bestiae sunt, quae certo ratoque temporis ambitu cornua abiiciant, rursusque illa, quoties amiserint, reponant. Hoc cervis, capreis, et idem elephantis accidit. Dens certe animalium nulli iam adulto, quum semel decidit, renascitur. Quare si dentes essent, et non cornua, quae naturae vis, ut renascerentur, efficere potuisset? Ad haec dentes igni domari nequeunt: at boum et elephantorum cornua sic igni emolliuntur, ut vel ex tereti planam vel aliam quamvis accipiant figuram. Quid, quod ex inferiore mandibula fluviales equi, et apri sannas exerunt? In elephantis vero, quum a superiore id, quod dentes multi esse putarunt, descendat maxilla, me auctore dubitarit nemo cornua illa esse, quae a temporibus orta per os extrorsum resupinata sese efferant. Haec ego non auribus, sed ipsis accepta oculis scribo, elephanti calvam conspicatus in Dianae; quod templum in Campania nobile, a Capua (quae regionis totius caput est) abest stadia ferme XXX. Est igitur

νῶν. ὁ μὲν δὴ ἐλέφας παρὰ τὰ λοιπὰ ζῶα διάφορον καὶ τὴν ἔκφυσιν παρέχεται τῶν κεράτων, ὥσπερ γε καὶ τὸ μέγεθός ἐστιν αὐτῷ καὶ εἶδος οὐδὲν ἐοικότα ἑτέρῳ θηρίῳ. φιλότιμοι δὲ ἐς τὰ μάλιστά μοι καὶ ἐς θεῶν τιμὴν οὐ φειδωλοὶ χρημάτων γενέσθαι δοκοῦσιν οἱ Ἕλληνες, οἷς γε παρὰ Ἰνδῶν ἤγετο καὶ ἐξ Αἰθιοπίας ἐλέφας ἐς ποίησιν ἀγαλμάτων.

(2) Ἐν δὲ Ὀλυμπίᾳ παραπέτασμα ἐρεοῦν κεκοσμημένον ὑφάσμασιν Ἀσσυρίοις καὶ βαφῇ πορφύρας τῆς Φοινίκων, ἀνέθηκεν Ἀντίοχος, οὗ δὴ καὶ ὑπὲρ τοῦ θεάτρου τοῦ Ἀθήνησιν ἡ αἰγὶς ἡ χρυσῆ καὶ ἐπ' αὐτῆς ἡ Γοργώ, ἡ ἐς τὰ ἀναθήματα. τοῦτο οὐκ ἐς τὸ ἄνω τὸ παραπέτασμα πρὸς τὸν ὄροφον, ὥσπερ γε Ἀρτέμιδος τῆς Ἐφεσίας, ἀνέλκουσι, καλῳδίοις δὲ ἐπιχαλῶντες, καθιᾶσιν ἐς τὸ ἔδαφος. (3) Ἀναθήματα δὲ ὁπόσα ἔνδον ἢ ἐν τῷ προνάῳ κεῖται, θρόνος ἐστὶν Ἀρίμνου τοῦ βασιλεύσαντος ἐν Τυρσηνοῖς, 406
ὃς πρῶτος βαρβάρων ἀναθήματι τὸν ἐν Ὀλυμπίᾳ Δία ἐδωρήσατο· καὶ ἵπποι Κυνίσκας χαλκοῖ, σημεῖα Ὀλυμπιακῆς

longe alia, quam ceteris quadrupedibus, elephanto cornuum eruptio, sicuti ei et corporis vastitas, et reliqua forma valde est a reliquo belluarum genere diversa. Quam vero Graeci splendidi et magnifici, ac minime omnium parci in colendis Dis fuerint, magno illud documento est, quod ex India et ab Aethiopibus ebur ad signa deorum facienda advehendum curarint. (2) Et in Olympii quidem templo laneum velum tum textili Assyriorum opere, tum Phoenicum purpura luculentum dedicavit rex Antiochus. Eiusdem donum fuit aegis aurea, addita Gorgone, quae Athenis in theatri fastigio inter cetera dona locata est. Velum non, quo more fit in Dianae Ephesiae templo, subter lacunar sursum attollitur, sed ad pavimentum usque laxatis funibus demittitur. (3) Inter ea vero donaria, quae intus vel in atrio templi posita sunt, extat solium Arimni Hetruscorum regis, qui primus exterorum donum Olympio Iovi misit: tum aenei equi, quos Cynisca dicavit, Olympicae victoriae monumentum, veris illos quidem

νίκης. οὗτοι μέγεθος μὲν ἀποδέουσιν ἵππων, ἑστήκασι δὲ ἐν τῷ προνάῳ τοῖς ἐσιοῦσιν ἐν δεξιᾷ. κεῖται δὲ καὶ τρίπους ἐπίχαλκος, ἐφ' οὗ, πρὶν ἢ τὴν τράπεζαν ποιηθῆναι, προετίθεντο τοῖς νικῶσιν οἱ στέφανοι. (4) Βασιλέων δὲ ἀνδριάντας, Ἀδριανοῦ μὲν αἱ ἐς τὸ Ἀχαϊκὸν τελοῦσαι πόλεις ἀνέθεσαν Παρίου λίθου, Τραϊανοῦ δὲ οἱ πάντες Ἕλληνες. οὗτος προσεκτήσατο ὁ βασιλεὺς Γέτας τοὺς ὑπὲρ Θρᾴκης, Ὀσρόῃ τε τῷ ἀπογόνῳ τῷ Ἀρσάκου καὶ Πάρθοις ἐπολέμησεν. ὁπόσα δὲ ἐς ἔργων ἔχει οἱ κατασκευὴν, ἀξιολογώτατά ἐστι λουτρὰ ἐπώνυμα αὐτοῦ· καὶ θέατρον μέγα κυκλοτερὲς πανταχόθεν, καὶ οἰκοδόμημα ἐς ἵππων δρόμους, προῆκον καὶ ἐς δύο σταδίων μῆκος· καὶ ἡ Ῥωμαίων ἀγορὰ κόσμου τε εἵνεκα τοῦ λοιποῦ θέας ἀξία, καὶ μάλιστα ἐς τὸν ὄροφον χαλκοῦ πεποιημένον. (5) Αἱ δὲ εἰκόνες αἱ τοῖς κατασκευάσμασι τοῖς περιφερέσιν ἐγκείμεναι, ἡ μὲν τοῦ ἠλέκτρου βασιλέως Ῥωμαίων ἐστὶν Αὐγούστου, ἡ δὲ τοῦ ἐλέφαντος βασιλέως Νικομήδους ἐλέγετο εἶναι Βιθυνῶν. ἀπὸ τούτου δὲ καὶ τῇ μεγίστῃ τῶν

equis magnitudine inferiores, locati sunt in primo templi aditu ingredientibus ad dexteram. Extat item tripus aere obductus, super quo victoribus, priusquam mensa erigeretur, coronae proponebantur. (4) Romanis vero Imperatoribus statuas e Pario lapide, Adriano urbes Achaici conventus, Traiano universi Graeci erexerunt. Hic imperio P. R. Getas, qui supra Thracas sunt, adiunxit; et cum Osroe Arsacis nepote, Parthorum rege, bellum gessit. Operibus praeterea *quam plurimis urbem* exornavit: quorum ceteris magnificentia praestant thermae, quae ab ipso nomen acceperunt: et magno extructum ambitu amphitheatrum: ad haec hippodromus, non breviore stadium duum spatio; tum forum Romanum, et reliquo ornatu insigne, et maxime aere exornato lacunari. (5) Inter cetera vero *eius fori insignia* teretibus insistunt scamillis statuae duae; ex electro una, Augusti Caesaris; altera ex ebore, Nicomedis Bithyniae regis, de cuius

ἐν Βιθυνίᾳ πόλεων μετεβλήθη τὸ ὄνομα Ἀστάκῳ τὰ πρὸ τούτου καλουμένῃ. τὰ δὲ ἐξαρχῆς αὐτῇ Ζυποίτης ἐγένετο οἰκιστὴς, Θρᾷξ γένος, εἰκάζοντί γε ἀπὸ τοῦ ὀνόματος. (6) Τὸ δὲ ἤλεκτρον τοῦτο, οὗ τῷ Αὐγούστῳ πεποίηνται τὴν εἰκόνα, ὅσον μὲν αὐτόματον ἐν τοῦ Ἠριδανοῦ ταῖς ψάμμοις εὑρίσκεται, σπανίζεται τὰ μάλιστα, καὶ ἀνθρώπῳ τίμιον πολλῶν ἐστιν ἕνεκα· τὸ δὲ ἄλλο ἤλεκτρον, ἀναμεμιγμένος ἐστὶν ἀργύρῳ χρυσός. (7) Ἐν δὲ τῷ ἐν Ὀλυμπίᾳ ναῷ Νέρωνος ἀναθήματα, τρεῖς μὲν ἐς κοτίνου φύλλα στέφανοι, τέταρτος δὲ ἐς δρυός ἐστι μεμιμημένος. κεῖνται δὲ αὐτόθι καὶ ἀσπίδες χαλκαῖ πέντε καὶ εἴκοσι, τοῖς ὁπλιτεύουσιν εἶναι φορήματα ἐς τὸν δρόμον. στῆλαι δὲ 407
ἄλλαι τε ἑστήκασι, καὶ ἡ πρὸς Ἀθηναίους καὶ Ἀργείους τε καὶ Μαντινέας ἔχουσα ὅρκον παρὰ Ἠλείων ἐς συμμαχίαν ἐτῶν ἑκατόν.

nomine urbs Bithyniae maxima appellata est, quum ante Astacus nuncuparetur. Condita ea quondam dicitur a Zypoete homine Thrace, quantum ex ipsa nominis voce coniici possit. (6) Electrum quidem, ex qua materia statuam Augusto fecerunt, in Padi fluminis arenis rarum omnino repertu est. Id, qui nacti fuerint, non temere magni aestimant. Est alioqui electrum aliud nihil, quam argento permistum in metallis aurum. *Sed ad ea, unde huc excurrimus, revertamur.* (7) Sunt in Olympii fano, quas Nero donavit, coronae. Earum quae est ordine tertia, oleastri; quarta, quercus frondem imitatur. Positi ibidem clypei sunt XXV aenei, cum quibus decurrunt, qui armati in curriculum descendunt. Erectae vero sunt et aliae pilae, et ea inter ceteras, qua continetur iuramentum, quo Elei cum Atheniensibus, Argivis et Mantinensibus centum annorum foedus et societatem firmarunt.

CAPUT XIII.

De Pelopio in Alti — sacris Pelopis in illo — Pelopis ossibus narratio — Pelopis et Tantali sede in Asia — ara Jovis Olympii e cinere congesta et sacrificiis, quae in ea fiunt — ara e sanguine constructa.

Ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως καὶ Πελόπιον ποτὲ τετιμημένον τέμενος. ἡρώων δὲ τῶν ἐν Ὀλυμπίᾳ τοσοῦτον προτετιμημένος ἐστὶν ὁ Πέλοψ ὑπὸ Ἠλείων, ὅσον Ζεὺς θεῶν τῶν ἄλλων. ἔστιν οὖν τοῦ ναοῦ τοῦ Διὸς κατὰ δεξιὰν τῆς ἐσόδου πρὸς ἄνεμον Βορέαν τὸ Πελόπιον, ἀφεστηκὸς μὲν τοῦ ναοῦ τοσοῦτον, ὡς μεταξὺ καὶ ἀνδριάντας καὶ ἀναθήματα ἄλλα ἀνακεῖσθαι· παρήκει δὲ ὡς ἐπὶ τὸν ὀπισθόδομον ἀπὸ μέσου μάλιστα ἀρξάμενον τοῦ ναοῦ, καὶ λίθων τε θριγκῷ περιέχεται, καὶ δένδρα ἐντὸς πεφυκότα καὶ ἀνδριάντες εἰσὶν ἀνακείμενοι. ἔσοδος δὲ ἐς αὐτὸ πρὸς δυσμῶν ἐστιν ἡλίου. τοῦτο ἀπονεῖμαι τῷ Πέλοπι Ἡρακλῆς ὁ Ἀμφιτρύωνος λέγεται· τέταρτος γὰρ δὴ ἀπόγονος καὶ οὗτος ἦν Πέλοπος. λέγεται δὲ καὶ ὡς ἔθυσεν ἐς τὸν βόθρον τῷ Πέλοπι. (2) Θύουσι δὲ αὐτῷ καὶ νῦν ἔτι οἱ κατὰ ἔτος τὰς ἀρχὰς

Cap. XIII. Intra Altin est Pelopi multa quondam religione consecrata area: Pelopion appellant. Prae ceteris enim heroibus tam colitur apud Eleos Pelops, quam Iupiter prae cunctis Dis. Est igitur ad dexteram, qua patet ad templum aditus, ab Aquilone, Pelopium, tanto spatio interiecto, ut in eo et statuae, et alia ornamenta poni potuerint: porrigitur autem a media ad posticam templi partem, circumvallante maceria. Tota area, et arboribus convestita, et signis passim est conspicua. Ingressus ad eam est a Solis occasu. Eum *soli campum* dedicasse Pelopi Herculem Amphitryonis filium ferunt. Quartum enim a Pelope posteritatis gradum tenuit. Idem etiam Hercules Pelopi dicitur ad eam scrobem sacrum fecisse; (2) ad quam aetate etiam nostra annui ma-

ἔχοντες· τὸ δὲ ἱερεῖόν ἐστι κριὸς μέλας. ἀπὸ ταύτης οὐ γίνεται τῷ μάντει μοῖρα τῆς θυσίας· τράχηλον δὲ μόνον δίδοσθαι τοῦ κριοῦ καθέστηκε τῷ ὀνομαζομένῳ ξυλεῖ. ἔστι δὲ ὁ ξυλεὺς ἐκ τῶν οἰκετῶν τοῦ Διός· ἔργον δὲ αὐτῷ πρόκειται τὰ ἐς τὰς θυσίας ξύλα τεταγμένου λήμματος καὶ πόλεσι παρέχειν καὶ ἀνδράσιν ἰδιώταις. τὰ δὲ λεύκης μόνης ξύλα, καὶ ἄλλου δένδρου ἐστὶν οὐδενός. ὃς δ' ἂν ἢ αὐτῶν τῶν Ἠλείων ἢ ξένων τοῦ θυομένου τῷ Πέλοπι ἱερείου φάγῃ τῶν κρεῶν, οὐκ ἔστιν οἱ ἐσελθεῖν παρὰ τὸν Δία. τὸ δὲ αὐτὸ καὶ ἐν τῇ Περγάμῳ τῇ ὑπὲρ ποταμοῦ Καΐκου πεπόνθασιν οἱ τῷ Τηλέφῳ θύοντες· ἔστι γὰρ δὴ οὐδὲ τούτοις ἀναβῆναι πρὸ λουτροῦ παρὰ τὸν Ἀσκληπιόν. (3) Λέγεται δὲ καὶ τοῖον· μηκυνομένου τοῦ πρὸς Ἰλίῳ πολέμου, προαγορεῦσαι αὐτοῖς τοὺς μάντεις, ὡς αἱρήσουσιν οὐ πρότερον τὴν πόλιν, πρὶν ἂν τὰ Ἡρα- 408
κλέους τόξα καὶ ὀστοῦν ἐπαγάγωνται Πέλοπος. οὕτω δὴ μεταπέμψασθαι μὲν Φιλοκτήτην φασὶν αὐτοὺς ἐς τὸ στρατόπεδον· ἀχθῆναι δὲ καὶ τῶν ὀστῶν ὠμοπλάτην σφίσιν

gistratus nigro ariete faciunt. Ac de ea quidem victima vati portio nulla tribuitur: collum tantum, more maiorum, lignatori datur. Sic enim appellatur unus de Iovis famulatu, cui negotium mandatum est, ut certo pretio ligna ad sacrorum usum, vel publice civitatibus, vel privatim cuivis homini suppeditet. Sunt autem non ex alia arbore ligna ea, quam de alba populo. Quod si quis (sive Eleus, sive hospes fuerit) carnes ex ea Pelopis victima comederit, ei templum Iovis introire nefas est. Idem observatur ad Pergamum, quod supra Caicum est. Nam qui Telepho immolarunt, religio est illis ante in Aesculapii ascendere, quam corpus abluerint. (3) Sed quod ad Pelopem attinet, memoriae proditum est, quum Troianum bellum duceretur, monuisse vates non ante expugnari Ilium posse, quam Graeci Herculis sagittas, et de Pelopis ossibus unum comportari curassent. Quare et Philocteten tunc in castra accersitum, et Pisa scoptulum opertum Pelopis deportatum. Redeuntibus vero Graecis, ad Eu-

ἐκ Πίσης τῶν Πέλοπος. ὡς δὲ οἴκαδε ἐκομίζοντο, ἀπόλλυται περὶ Εὔβοιαν καὶ ἡ ναῦς ὑπὸ τοῦ χειμῶνος, ἡ τὸ ὀστοῦν φέρουσα τὸ Πέλοπος. ἔτεσι δὲ ὕστερον πολλοῖς μετὰ ἅλωσιν Ἰλίου, Δαμάρμενον ἁλιέα ἐξ Ἐρετρίας ἀφέντα δίκτυον ἐς θάλασσαν, τὸ ὀστοῦν ἑλκῦσαι· θαυμάσαντα δὲ αὐτοῦ τὸ μέγεθος, ἔχειν ἀποκρύψαντα ὑπὸ τὴν ψάμμον. τέλος δὲ αὐτὸν ἀφικέσθαι καὶ ἐς Δελφοὺς, ὅτου τε ἀνδρὸς τὸ ὀστοῦν εἴη, καὶ ὅ τι χρηστέον αὐτῷ, διδαχθῆναι δεησόμενον. καί πως κατὰ πρόνοιαν τοῦ θεοῦ τηνικαῦτα παρὰ Ἠλείων ἐπανόρθωμα αἰτούντων νόσου λοιμώδους, ἀνεῖπεν οὖν σφίσιν ἡ Πυθία, τοῖς μὲν ἀνασώσασθαι Πέλοπος τὰ ὀστᾶ, Δαμαρμένῳ δὲ ἀποδοῦναι τὰ εὑρημένα αὐτῶν Ἠλείοις· καὶ οἱ ταῦτα ποιήσαντι, ἄλλα τε ἀντέδοσαν Ἠλεῖοι, καὶ Δαμάρμενόν τε αὐτὸν, καὶ ἀπογόνους τοὺς ἐκείνου, φύλακας σφᾶς εἶναι τοῦ ὀστοῦ. ἡ δὲ ὠμοπλάτη τοῦ Πέλοπος ἠφάνιστο ἤδη κατ' ἐμὲ, ὅτι (ἐμοὶ δοκεῖν) ἐκέκρυπτο ἐπὶ πολὺ κατὰ τοῦ βυθοῦ, καὶ ὁμοῦ τῷ χρόνῳ προσέκαμνεν οὐχ ἥκιστα ὑπὸ τῆς θαλάσσης. (4) Πέλοπος δὲ καὶ Ταντάλου τῆς παρ' ἡμῖν ἐνοικήσεως

boean, navim eam, in quam Pelopis illud os fuerat impositum, naufragio periisse. Multis deinde annis post Ilium excisum, Eretriensem piscatorem Demarmenum iacto everriculo e mari os extraxisse: miratum magnitudinem, in arenis id *annotato loco* abdidisse. Venisse eundem Delphos scitatum, cuiusnam esset os, et ad quem usum illud a se conservari oporteret. Tunc etiam fato quodam aderant, quos Elei consultum miserant, quae foret depellendae pestilentiae ratio. Atque his quidem responsum est, ut Pelopis ossa requirerent: Demarmeno vero, ut, quae reperisset, Eleis restitueret. Hoc ille quum fecisset, et alia accepit ab Eleis munera, et ei, eiusque posteris custodia ossis demandata est. Scoptulum opertum Pelopis aetate mea iam evanuerat. Id eo accidisse opinor, quod, quum alte absconditum fuisset, tum vetustate, tum aquae marinae illuvie extabuit. (4) Et in Graeciam quidem

σημεῖα ἔτι καὶ ἐς τόδε λείπεται, Ταντάλου μὲν λίμνη τε
ἀπ' αὐτοῦ καλουμένη, καὶ οὐκ ἀφανὴς τάφος· Πέλοπος
δὲ ἐν Σιπύλῳ μὲν θρόνος ἐν κορυφῇ τοῦ ὄρους ἐστὶν ὑπὲρ
τῆς Πλαστήνης μητρὸς τὸ ἱερόν. διαβάντι δὲ Ἕρμον πο-
ταμὸν, Ἀφροδίτης ἄγαλμα ἐν Τήμνῳ πεποιημένον ἐκ
μυρσίνης τεθηλυίας· ἀναθεῖναι δὲ Πέλοπα αὐτὸ παρει-
λήφαμεν μνήμῃ, προϊλασκόμενόν τε τὴν θεὸν, καὶ γενέ-
σθαί οἱ τὸν γάμον τῆς Ἱπποδαμείας αἰτούμενον.

(5) Ἔστι δὲ ὁ τοῦ Διὸς τοῦ Ὀλυμπίου βωμὸς ἴσον
μὲν μάλιστα τοῦ Πελοπίου τε καὶ τοῦ ἱεροῦ τῆς Ἥρας ἀπέ-
χων, προκείμενος μέντοι καὶ πρὸ ἀμφοτέρων. κατασκευα- 409
σθῆναι δὲ αὐτὸν οἱ μὲν ὑπὸ Ἡρακλέους τοῦ Ἰδαίου λέγου-
σιν, οἱ δὲ ὑπὸ ἡρώων τῶν ἐπιχωρίων γενεαῖς δύο ὕστερον
τοῦ Ἡρακλέους. πεποίηται δὲ ἱερείων τῶν θυομένων τῷ
Διῒ ἀπὸ τῆς τέφρας τῶν μηρῶν, καθάπερ γε καὶ ἐν Περ-
γάμῳ. τέφρας γὰρ δή ἐστι καὶ τῇ Ἥρᾳ τῇ Σαμίᾳ βωμὸς,
οὐδέν τι ἐπιφανέστερος ἢ ἐν τῇ χώρᾳ τῇ Ἀττικῇ, ἃς αὐ-
τοσχεδίας Ἀθηναῖοι καλοῦσιν ἐσχάρας. τοῦ βωμοῦ δὲ τοῦ
ἐν Ὀλυμπίᾳ κρηπῖδος μὲν τῆς πρώτης, προθύσεως καλου-

Tantalum et Pelopem coloniam deduxisse, certa adhuc extant indicia, portus, qui Tantali dicitur, et eiusdem sepulcrum non obscurum. Pelopis in Sipyli montis vertice visitur solium, supra eum locum, ubi Plastenes matris fanum est. Iam vero ultra Hermum fluvium, ad Temnum oppidum, Veneris signum spectatur e virente a radice sua myrto: quod faciendum curasse Pelopem ferunt, quum ut deam coleret, tum vero ut Hippodamiae nuptiarum se compotem faceret. (5) Olympii quidem Iovis ara pari intervallo a Pelopio et Iunonis aede distat, ante utriusque frontem sita. Erectam alii tradiderunt ab Idaeo Hercule, alii ab indigenis heroibus, duabus ipsis aetatibus post Herculem. Congesta illa est e cinere collecto ex adustis victimarum femoribus. Talis et Pergami ara est, talis Samiae Iunonis, nihilo illa quidem ornatior, quam in Attica, quos Rudes appellant focos. Arae Olympicae ima crepido, quam *πρόθυσιν* appellant, *(quasi primam*

μένης, πόδες πέντε καὶ εἴκοσι καὶ ἑκατόν ἐστι περίοδος· τοῦ δὲ ἐπὶ τῇ προθύσει περίμετρος [ἑκάστου] πόδες δύο καὶ τριάκοντα. τὸ δὲ ὕψος τοῦ βωμοῦ τὸ σύμπαν ἐς δύο καὶ εἴκοσιν ἀνήκει πόδας. αὐτὰ μὲν δὴ τὰ ἱερεῖα ἐν μέρει τῷ κάτω, τῇ προθύσει, καθέστηκεν αὐτοῖς θύειν· τοὺς μηροὺς δὲ ἀναφέροντες ἐς τοῦ βωμοῦ τὸ ὑψηλότατον καθαγίζουσιν ἐνταῦθα. ἀναβαθμοὶ δὲ ἐς μὲν τὴν πρόθυσιν ἄγουσιν ἐξ ἑκατέρας τῆς πλευρᾶς, λίθου πεποιημένοι· τὸ δὲ ἀπὸ τῆς προθύσεως ἐς τὸ ἄνω τοῦ βωμοῦ τέφρας παρέχεται ἀναβαθμούς. ἄχρι μὲν δὴ τῆς προθύσεως ἔστιν ἀναβῆναι καὶ παρθένοις, καὶ ὡσαύτως γυναιξίν, ἐπειδὰν τῆς Ὀλυμπίας μὴ ἐξείργωνται· ἀπὸ τούτου δὲ ἐς τὸ ἀνωτάτω τοῦ βωμοῦ μόνοις ἔστιν ἀνδράσιν ἀνελθεῖν. θύεται δὲ τῷ Διῒ καὶ ἄνευ τῆς πανηγύρεως ὑπό τε ἰδιωτῶν καὶ ἀνὰ πᾶσαν ἡμέραν ὑπὸ Ἠλείων. κατ' ἔτος δὲ ἕκαστον φυλάξαντες οἱ μάντεις τὴν ἐννάτην ἐπὶ δέκα τοῦ Ἐλαφίου μηνὸς, κομίζουσιν ἐκ τοῦ Πρυτα-
410 νείου τὴν τέφραν, φυράσαντες δὲ τῷ ὕδατι τοῦ Ἀλφειοῦ, κονιῶσιν οὕτω τὸν βωμόν. ὑπὸ δὲ ἄλλου τὴν τέφραν ὕδα-

sacrorum stationem dicas) ambitum peragit pedum centum et amplius quinque et viginti: graduum singulorum supra imam istam crepidinem ambitus pedes explet binos ac tricenos. Universa arae altitudo pedes conficit duos prope et viginti. Ducuntur hostiae ad imae crepidinis stationem: ibi eas patrio more mactant: femora in summa ara adolent. Et ad stationem quidem ab utroque latere per lapideos, ad arae altissimam sedem per cineritios gradus scanditur. Et ad stationem quidem usque tam virgines, quam mulieres, quum in Olympiam venire nulla prohibet religio, possunt ascendere; longius progredi solis viris fas est. Sacrificatur autem Iovi etiam extra solemnem nundinarum celebritatem tam a privatis hominibus quam quotidie ab Eleis. Stato autem die quotannis, Februarii mensis nono supra decimum, aruspices cinerem ex Prytaneo deportant: eoque aqua ex Alpheo amne diluto, aram Iovis oblinunt. Religione sancitum est cinerem

τος ποιηθῆναι πηλὸν, οὐ μή ποτε ἐγγένηται. καὶ τούτου ἕνεκα ὁ Ἀλφειὸς νενόμισται τῷ Ὀλυμπίῳ Διῒ ποταμῶν μάλιστα εἶναι φίλος. (6) Ἔστι δὲ καὶ ἐν Διδύμοις τῶν Μιλησίων βωμὸς, ἐποιήθη δὲ ὑπὸ Ἡρακλέους τοῦ Θηβαίου, καθὰ οἱ Μιλήσιοι λέγουσιν, ἀπὸ τῶν ἱερείων τοῦ αἵματος. ἐς δὲ τὰ ὕστερα τὸ αἷμα τῶν θυμάτων οὐκ ἐς ὑπέρογκον ηὔξηκεν αὐτὸν μέγεθος.

CAPUT XIV.

De Jove *Ἀπομυίῳ* — cur Olympica sacra albae duntaxat populi lignis adoleantur — de arboribus, quas varii fluvii potissimum alunt — reliquis Olympiae aris et diis, quibus sacra ibi fiunt — ara ignotorum deorum — *Καιροῦ*, Jovis filii — Telluris ejusque oraculo, aliisque.

Ὁ δὲ ἐν Ὀλυμπίᾳ βωμὸς παρέχεται καὶ ἄλλο τοιόνδε ἐς θαῦμα. οἱ γὰρ ἰκτῖνες πεφυκότες ἁρπάζειν μάλιστα ὀρνίθων, ἀδικοῦσιν οὐδὲν ἐν Ὀλυμπίᾳ τοὺς θύοντας. ἢν δὲ ἁρπάσῃ ποτὲ ἰκτῖνος ἤτοι σπλάγχνα, ἢ τῶν κρεῶν, νενόμισται τῷ θύοντι οὐκ αἴσιον εἶναι τὸ σημεῖον. (2) Φασὶ δὲ Ἡρακλεῖ τῷ Ἀλκμήνης θύοντι ἐν Ὀλυμπίᾳ δι' ὄχλου

sola Alphei aqua dilui, atque ex eo tantum luto arae tectorium superinduci. Eam ob rem Alpheus fluviorum omnium Iovi maxime amicus creditur. (6) Est et Didymis (Milesiorum ea civitas est) ara, quam a Thebano Hercule *luto subacto* victimarum sanguine exstructam Milesii tradunt. Non fuit ea tamen victimarum insequentibus temporibus copia, ut ara magnopere potuerit eminere.

Cap. XIV. Sed quod ad Olympicam aram attinet, illud etiam magno miraculo ducitur, quod milvii, etsi avium hoc genus insigni est rapacitate, sacra tamen in Olympia facientibus infensi non sunt. Quod si forte exta vel carnium partem ullam appetierint, dira portendi immolanti creditur. (2) Aiunt etiam Herculi Alcmenes filio, quum Olympiae sa-

μάλιστα γενέσθαι τὰς μυίας· ἐξευρόντα οὖν αὐτὸν, ἢ καὶ ὑπ' ἄλλου διδαχθέντα, Ἀπομυίῳ θῦσαι Διῒ, καὶ οὕτως ἀποτραπῆναι τὰς μυίας πέραν τοῦ Ἀλφειοῦ. λέγονται δὲ κατὰ ταὐτὰ καὶ Ἠλεῖοι θύειν τῷ Διῒ τῷ Ἀπομυίῳ, ἐξελαύνοντι τῆς Ἠλείας Ὀλυμπίας τὰς μυίας. (3) Τῆς δὲ λεύ-
411 κης μόνης τοῖς ξύλοις ἐς τοῦ Διὸς τὰς θυσίας, καὶ ἀπ' οὐδενὸς δένδρου τῶν ἄλλων, οἱ Ἠλεῖοι χρῆσθαι νομίζουσι, κατ' ἄλλο μὲν οὐδὲν προτιμῶντες (ἐμοὶ δοκεῖν) τὴν λεύκην, ὅτι δὲ Ἡρακλῆς ἐκόμισεν αὐτὴν ἐς Ἕλληνας ἐκ τῆς Θεσπρωτίδος χώρας. καί μοι καὶ αὐτὸς ὁ Ἡρακλῆς ἐφαίνετο, ἡνίκα τῷ Διῒ ἔθυεν ἐν Ὀλυμπίᾳ, τῶν ἱερείων τὰ μηρία ἐπὶ λεύκης καῦσαι ξύλων. τὴν δὲ λεύκην ὁ Ἡρακλῆς πεφυκυῖαν παρὰ τὸν Ἀχέροντα εὗρε τὸν ἐν Θεσπρωτίᾳ ποταμόν· καὶ τοῦδε εἵνεκα φασὶν αὐτὴν Ἀχερωΐδα ὑπὸ Ὁμήρου καλεῖσθαι. (4) Εἶχον δὲ ἄρα καὶ ἐξ ἀρχῆς οἱ ποταμοὶ, καὶ ἐς τόδε ἔχουσιν οὐ κατὰ τὰ αὐτὰ ἐπιτηδείως πρὸς γένεσιν πόας τε καὶ δένδρων. ἀλλὰ πλεῖσται μὲν ὑπὸ Μαιάνδρου μυρῖκαι καὶ μάλιστα αὔξονται· Ἀσωπὸς δὲ ὁ

crificaret, maximam muscas exhibuisse molestiam: eum itaque vel proprio inventu vel monitu alieno sacra fecisse Iovi Apomyio, atque ita muscas trans Alpheum fuisse profligatas. Inde servatum ab Eleis, ut ad abigendas ex Olympia muscas idem sacrum usurparetur. (3) Ex alba vero duntaxat populo, neque ex alia arbore, ad usum Olympicorum sacrorum ligna caedi patrius est Eleis ritus. Credo hunc honorem huic arbori praecipue habitum, quod eam Hercules e Thesprotide primus in Graeciam attulit. Sed ipsum etiam arbitror Herculem, quum Iovi Olympio sacra fecit, non aliis, quam ex alba populo lignis victimarum femora cremasse. Eam vero arborem Hercules in Thesprotide propter amnem Acherontem reperit. Et huc respexisse Homerum putant, quum Acheroidem populum appellavit. (4) Varia autem semper natura fuerunt, et nunc etiam diversi sunt amnes, ad gignenda herbarum et stirpium varia genera. Maeandri ripae myricas feliciter alunt. Asopus in Boeotia insigni magnitu-

Βοιώτιος βαθυτάτας πέφυκεν ἐκτρέφειν τὰς σχοίνους. τὸ δένδρον δὲ ἡ περσεία μόνου χαίρει τοῦ Νείλου τῷ ὕδατι. οὕτω καὶ τὴν λεύκην θαῦμα οὐδὲν αἴγειρόν τε καὶ κότινον, τὴν μὲν ἐπὶ Ἀχέροντι ἀναφῦναι πρῶτον, κότινον δὲ ἐπὶ τῷ Ἀλφειῷ, τὴν δὲ αἴγειρον γῆς τῆς τῶν Κελτῶν καὶ Ἠριδανοῦ τοῦ Κελτικοῦ θρέμμα εἶναι.

(5) Φέρε δὴ (ἐποιησάμεθα γὰρ βωμοῦ τοῦ μεγίστου μνήμην) ἐπέλθωμεν καὶ τὰ ἐς ἅπαντας ἐν Ὀλυμπίᾳ τοὺς βωμούς. ἐπακολουθήσει δὲ ὁ λόγος μοι τῇ ἐς αὐτοὺς τάξει, καθ' ἥντινα Ἠλεῖοι θύειν νομίζουσιν ἐπὶ τῶν βωμῶν. θύουσι δὲ Ἑστίᾳ μὲν πρώτῃ, δευτέρῳ δὲ τῷ Ὀλυμπίῳ Διΐ, ὄντες ἐπὶ τῶν βωμῶν τῶν ἐντὸς τοῦ ναοῦ. τρίτα δὲ ἐπὶ ἑνὸς βωμοῦ *** καὶ αὐτὴ καθέστηκεν ἡ θυσία. πέμπτα Ἀρτέμιδι θύουσι λαοὶ δι' Ἀθηνᾶν· ἕκτα Ἐργάνῃ. ταύτῃ τῇ Ἐργάνῃ 412
καὶ οἱ ἀπόγονοι Φειδίου, καλούμενοι δὲ Φαιδρυνταί, γέρας παρὰ Ἠλείων εἰληφότες τοῦ Διὸς τὸ ἄγαλμα ἀπὸ τῶν προσιζανόντων καθαίρειν, οὗτοι θύουσιν ἐνταῦθα πρὶν ἢ λαμπρύνειν τὸ ἄγαλμα ἄρχωνται. ἔστι δὲ Ἀθηνᾶς καὶ ἄλλος βωμὸς πλησίον τοῦ ναοῦ, καὶ Ἀρτέμιδος παρ' αὐ-

dine iuncum educat. Arbor persea sola gaudet Nili aqua. Nihil igitur mirum, si ad Acherontem enata primum est alba populus: ad Alpheum oleaster: populus vero nigra Padi et Galliae alumna est. (5) Age vero, quum circa aram maximam iam satis immorati simus, alias item aras oratione persequamur, ut simul doceamus, quibus Dis, et quo ordine, more maiorum illic sacra fiant. Vestae primum divinam rem peragunt: secundo loco ipsi Olympio Iovi: (intimae hae sunt fani arae) tum ad aram eandem tertium in sacris locum habet Mercurius: quartum ad aram suam Minerva, Diana quintum, sextum Ergane. Huic deae Phidiae posteri, quibus publice negotium datum est, ut Iovis signum ab adventitiis purgatum sordibus et detersum praestent (Phaedryntae ex eo, *quasi purgatores aut illuminatores*, nuncupati) priusquam ad opus aggrediantur, sacra faciunt. Est et alia Minervae prope templum; Dianae etiam quadrangula forma in sublime sensim

τὸν τετράγωνος, ἀνήκων ἠρέμα εἰς ὕψος. μετὰ δὲ τοὺς κατειλεγμένους, Ἀλφειῷ καὶ Ἀρτέμιδι θύουσιν ἐπὶ ἑνὸς βωμοῦ. τὸ δὲ αἴτιον τούτου παρεδήλωσε μέν που καὶ Πίνδαρος ἐν ᾠδῇ, γράφομεν δὲ καὶ ἡμεῖς ἐν τοῖς λόγοις τοῖς Λαιτριναίοις. τούτου δὲ οὐ πόῤῥω καὶ ἄλλος τῷ Ἀλφειῷ βωμὸς πεποίηται, παρὰ δὲ αὐτόν ἐστιν Ἡφαίστου. τοῦ δὲ Ἡφαίστου τὸν βωμόν εἰσιν Ἠλείων οἳ ὀνομάζουσιν Ἀρείου Διός. λέγουσι δὲ οἱ αὐτοὶ οὗτοι, καὶ ὡς Οἰνόμαος ἐπὶ τοῦ βωμοῦ τούτου θύοι τῷ Ἀρείῳ Διΐ, ὁπότε τῶν Ἱπποδαμείας μνηστήρων καθίστασθαι μέλλοι τινὶ ἐς ἵππων ἅμιλλαν. μετὰ τοῦτο πεποίηται μὲν Ἡρακλεῖ βωμὸς, ἐπίκλησιν Παραστάτῃ· πεποίηται δὲ καὶ τοῖς Ἡρακλέους τοῖς ἀδελφοῖς Ἐπιμήδει καὶ Ἴδᾳ καὶ Παιωναίῳ τε καὶ Ἰάσῳ. τὸν δὲ τοῦ Ἴδα βωμὸν Ἀκεσίδα ὑπὸ ἑτέρων οἶδα καλούμενον. ἔνθα δὲ τῆς οἰκίας τὰ θεμέλιά ἐστι τῆς Οἰνομάου, δύο ἐνταῦθά εἰσι βωμοὶ, Διός τε Ἑρκείου· τοῦτον ὁ Οἰνόμαος ἐφαίνετο αὐτὸς οἰκοδομήσασθαι· τῷ δὲ Κεραυνίῳ Διΐ ὕστερον ἐποιήσαντο ἐμοὶ δοκεῖν βωμὸν, ὅτ' ἐς τοῦ Οἰνομάου τὴν οἰκίαν κατέσκηψεν ὁ κεραυνός. τὰ δὲ

fastigium ascendens. Post eas aras, quas recensuimus, Alpheo et Dianae ad eandem aram faciunt. Eius rei causam Pindarus in cantico quodam innuit, et nos in Letrinaeorum historia exponimus. Ab hac non longe alia erecta est Alpheo ara, prope quam Vulcano sua item ara posita est. Sed hanc Vulcani aram nonnulli ex Eleis Arei (*id est Martii*) Iovis nominant. Aiunt iidem Oenomaum, quoties filiae procis curule certamen proponeret, Areo Iovi super hac ara rem divinam facere solitum. Post has Herculi ara dicata est, cognomine Parastatae: *hoc perinde est quasi Adstiti dicas:* eius etiam fratribus, Epimedi, Idae, Paeoneo et Iaso. Idae aram ab aliis non ignoro Acesidae appellatam. Quo vero loco area est Oenomai domus, duae extant Iovis arae; quarum unam Herceo ipse Oenomaus dedicavit: Ceraunio alteram post Oenomaum positam conicio, quum eius domus de coelo tacta *conflagras-*

ἐς τὸν μέγαν βωμὸν, ὀλίγῳ μὲν τινι ἡμῖν πρότερόν ἐστιν εἰρημένα· καλεῖται δὲ Ὀλυμπίου Διός. (6) Πρὸς αὐτῷ δ' ἐστὶν ἀγνώστων θεῶν βωμὸς, καὶ μετὰ τοῦτον Καθαρσίου Διὸς καὶ Νίκης, καὶ αὖθις Διὸς ἐπωνυμίαν Χθονίου· εἰσὶ δὲ καὶ θεῶν πάντων βωμοὶ, καὶ Ἥρας ἐπίκλησιν Ὀλυμπίας, πεποιημένος τέφρας καὶ οὗτος· Κλυμένου δὲ 413
φασιν αὐτὸν ἀνάθημα εἶναι. μετὰ δὲ τοῦτον Ἀπόλλωνος καὶ Ἑρμοῦ βωμός ἐστιν ἐν κοινῷ, διότι Ἑρμῆν λύρας, Ἀπόλλωνα δὲ εὑρετὴν εἶναι κιθάρας, Ἑλλήνων ἐστὶν ἐς αὐτοὺς λόγος. ἐφεξῆς δὲ Ὁμονοίας βωμὸς, καὶ αὖθις Ἀθηνᾶς· ὁ δὲ Μητρὸς θεῶν. (7) Τῆς ἐσόδου δὲ τῆς ἐς τὸ στάδιόν εἰσιν ἐγγύτατα βωμοὶ δύο· τὸν μὲν αὐτῶν Ἑρμοῦ καλοῦσιν Ἐναγώνιον, τὸν δὲ ἕτερον Καιροῦ. Ἴωνι δὲ οἶδα τῷ Χίῳ καὶ ὕμνον πεποιημένον Καιροῦ· γενεαλογεῖ δὲ ἐν τῷ ὕμνῳ νεώτατον παίδων Διὸς Καιρὸν εἶναι. πλησίον δὲ τοῦ Σικυωνίων θησαυροῦ, ἤτοι Κουρήτων, ἢ τοῦ Ἀλκμήνης ἐστὶν Ἡρακλέους· λέγεται γὰρ καὶ ἀμφότερα.

et. Ac de maxima quidem ara, quae dici opus fuit, paulo superius a me dicta sunt. Vocatur ea sane Iovis Olympii. (6) Adiacet ei ignotorum deorum ara. Post eam Catharsii (*id est Piacularis*) Iovis, et Victoriae: exinde Iovis, cui cognomen Terrestri: tum vero deorum omnium, et Iunonis cognomento Olympiae. Haec itidem e cineris congestu extructa est: Clymeno dedicatam tradunt. Succedit communis Apollinis et Mercurii, ob eam praecipue causam, quod lyrae inventum Mercurio, citharae Apollini, Graecorum sermo attribuit. Consequuntur Concordiae, Minervae, Matris deum arae. (7) Proxime ad eum aditum, qua est ad stadium accessus, arae duae sunt. Earum alteram Mercurii Enagonii; (*quod est quasi Athletici dicas*) Opportuni alteram (*qui Καιρὸς Graeco nomine est*) nuncupant. In hunc ab Ione Chio factum hymnum scio; in quo illius natales memorans, Saturni filiorum natu minimum esse dicit. Prope Sicyoniorum thesaurum ara est Herculis, vel eius qui Curetum unus fuit, vel eius qui Alcmena matre natus est: dicitur enim utrumque.

(8) Ἐπὶ δὲ τῷ Γαίῳ καλουμένῳ βωμός ἐστιν ἐπ' αὐτῷ Γῆς, τέφρας καὶ οὗτος. τὰ δ' ἔτι ἀρχαιότερα καὶ μαντεῖον τῆς Γῆς αὐτόθι εἶναι λέγουσιν. ἐπὶ δὲ τοῦ ὀνομαζομένου στομίου Θέμιδι ὁ βωμὸς πεποίηται. τοῦ δὲ Καταιβάτου Διὸς προβέβληται μὲν πανταχόθεν πρὸ τοῦ βωμοῦ φράγμα· ἔστι δὲ πρὸς τῷ βωμῷ τῷ ἀπὸ τῆς τέφρας τῷ μεγάλῳ. μεμνήσθω δέ τις οὐ κατὰ στίχον τῆς ἱδρύσεως ἀριθμουμένους τοὺς βωμοὺς, τῇ δὲ τάξει τῶν Ἠλείων ἐς τὰς θυσίας συμπερινοστοῦντα ἡμῖν τὸν λόγον. πρὸς δὲ τῷ τεμένει τοῦ Πέλοπος, Διονύσου μὲν καὶ Χαρίτων ἐν κοινῷ, μεταξὺ δὲ αὐτῶν, Μουσῶν, καὶ ἐφεξῆς τούτων, Νυμφῶν ἐστιν βωμός.

(8) Et qua parte Terrae aedes est, (*Gaeon ipsi vocant*) Telluris ara cernitur, e cineris ipsa etiam aggere. Iam tum priscis temporibus fuisse ibi Telluris oraculum fama prodidit. In eo autem loco, (quod nominant Stomium, (*ac si ostium dicant*) aram Themis habet. At Iovi Cataebatae (*quem nos non alieno fortasse nomine Elicium dicere possimus*) quae dicata ara est, maceria undequaque ambitur, et modico a maxima ara cineritia intervallo distat. Illud monendi sunt, quicunque haec legerint, aras me non quo sitae sunt ordine enumerasse, sed per eas ita me stylo vagatum, uti ad earum quamque vel prius vel posterius Elei sacra faciunt. Pelopis areae adiuncta est ara Liberi Patris et Gratiarum communis. Dehinc duae, Musis una, altera Nymphis positae.

CAPUT XV.

De reliquis memorandis in Alti, aedificio, Phidiae officina dicto — Leonidaeo — Oleastro Callistephano — Moeragetae et Jovis ὑψίστου aliisque aris — Prytaneo — Eleorum prisco sacrificandi ritu — sacris Iunonis Ammoniae et Parammonis — Doricis, quae in Prytaneo canuntur, carminibus.

Ἔστι δὲ οἴκημα ἐκτὸς τῆς Ἄλτεως, καλεῖται δὲ ἐργαστήριον Φειδίου, καὶ ὁ Φειδίας καθ' ἕκαστον τοῦ ἀγάλματος ἐνταῦθα εἰργάζετο. ἔστιν οὖν βωμὸς ἐν τῷ οἰκήματι θεοῖς πᾶσιν ἐν κοινῷ. ὀπίσω δὲ ἀναστρέψαντι αὖθις ἐς τὴν Ἄλτιν, ἔστιν ἀπαντικρὺ τοῦ Λεωνιδαίου. (2) Τὸ δὲ ἐκτὸς 414
μὲν τοῦ περιβόλου τοῦ ἱεροῦ τὸ Λεωνίδαιον· τῶν δὲ ἐσόδων πεποίηται τῶν ἐς τὴν Ἄλτιν κατὰ τὴν πομπικὴν, ἣ μόνη τοῖς πομπεύουσίν ἐστιν ὁδός. τοῦτο δὲ ἀνδρὸς μὲν τῶν ἐπιχωρίων ἐστὶν ἀνάθημα Λεωνίδου· κατ' ἐμὲ δὲ ἐς αὐτὸ Ῥωμαίων ἐσῳκίζοντο οἱ τὴν Ἑλλάδα ἐπιτροπεύοντες. διέστηκε δὲ ἀγυιὰν ἀπὸ τῆς ἐσόδου τῆς πομπικῆς. τοὺς γὰρ δὴ ὑπὸ Ἀθηναίων καλουμένους στενωποὺς ἀγυιὰς ὀνομάζουσιν οἱ Ἠλεῖοι. (3) Ἔστι δὲ ἐν τῇ Ἄλτει τοῦ Λεωνιδαίου περᾶν μέλλοντι ἐς ἀριστερὰν Ἀφροδίτης βωμὸς

Cap. XV. Extra Altin aedificium est, quae Phidiae officina nuncupatur. In illis aedibus Phidias operis partes est fabricatus; et in iisdem ara est diis omnibus communis in conspectu redeuntibus intra Altin, e regione Leonidaei. (2) Est autem Leonidaeum, aedes a Leonida indigena homine dicata, extra fani ambitum, prope eum ad Altin aditum, per quem unum e *multis* pompa sacrorum traducitur, et ex eo Pompica via est appellata: aetate vero mea diversorium fuit Romanorum magistratuum. Inter Pompicam viam et Leonidaeum unica media est Agyia. Hoc enim nomine angiportum, quem Attici στενωπὸν, vocant Elei. (3) Est etiam in Alti, si ultra Leonidaeum ad sinistram tendas, ara Veneris

καὶ Ὡρῶν μετ' αὐτόν· κατὰ δὲ τὸν ὀπισθόδομον μάλιστά ἐστιν ἐν δεξιᾷ πεφυκὼς κότινος. καλεῖται δὲ ἐλαία καλλιστέφανος, καὶ τοῖς νικῶσι τὰ Ὀλύμπια καθέστηκεν ἀπ' αὐτῆς δίδοσθαι τοὺς στεφάνους. τούτου πλησίον τοῦ κοτίνου πεποίηται Νύμφαις βωμός· καλλιστεφάνους ὀνομάζουσι καὶ ταύτας. ἔστι δέ τοι ἐντὸς τῆς Ἄλτεως μὲν Ἀρτέμιδος Ἀγοραίας βωμὸς, ἐν δεξιᾷ δὲ τοῦ Λεωνιδαίου. πεποίηται δὲ καὶ Δεσποίνης. τὰ δὲ ἐς τὴν θεὸν, ἥντινα ὀνομάζουσι Δέσποιναν, διδάξει μοι τοῦ λόγου τὰ ἐς Ἀρκάδας. μετὰ δὲ τοῦτον ἔστιν Ἀγοραίου Διὸς βωμός. πρὸ δὲ τῆς καλουμένης προεδρίας, Ἀπόλλωνος ἐπωνυμίαν Πυθίου, καὶ μετ' αὐτὸν Διονύσου· τοῦτον οὔτε πάλαι τὸν βωμὸν, καὶ ὑπὸ ἀνδρῶν ἰδιωτῶν ἀνατεθῆναι λέγουσιν. (4) Ἰόντι δ' ἐπὶ τὴν ἄφεσιν τῶν ἵππων, ἔστι βωμὸς, ἐπίγραμμα δὲ ἐπ' αὐτῷ Μοιραγέτα. δῆλα οὖν ἐστιν ἐπίκλησιν εἶναι Διὸς, ὃς τὰ ἀνθρώπων οἶδεν, ὅσα διδόασιν αἱ Μοῖραι, καὶ ὅσα μὴ πέπρωταί σφισι. πλησίον δὲ καὶ

et post eam ara Horarum. Ubi posticum templi est, ad dexteram oleaster se ostendit, quem Callistephanum appellant, *quasi Coronarium dicas.* Ex ea enim arbore solenne est Olympicis victoribus coronam decerpere. Proxima oleastro est Nymphis sacra ara. Eas Nymphas Callistephanos et ipsas nuncupant. Est etiam intra Altin ara Forensis Dianae, ad Leonidaei dexteram. Habent et deae, quas Dominas vocant, aram suam. Dominam vero quam dearum nominent Graeci, in rerum Arcadicarum commentario docebimus. Post hanc ara est Iovis Forensis: et ante locum eum, quam Proedrian (*hoc est Sessionem honoratiorem*) appellant, ara Pythii Apollinis; et ab eo non longe Liberi Patris ara. Hanc neque multis ante aetatibus positam, et a plebeiis hominibus dedicatam ferunt. (4) In ea, quae ad equorum carceres via ducit, ara est cum inscriptione Moeragetae, *quod est, Parcarum ducis.* Esse illud Iovis cognomen dubitari non debet. Unus enim ipse *Parcas in potestate habet, solusque* quid sit, vel non sit homini fato praescriptum novit. Ad-

Μοιρῶν βωμός ἐστιν ἐπιμήκης, μετὰ δὲ αὐτὸν Ἑρμοῦ, καὶ δύο ἐφεξῆς Διὸς ὑψίστου. ἐν δὲ τῶν ἵππων τῇ ἀφέσει, ἐν μὲν τῷ ὑπαίθρῳ τῆς ἀφέσεως κατὰ μέσον που μάλιστα, Ποσειδῶνος Ἱππίου καὶ Ἥρας εἰσὶν Ἱππίας βωμοί· πρὸς δὲ τῷ κίονι, Διοσκούρων. τῆς δὲ πρὸς τὸν ἔμβολον καλούμενον ἐσόδου, τῇ μὲν Ἄρεως Ἱππίου, τῇ δὲ Ἀθηνᾶς Ἱππίας βωμός. ἐς δὲ αὐτὸν τὸν ἔμβολον ἐσελθόντων Τύ- 415
χης ἐστὶν ἀγαθῆς βωμός, καὶ Πανὸς καὶ Ἀφροδίτης· ἐνδοτάτω δὲ τοῦ ἐμβόλου, Νυμφῶν, ἃς Ἀκμηνὰς καλοῦσιν. ἀπὸ δὲ τῆς στοᾶς, ἣν οἱ Ἠλεῖοι καλοῦσιν Ἀγνάπτου, τὸν ἀρχιτέκτονα ἐπονομάζοντες τῷ οἰκοδομήματι, ἀπὸ ταύτης ἐπανιόντι ἐστὶν ἐν δεξιᾷ βωμὸς Ἀρτέμιδος. ἐσελθόντων δὲ αὖθις διὰ τῆς πομπικῆς ἐς τὴν Ἄλτιν, εἰσὶν ὄπισθεν τοῦ Ἡραίου, Κλαδέου τε τοῦ ποταμοῦ καὶ Ἀρτέμιδος βωμοί· ὁ δὲ μετ' αὐτούς, Ἀπόλλωνος· τέταρτος δὲ Ἀρτέμιδος ἐπίκλησιν Κοκκώκας, καὶ Ἀπόλλωνος πέμπτος Θερμίου. τὸν μὲν δὴ παρὰ Ἠλείοις Θέρμιον, καὶ αὐτῷ μοι παρίστατο εἰκάζειν, ὡς κατὰ Ἀτθίδα

iuncta est Parcarum ara, oblonga figura: et post eam Mercurii: et deinde Iovis, cui cognomen Altissimo, arae duae. Intra ipsos carceres sub divo, medio fere loco, arae se ostendunt equestris Neptuni, et equestris Iunonis. Adhaeret pilae Castorum ara. In primo ingressu eius loci, quem ἔμβολον (Rostra) nominant, ab uno latere ara est Martis equestris, ab altero Minervae equestris. Iam vero intra rostrum ingressis, est Bonae Fortunae ara; Panos deinde, et Veneris. In intimo recessu, Nympharum, quas Acmenas (*id est Vegetas*) nuncupant. A portícu vero ea, quam Elei de nomine architecti vocant Agapti porticum, inde redeuntibus, ad dexteram Dianae se ara monstrat. Rursus Altin per Pompicam viam intrantibus, secundum Iunonium sunt Cladaei amnis et Dianae arae: tum Apollinis post eas; Dianae Coccoche; (hoc enim est deae cognomen) quinta Apollinis Thermii. Quid hoc Thermii cognomen sibi velit, non est difficile coniectura consequi, quum eandem vocem Attica etiam lingua usurpet.

γλῶσσαν εἴη Θέρμιον. ἀνθ' ὅτου δὲ Ἄρτεμιν ἐπονομάζουσι Κοκκώκαν, οὐ χρεία τε ἦν μοι διδαχθῆναι. ἔστι δὲ πρὸ τοῦ καλουμένου Θεηκολεῶνος οἴκημα· τούτου δὲ ἐν γωνίᾳ τοῦ οἰκήματος Πανὸς ἵδρυται βωμός. (5) Τὸ Πρυτανεῖον δὲ Ἠλείοις ἔστι μὲν τῆς Ἄλτεως ἐντὸς, πεποίηται δὲ παρὰ τὴν ἔξοδον, ἥ ἐστι τοῦ γυμνασίου πέραν. ἐν τούτῳ δὲ οἵ τε δρόμοι τῷ γυμνασίῳ καὶ τοῖς ἀθληταῖς εἰσιν αἱ παλαῖστραι. Πρυτανείου δὲ πρὸ μὲν τῶν θυρῶν βωμός ἐστιν Ἀρτέμιδος Ἀγροτέρας· ἐν δὲ αὐτῷ τῷ Πρυτανείῳ παριόντων ἐς τὸ οἴκημα, ἔνθα σφίσιν ἡ ἑστία, Πανός ἐστιν ἐν δεξιᾷ τῆς ἐσόδου βωμός. ἔστι δὲ ἡ ἑστία τέφρας καὶ αὕτη πεποιημένη, καὶ ἐπ' αὐτῆς πῦρ ἀνὰ πᾶσάν τε ἡμέραν καὶ ἐν πάσῃ νυκτὶ ὡσαύτως καίεται. ἀπὸ ταύτης τῆς ἑστίας τὴν τέφραν, κατὰ τὰ εἰρημένα ἤδη μοι, κομίζουσιν ἐπὶ τὸν Ὀλυμπίου βωμόν· καὶ οὐχ ἥκιστα ἐς μέγεθος συντελεῖ τῷ βωμῷ τὸ ἀπὸ τῆς ἑστίας ἐπιφορούμενον. (6) Ἑκάστου δὲ ἅπαξ τοῦ μηνὸς θύουσιν ἐπὶ πάντων Ἠλεῖοι τῶν κατειλεγμένων βωμῶν· θύουσι δὲ ἀρχαῖόν τινα τρόπον. λιβανωτὸν γὰρ ὁμοῦ πυροῖς μεμαγμένοις μέλιτι θυ-

Quamobrem vero Coccocam Dianam appellent, nunquam adhuc ut discerem usu mihi evenit. Ante Theecoleonem, quem vocant, aedificium est. In eius aedificii angulo Panos ara dicata. (5) Prytaneum (*curiam scilicet suam*) habent Elei intra Altin, prope ipsum exitum, qui est ultra gymnasium illud, in quo curricula sunt, et athletarum palaestrae. In Prytanei vestibulo est Agrestis Dianae ara. At in ipso Prytaneo, quum ad eam accesseris cellam, ubi focum habent, ad primi ingressus dexteram Panos aram videas. Focus ille e cinere substructus, perpetuo igni tam interdiu, quam nocte adoletur. Solenne est transportari ab hoc foco cinerem ad Olympii aram, quam suo loco e cinere congestam diximus; neque illa aliunde magis in altitudinem proficit. (6) Et ad earum, quas *hactenus* enumeravimus, ararum singulas quolibet mense Elei sacra faciunt, prisco parentum ritu, thura et melle subactum triticum adolentes: et aras quidem olea-

μιῶσιν ἐπὶ τῶν βωμῶν· τιθέασι δὲ καὶ κλῶνας ἐλαίας ἐπ' αὐτῶν, καὶ οἴνῳ χρῶνται σπονδῇ. μόναις δὲ ταῖς Νύμφαις 416 οὐ νομίζουσιν οἶνον, οὐδὲ τῇ Δεσποίνῃ σπένδειν, οὐδὲ ἐπὶ τῷ βωμῷ τῷ κοινῷ πάντων θεῶν. μέλει δὲ τὰ ἐς θυσίας τῷ θεηκόλῳ, ὃς ἐπὶ μηνὶ ἑκάστῳ τὴν τιμὴν ἔχει, καὶ μάντεσι, καὶ σπονδοφόροις, ἔτι δὲ ἐξηγητῇ τε καὶ αὐλητῇ, καὶ τῷ ξυλεῖ. ὁπόσα δὲ ἐπὶ ταῖς σπονδαῖς λέγειν σφίσιν ἐν τῷ Πρυτανείῳ καθέστηκεν, ἢ καὶ ὕμνους ὁποίους ᾄδουσιν, οὔ με ἦν εἰκὸς ἐπεισαγαγέσθαι καὶ ταῦτα ἐς τὸν λόγον. (7) Θεοῖς δὲ οὐ τοῖς Ἑλληνικοῖς μόνον, ἀλλὰ καὶ τῶν ἐν Λιβύῃ σπένδουσι καὶ Ἥρᾳ τε Ἀμμωνίᾳ, καὶ Παράμμωνι· Ἑρμοῦ δὲ ἐπίκλησίς ἐστιν ὁ Παράμμων. φαίνονται δὲ χρώμενοι ἐκ παλαιοτάτου τῷ ἐν Λιβύῃ μαντείῳ, καὶ ἀναθήματα Ἠλείων ἐν Ἄμμωνός εἰσι βωμοί. γέγραπται δὲ ἐπ' αὐτῶν, ὅσα τε ἐπυνθάνοντο οἱ Ἠλεῖοι, καὶ τὰ χρησθέντα ὑπὸ τοῦ θεοῦ, καὶ τὰ ὀνόματα τῶν ἀνδρῶν, οἳ παρὰ τὸν Ἄμμωνα ἦλθον ἐξ Ἤλιδος. ταῦτα μὲν δή ἐστιν ἐν Ἄμμωνος. Ἠλεῖοι δὲ καὶ ἥρωσι καὶ γυναιξὶ σπέν-

gina fronde velant: vino in libando utuntur. Solis tamen Nymphis, et *ex omni dearum numero* iis, quas Dominas appellant; ad communem etiam deorum omnium aram vino libare religione prohibentur. Sacrificia curantur a theecolo, qui in singulos menses honorem habet, a vatibus item, libationum ministris, sacrorum interprete, tibicine et lignatore. Quae vero in Prytaneo inter libandum effari consueverint, aut quos decantent hymnos, neutiquam his censui commentariis inserendum. (7) Neque illi Graecorum tantum dis libant, verum etiam ex *omni* Libycorum deorum numero Ammoniam Iunonem, et Parammonem (Mercurii id cognomen est) venerantur. Satis enim constat usos olim Graecos Libyco oraculo. Nam arae adhuc in Ammonis extant, ab Eleis dedicatae; et in illis, de quo consuluerint, et quid responsi acceperint, et qui ab Elide publice missi fuerint, incisis literis testatum est. Haec in Ammonis. At Elei (*ad eos ut nostra redeat oratio*) heroibus etiam

δουσιν ἡρώων, ὅσοι τε ἐν τῇ χώρᾳ τῇ Ἠλείων, καὶ ὅσοι παρὰ Αἰτωλοῖς τιμὰς ἔχουσιν. (8) Ὁπόσα δὲ ᾄδουσιν ἐν τῷ Πρυτανείῳ, φωνὴ μέν ἐστιν αὐτῶν ἡ Δώριος· ὅστις δὲ ὁ ποιήσας ἦν τὰ ᾄσματα, οὐ λέγουσιν. ἔστι δὲ καὶ ἑστιατόριον Ἠλείοις· καὶ τοῦτο ἔστι μὲν ἐντὸς τοῦ Πρυτανείου, τοῦ οἰκήματος τοῦ τῆς ἑστίας ἀπαντικρύ· τοὺς δὲ τὰ Ὀλύμπια νικῶντας ἑστιῶσιν ἐν τούτῳ τῷ οἰκήματι.

CAPUT XVI.

De Junonis templo — virginum cursus certamine, Heraea dicto — hujus certaminis origine — XVI feminarum collegio — Physcoa et Narcaeo.

Λείπεται δὲ τὸ μετὰ τοῦτο ἡμῖν τῆς τε Ἥρας ὁ ναὸς, καὶ ὁπόσα ἐστὶν ἐν τῷ ναῷ πρέποντα εἰς συγγραφήν. λέγεται δὲ ὑπὸ Ἠλείων, ὡς Σκιλλούντιοι τῶν ἐν τῇ Τριφυλίᾳ πό-
417 λεων εἰσιν οἱ κατασκευασάμενοι τὸν ναὸν ὀκτὼ μάλιστα ἔτεσιν ὕστερον, ἢ τὴν βασιλείαν τὴν ἐν Ἤλιδι ἐκτήσατο Ὄξυλος. ἐργασία μὲν δή ἐστι τοῦ ναοῦ Δώριος· κίονες δὲ περὶ πάντα ἑστήκασιν αὐτόν. ἐν δὲ τῷ ὀπισθοδόμῳ δρυὸς ὁ ἕτερος τῶν κιόνων ἐστί. μῆκος δέ εἰσι τοῦ ναοῦ

et eorum uxoribus libant, tum iis, qui passim in Elea terra, tum et illis, qui apud Aetolos in honore sunt. (8) Et carminum quidem effata in Prytaneo Dorica enunciant lingua; sed quis eorum fuerit auctor, non traditur. Est Eleis etiam Coenatio intra Prytaneum e regione illius cellae, in qua focus est. In eo coenaculo epulum praebetur iis, qui Olympia vicerint.

Cap. XVI. Postulat iam hic locus, ut ad Iunonis templum accedam, et quae in eo memoratu digna sunt, stylo persequar. Primum omnium Elei tradunt Scilluntios, quae Triphyliae civitas est, fanum erexisse, annis ferme VIII postea quam Elidis regnum Oxylus iniit. Totius quidem operis figura Dorica est, columnis circumquaque ambientibus: et earum quidem, quae in postico templi sunt, altera e quercu

πόδας τρεῖς καὶ ἑξήκοντα, οὐκ ἀποδεῖ· τὸν δὲ ἀρχιτέκτονα, ὅστις ἐγένετο, οὐ μνημονεύουσι. (2) Διὰ πέμπτου δὲ ὑφαίνουσιν ἔτους τῇ Ἥρᾳ πέπλον αἱ ἓξ καὶ δέκα γυναῖκες· αἱ δὲ αὐταὶ τιθέασι καὶ ἀγῶνα Ἡραῖα. ὁ δὲ ἀγών ἐστιν ἅμιλλα δρόμου παρθένοις, οὔτοι που πάσαις ἡλικίας τῆς αὐτῆς· ἀλλὰ πρῶται μὲν αἱ νεώταται, μετὰ ταύτας δὲ αἱ τῇ ἡλικίᾳ δεύτεραι, τελευταῖαι δὲ θέουσιν, ὅσαι πρεσβύταται τῶν παρθένων εἰσίν. θέουσι δὲ οὕτω· καθεῖταί σφισιν ἡ κόμη, χιτὼν ὀλίγον ὑπὲρ γόνατος καθήκει, τὸν ὦμον ἄχρι τοῦ στήθους φαίνουσι τὸν δεξιόν. ἀποδεδειγμένον μὲν δὴ ἐς τὸν ἀγῶνά ἐστι καὶ ταύταις τὸ Ὀλυμπικὸν στάδιον, ἀφαιροῦσι δὲ αὐταῖς ἐς τὸν δρόμον τοῦ σταδίου τὸ ἕκτον μάλιστα. ταῖς νικώσαις ἐλαίας τε διδόασι στεφάνους, καὶ βοὸς μοῖραν τεθυμένης τῇ Ἥρᾳ. καὶ δὴ ἀναθεῖναί σφισιν ἔστι γεγραμμένας εἰκόνας. εἰσὶ δὲ καὶ διακονούμεναι αὐταῖς ἑκκαίδεκα κατὰ ταὐτὰ ταῖς ἀγωνοθετούσαις γυναῖκες. (3) Ἐπανάγουσι δὲ καὶ τῶν παρθένων τὸν ἀγῶνα ἐς τὰ ἀρχαῖα, Ἱπποδάμειαν τῇ Ἥρᾳ τῶν γάμων τῶν Πέλοπος ἐκτίνουσαν χάριν, τάς τε ἑκκαίδεκα

est. Porrigit se in longitudinem pedes tres et LX. Architectus, qui operi praefuerit, certus nemo proditur. (2) Ac Iunoni sane quinto quoque anno peplum matronae sedecim pertexunt, eaedemque ludos faciunt Iunonia. In his cursus certamen virginibus proponitur, in classes ex aetate descriptis. Primae enim currunt impuberes puellae, tum grandiores, postremo natu maximae. Ornatus idem est omnibus: passus capillus, demissa tunica ad genua, exertus usque ad pectus dexter humerus. Descendunt et ipsae in Olympicum stadium; sed curriculum parte fere sexta detracta minuitur. Accipiunt victrices ex olea coronam. E bove etiam, qua Iunoni litatum fuerit, partem capiunt. Et pictas quidem earum imagines dedicare fas est. Matronae sedecim ludis praesunt, totidem iis ministrae attributae sunt. (3) Hoc ipsum etiam virginum ludicrum ad res priscas referunt. Hippodamian enim, Iunoni de Pelopis nuptiis ut gratiam referret, sedecim

ἀθροῖσαι γυναῖκας λέγοντες, καὶ σὺν αὐταῖς διαθεῖναι πρώτην τὰ Ἡραῖα. μνημονεύουσι δὲ καί, ὅτι Χλῶρις νικήσειεν Ἀμφίονος θυγάτηρ μόνη λειφθεῖσα τοῦ οἴκου· σὺν δὲ αὐτῇ καὶ ἕνα περιγενέσθαι φασὶ τῶν ἀρσένων. ἃ δὲ ἐς τοὺς Νιόβης παῖδας καθίστατο αὐτῷ μοι γιγνώσκειν, ἐν τοῖς ἔχουσιν ἐς Ἀργείους ἐδήλωσα. (4) Ἐς δὲ τὰς ἑκκαίδεκα γυναῖκας καὶ ἄλλον τοιόνδε λέγουσιν ἐπὶ τῷ προτέρῳ λόγον. Δημοφῶντά φασι τυραννοῦντα ἐν Πίσῃ πολλά τε ἐργάσασθαι καὶ χαλεπὰ Ἠλείους. ὡς δὲ ἐτελεύτησεν ὁ Δημοφῶν (οὐ γὰρ δὴ οἱ Πισαῖοι συνεχώρουν μετέχειν δημοσίᾳ τοῦ τυράννου τῶν ἁμαρτημάτων, καί πως ἀρεστὰ καὶ Ἠλείοις ἐγένετο καταλύεσθαι τὰ ἐς αὐτοὺς ἐγκλήματα) οὕτως
418 ἑκκαίδεκα οἰκουμένων τηνικαῦτα ἔτι ἐν τῇ Ἠλείᾳ πόλεων, γυναῖκα ἀφ' ἑκάστης εἵλοντο διαλύειν τὰ διάφορά σφισιν, ἥτις ἡλικίᾳ τε ἦν πρεσβυτάτη, καὶ ἀξιώματι καὶ δόξῃ τῶν γυναικῶν προεῖχεν. αἱ πόλεις δέ, ἀφ' ὧν τὰς γυναῖκας εἵλοντο, ἦσαν Ἤλιδος. ἀπὸ τούτων μὲν αἱ γυναῖκες οὖσαι τῶν πόλεων, Πισαίοις διαλλαγὰς πρὸς Ἠλείους

mulieres convocasse, et cum eis primam Iunonios ludos instituisse perhibent. Memoriae etiam proditum est, Chloridem Amphionis filiam, solam cum unico de marium fratrum numero superstitem e tota sobole, de virginum cursu palmam tulisse. De Niobes equidem prole quicquid compertum habui, cum Argivorum res persequerer, exposui. (4) Quod attinet autem ad XVI matronarum collegium, praeter ea, quae paulo superius scripta sunt, hoc etiam amplius memorant: Demophontem Pisae tyrannum multis ac gravibus incommodis Eleos affecisse: eo mortuo, quod ille nihil egerat de publico civitatis consilio, facile Elei adducti sunt, ut de iis quas acceperant iniuriis aequo iure cum Pisaeis disceptarent. Ac tunc sane inter ipsos convenit, ut, quum civitates id temporis in Elea sedecim vigerent, singulae matronam unam ederent, quae tum aetate, tum vitae ac generis dignitate ceteras anteire videretur, atque ut his omnium controversiarum arbitrium permitteretur. Sedecim itaque foeminae e totidem Elidis urbibus utrique populo pacis conditio-

ἐποίησαν· ὕστερον δὲ καὶ τὸν ἀγῶνα ἐπετράπησαν ὑπ' αὐτῶν θεῖναι τὰ Ἡραῖα, καὶ ὑφήνασθαι τῇ Ἥρᾳ τὸν πέπλον. (5) Αἱ δὲ ἑκκαίδεκα γυναῖκες καὶ χοροὺς δύο ἱστᾶσι, καὶ τὸν μὲν Φυσκόας τῶν χορῶν, τὸν δὲ Ἱπποδαμείας καλοῦσι. τὴν Φυσκόαν δὲ εἶναι ταύτην φασὶν ἐς τῆς Ἤλιδος τῆς κοίλης, τῷ δήμῳ δὲ, ἔνθα ᾤκησεν, ὄνομα [μὲν] Ὀρθίαν εἶναι. ταύτῃ τῇ Φυσκόᾳ Διόνυσον συγγενέσθαι λέγουσι, Φυσκόαν δὲ ἐκ Διονύσου τεκεῖν παῖδα Ναρκαῖον· τοῦτον, ὡς ηὐξήθη, πολεμεῖν τοῖς προσοίκοις, καὶ δυνάμεως ἐπὶ μέγα ἀρθῆναι, καὶ δὴ καὶ Ἀθηνᾶς ἱερὸν ἐπίκλησιν Ναρκαίας αὐτὸν ἱδρύσασθαι· Διονύσῳ τε τιμὰς λέγουσιν ὑπὸ Ναρκαίου τοῦ Φυσκόας δοθῆναι πρῶτον. Φυσκόας μὲν δὴ γέρα καὶ ἄλλα καὶ χορὸς ἐπώνυμος παρὰ τῶν ἑκκαίδεκα γυναικῶν. φυλάσσουσι δὲ οὐδὲν ἧσσον Ἠλεῖοι * καὶ τἄλλα ὅμως τῶν πόλεων. νενεμημένοι γὰρ ἐς ὀκτὼ φυλὰς, ἀφ' ἑκάστης αἱροῦνται γυναῖκας δύο. ὁποῖα δὲ ἢ ταῖς ἑκκαίδεκα γυναιξὶν, ἢ τοῖς Ἑλλανοδικοῦσιν Ἠλείων δρᾶν καθέστηκεν, οὐ πρότερον δρῶσι, πρὶν

nes tulere. Eisdem vero postea et ludos, quae Iunonia sunt appellata, faciendi, et peplum Iunoni pertexendi cura mandata est. (5) Duos eaedem choros celebrant; Physcoae unum, alterum Hippodamiae vocitant. Fuisse Physcoan tradunt ex Elide, cui Coelae (*quod est concavae*) cognomen: domicilium in curia Elidis habuisse, quae Orthia dicta est: a Libero Patre adamatam, ei filium, cui Narcaei nomen, peperisse: Narcaeum ipsum iam adultum cum finitimis bellasse: magnas inde opes consecutum, et Minervae, quam de se Narcaeam appellavit, aedem dedicasse; primumque omnium Libero Patri honores decrevisse. Physcoae et alii honores habiti, et chorus alter ab ea nomen sumsit. Servant Elei pristinum illum sedecim mulierum numerum, sed ex alia, quam totidem urbium descriptione. In tribus enim octo distributi, e singulis binas deligunt. Neque vero aut XVI foeminae, aut aediles Eleorum, ullam attingunt munerum suo-

ἢ χοίρῳ τε ἐπιτηδείῳ πρὸς καθαρμὸν, καὶ ὕδατι ἀποκαθήρωνται. γίνεται δέ σφισιν ἐπὶ κρήνῃ Πιέρᾳ τὰ καθάρσια. Ἐκ δὲ Ὀλυμπίας τὴν πεδιάδα ἐς Ἦλιν ἐρχομένῳ, πρὸς τὴν πηγὴν ἀφικέσθαι τὴν Πιέραν ἔστι. ταῦτα μὲν δὴ ἔχει κατὰ τὰ προειρημένα.

CAPUT XVII.

De multis signis in templo Junonis — arca Cypseli — scribendi ratione βουστροφηδὸν dicta — arcae Cypseli accurata descriptio.

Τῆς Ἥρας δέ ἐστιν ἐν τῷ ναῷ Διὸς ἄγαλμα· τὸ δὲ Ἥρας καθήμενόν ἐστιν ἐπὶ θρόνου, παρέστηκε δὲ γένειά τε ἔχων, καὶ ἐπικείμενος κυνῆν ἐπὶ τῇ κεφαλῇ. ἔργα δέ ἐστιν ἁπλᾶ. τὰς δὲ ἐφεξῆς τούτων καθημένας ἐπὶ θρόνων Ὥρας ἐποίη-
ronam intacto partam pulvere decreverunt. *Id quum graviter tulisset* Apollonius, ut forte ad pugilatum erat loris illigatus, in Heraclidem iam coronam capientem invasit, et hominem ad ludorum praesides confugientem est persecutus: quae illi vecordia magno utique stetit. (6) Iam duo alia signa nostrae aetatis opera sunt. Sexta enim et vicesima supra ducentesimam Olympiade pugiles deprehensi sunt de una et eadem palma inter se pacta pecunia societatem coisse. Ob eam rem multa illis imposita. Simulacrorum *ex ea pecunia* Iovi dedicatorum ad laevam alterum est, alterum ad dexteram, qua aditus ad stadium patet. Pugilibus nomen alteri Didas fuit; et ei, qui pecuniam dedit, Garapammon, ex eadem sane tribu Aegypti Arsinoite. (7) Per hercule mirum fuit, exteros homines nihil Iovis numen veritos, ob certamen munera vel accepisse vel dedisse. Sed in miraculo posuerim maiore, Eleos ipsos in eandem prolapsos fraudem. Secunda

τολμήσειεν Ἠλεῖος δευτέρᾳ πρὸς ταῖς ἑκατὸν καὶ ἐνενήκοντα Ὀλυμπιάδι· συνεστηκέναι μὲν γὰρ παλαίοντας ἐπὶ
434 τῷ στεφάνῳ τόν τε τοῦ Δαμονίκου παῖδα Πολύκτορα, καὶ Σώσανδρον γένος Σμυρναῖον, ὁμώνυμον τῷ πατρί· Δαμόνικον δὲ, ἅτε περισσῶς ἐπιθυμοῦντα γενέσθαι τῷ παιδὶ τὴν νίκην, δοῦναι τοῦ Σωσάνδρου τῷ παιδὶ χρήματα. ὡς δὲ ἐγεγόνει τὰ πραχθέντα ἔκπυστα, ἐπιβάλλουσιν οἱ Ἑλλανοδίκαι ζημίαν· ἐπιβάλλουσι δὲ οὐ τοῖς παισὶν, ἀλλὰ ἐς τοὺς πατέρας ἔτρεψαν τὴν ὀργήν· οὗτοι γὰρ δὴ καὶ ἠδίκουν. ἀπὸ ταύτης τῆς ζημίας ἀγάλματα ἐποιήθη· καὶ τὸ μὲν ἐν τῷ Ἠλείων ἀνάκειται γυμνασίῳ, τὸ δὲ τῆς Ἄλτεως πρὸ τῆς Ποικίλης στοᾶς καλουμένης, ὅτι ἦσαν ἐπὶ τῶν τοίχων γραφαὶ τὸ ἀρχαῖον. Εἰσὶ δ' οἳ τὴν στοὰν ταύτην καὶ Ἠχοῦς ὀνομάζουσι. βοήσαντι δὲ ἀνδρὶ ἑπτάκις ὑπὸ τῆς ἠχοῦς ἡ φωνὴ ἐπὶ τάδε καὶ ἐπὶ πλέον ἔτι ἀποδίδοται. Παγκρατιαστὴν δέ φασιν Ἀλεξανδρέα, ὄνομα δὲ εἶναί οἱ Σαραπίωνα, τοῦτον ἐν Ὀλυμπιάδι τῇ πρώτῃ μετὰ τὰς διακοσίας εἰς τοσοῦτο δεῖσαι τοὺς ἀνταγωνιστὰς, ὥστε ἡμέρᾳ μιᾷ πρότερον ἢ ἐσκληθήσεσθαι τὸ παγκράτιον ἔμελλεν,

enim et nonagesima supra centesimam Olympiade, quum in luctae certamen Damonici Elei filius Polyctor, et Sosandri Smyrnaei filius patri cognominis descendissent, cuperet vero impensius Damonicus filium suum victorem discedere, Sosandri filium dicitur pecunia data *adduxisse, ut facile se vinci pateretur.* Eius rei indignitate commoti iudices, multam ipsis parentibus irrogarunt. Ab illis enim noxa commissa fuerat. Ex ea pecunia signa duo erecta sunt, alterum in Eleorum gymnasio; ante porticum, quae in Alti est, alterum. Appellatur ea porticus Poecile, (*id est Varia*) a picturae *scilicet varietate*, qua olim parietes exornati fuerant. Eandem multi Echus nominant, quod vocis emissae imago septies et saepius reciprocat. *Signum etiam Iovi* de Serapionis Alexandrini pancratiastae multa *dicatum est.* Damnatum timiditatis tradunt, quod prima post ducentesimam Olympiade, pridie quam pancratium committeretur, adversariorum metu

ἀποδράντα οἴχεσθαι. τοῦτον ζημιωθέντα ἐπὶ δειλίᾳ μόνον τῶν τε ἄλλων ἀνθρώπων καὶ αὐτῶν μνημονεύουσιν Αἰγυπτίων. ταῦτα μὲν τὰ κατειλεγμένα ἐπὶ αἰτίαις ταῖσδε ποιηθέντα εὕρισκον.

CAPUT XXII.

De aliis Jovis signis Olympiae positis — signis in basi quadam lapidea — Abantide regione — signo Jovis a Metapontinis erecto — signo Jovis a Phliasiis et alio a quibusdam Leontinis posito.

Ἔστι δὲ καὶ ἀγάλματα Διὸς δημοσίᾳ τε καὶ ὑπὸ ἀνδρῶν
ἀνατεθέντα ἰδιωτῶν. ἔστι δὲ βωμὸς ἐν τῇ Ἄλτει τῆς ἐσό-
δου πλησίον τῆς ἀγούσης ἐς τὸ στάδιον. ἐπὶ τούτου θεῶν
μὲν οὐδενὶ θύουσιν Ἠλεῖοι, σαλπιγκταῖς δὲ ἐφεστηκόσιν
αὐτῷ καὶ τοῖς κήρυξιν ἀγωνίζεσθαι καθέστηκε. παρὰ τοῦ-
τον τὸν βωμὸν βάθρον τε πεποίηται χαλκοῦν, καὶ ἄγαλμα
ἐπ' αὐτῷ Διὸς, μέγεθος μὲν ὅσον ἓξ πήχεις, κεραυνὸν δὲ
ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχει. ἀνέθεσαν δὲ αὐτὸ Κυναιθαεῖς.
ὁ δὲ περικείμενός τε τὸν ὅρμον, καὶ ἡλικίαν παῖς ἔτι, 435
ἀνάθημα ἀνδρός ἐστι Φλιασίου Κλεόλα. (2) Παρὰ δὲ τὸ

solum verterit. Id uni illi accidisse, et nemini praeter eum, sive Aegyptius, sive e quavis terra fuerit, affirmant. Atque ea quidem, quae iam enumeravi signa, quibus ante dictum est nominibus dicata comperi.

Cap. XXII. Sunt et alia Iovis simulacra, partim publico, partim vero privato aere dedicata. Ad aram vero, quae in Alti est, prope aditum eum, qui ad stadium ducit, nihil ulli deorum immolant Elei: tubicines tantum et praecones ad eam prisco ritu de palma certant. In proximo suggestu signum Iovis ex aere positum est, altitudine cubitum sex: utraque manu fulmen tenet: dedicarunt Cynaethaenses. Torquatum vero *Iovem* impuberem Phliasius Cleolas dicavit.

Ἱπποδάμιον καλούμενον, λίθου τε βάθρον ἐστὶ, κύκλου ἥμισυς, καὶ ἀγάλματα ἐπ' αὐτῷ Ζεὺς, καὶ Θέτις τε καὶ Ἡμέρα τὸν Δία ὑπὲρ τῶν παίδων ἱκετεύουσαι. ταῦτα ἐπὶ μέσῳ τῷ βάθρῳ. οἱ δὲ ἤδη σχῆμα ἀντιτεταγμένων ὅ τε Ἀχιλλεὺς παρέχεται καὶ ὁ Μέμνων ἐπὶ ἑκατέρῳ τοῦ βάθρου τῷ πέρατι ἑκάτερος. ἀνθεστήκασι δὲ καὶ ἄλλος ἄλλῳ κατὰ τὰ αὐτὰ, ἀνὴρ βάρβαρος ἀνδρὶ Ἕλληνι, Ὀδυσσεὺς μὲν Ἑλένῳ, ὅτι οὗτοι μάλιστα ἐπὶ σοφίᾳ δόξαν ἐν ἑκατέρῳ τῷ στρατεύματι εἰλήφεσαν· Μενελάῳ δὲ κατὰ τὸ ἔχθος τὸ ἐξ ἀρχῆς Ἀλέξανδρος, Διομήδει δὲ Αἰνείας, καὶ τῷ Τελαμῶνος Αἴαντι Δηΐφοβος. ταῦτά ἐστιν ἔργα μὲν Λυκίου τοῦ Μύρωνος, Ἀπολλωνιᾶται δὲ ἀνέθηκαν οἱ ἐν τῷ Ἰονίῳ. καὶ δὴ καὶ ἐλεγεῖόν γράμμασίν ἐστιν ἀρχαίοις ὑπὸ τοῦ Διὸς τοῖς ποσί·

Μνάματ' Ἀπολλωνίας ἀνακείμεθα, τὰν ἐνὶ πόντῳ
Ὤικισεν Ἰονίῳ Φοῖβος ἀκερσεκόμας·
Οἱ γᾶς τέρμαθ' ἑλόντες Ἀβαντίδος ἐνθάδε ταῦτα
Ἔστασαν σὺν τοῖς ἐκ Θρονίου δεκάταν.

(2) Iam vero iuxta aedem, quod vocant Hippodamium, e lapide suggestus est, hemicycli forma. In medio Iupiter, et Iovi pro liberum salute supplicantes Thetis et Aurora. Qui vero in utroque semicirculi extremo, *quasi cornu* accincti ad pugnam sunt, alter Achilles, Memnon alter est. Similiter etiam alius alii e regione oppositus stat, barbarus Graeco, Ulysses Heleno, quod hi sapientiae laude in suo uterque exercitu praestitere. Iam propter vetus odium Menelao Paris, Diomedi Aeneas, Aiaci Telamonis filio Deiphobus. Opera haec fuere Lycii Myronis filii: dedicarunt autem Ionii maris accolae, Apolloniatae, sicuti priscis literis incisi elegi ad Iovis pedes indicant:

Urbis Apollineae sunt haec monumenta, comatus
Phoebus quam ad pontum condidit Ionium.
Illa manus, veteris quae cepit Abantidos oras,
E Thronio votam pertulit huc decimam.

(3) Ἡ δὲ Ἀβαντὶς ὠνομασμένη χώρα, καὶ πόλισμα ἐν αὐτῇ Θρόνιον, τῆς Θεσπρωτίδος ἦσαν Ἠπείρου κατὰ ὄρη τὰ Κεραύνια. σκεδασθεισῶν γὰρ Ἕλλησιν, ὡς ἐκομίζοντο ἐξ Ἰλίου, τῶν νεῶν, Λοκροί τε ἐκ Θρονίου τῆς ἐπὶ Βοαγρίῳ ποταμῷ καὶ Ἄβαντες ἀπὸ Εὐβοίας, ναυσὶν ὀκτὼ συναμφότεροι πρὸς τὰ ὄρη κατηνέχθησαν τὰ Κεραύνια. οἰκήσαντες δὲ ἐνταῦθα, καὶ πόλιν οἰκίσαντες Θρόνιον, καὶ τῆς γῆς ἐφ' ὅσον ἐνέμοντο, Ἀβαντίδος ὄνομα ἀπὸ κοινοῦ λόγου θέμενοι, ἐκπίπτουσιν ὕστερον ὑπὸ Ἀπολλωνιατῶν ὁμόρων κρατηθέντες πολέμῳ. ἀποικισθῆναι δὲ ἐκ Κορκύρας τὴν Ἀπολλωνίαν, οἱ δὲ Κορινθίοις αὐτοῖς με- 436
τεῖναι λαφύρων. (4) Προελθόντι δὲ ὀλίγον, Ζεύς ἐστι πρὸς ἀνίσχοντα τετραμμένος τὸν ἥλιον, ἀετὸν ἔχων τὸν ὄρνιθα καὶ τῇ ἑτέρᾳ τῶν χειρῶν κεραυνόν· ἐπίκειται δὲ αὐτῷ καὶ ἐπὶ τῇ κεφαλῇ στέφανος, ἄνθη τὰ ἠρινά. Μεταποντίνων δέ ἐστιν ἀνάθημα, Αἰγινήτου δὲ ἔργον Ἀριστόνου. τοῦ δὲ Ἀριστόνου τούτου διδάσκαλον, ἢ καθ' ὅντινα χρόνον ἐγένετο, οὐκ ἴσμεν. (5) Ἀνέθεσαν δὲ καὶ

(3) Abantis quidem regio, et in ea Thronium oppidum, in Thesprotide Epiri fuere, ad montes Ceraunios. Disiecta enim tempestate, quum Graeci ab Ilio redirent, classe, Locri Boagrii fluminis accolae, e Thronio, et Abantes ex Euboea, octo utrique navibus ad Ceraunios montes delati sunt. Ibi quum consedissent, et oppidum Thronium condidere, et agrum intra certos fines communem utrique genti, uno nomine Abantidem regionem appellarunt. Pulsi deinde sunt finitimorum Apolloniatarum bello. *Successisse in eorum locum* Apolloniam e Corcyra deductam aiunt: eius nonnulli praedae participes fuisse dicunt Corinthios. (4) Paululum hinc progressis, in conspectu Iupiter est, ad orientem solem conversus, altera manu aquilam avem, fulmen altera tenens. Imposita est corona capiti e vernis floribus. Fuit hoc Metapontinorum donum, Aristonoi vero Aeginetae opus: incertum sane mihi, quis Aristonoi magister fuerit; incertum etiam, quo tempore floruerit. (5) Dedicarunt etiam Phliasii Iovem, et Asopi

Φλιάσιοι Δία, καὶ θυγατέρας τὰς Ἀσωποῦ, καὶ αὐτὸν Ἀσωπόν. διακεκόσμηται δὲ οὕτω σφίσι τὰ ἀγάλματα. Νεμέα μὲν τῶν ἀδελφῶν πρώτη, μετὰ δὲ αὐτὴν Ζεύς ἐστι λαμβανόμενος Αἰγίνης· παρὰ δὲ τὴν Αἴγιναν ἕστηκεν Ἅρπιννα. ταύτῃ τῷ Ἠλείων καὶ Φλιασίων λόγῳ συνεγένετο Ἄρης, καὶ Οἰνομάῳ δὲ μήτηρ τῷ περὶ τὴν Πισαίαν βασιλεύσαντι ἐστιν Ἅρπιννα. μετὰ δὲ αὐτὴν Κόρκυρά τε, καὶ ἐπ' αὐτῇ Θήβη· τελευταῖος δὲ ὁ Ἀσωπός. λέγεται δὲ ἐς μὲν Κόρκυραν, ὡς μιχθείη Ποσειδῶν αὐτῇ. τοιαῦτα δὴ ἕτερα ᾖσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία. Ἰδίᾳ δὲ ἄνδρες Λεοντῖνοι καὶ οὐκ ἀπὸ τοῦ κοινοῦ Δία ἀνέστησαν. μέγεθος μὲν τοῦ ἀγάλματος πήχεις εἰσὶν ἑπτά, ἐν δὲ ταῖς χερσὶν ἀετός τέ ἐστιν αὐτῷ καὶ τὸ βέλος τοῦ Διὸς κατὰ τοὺς τῶν ποιητῶν λόγους. ἀνέθεσαν δὲ Ἱππαγόρας τε καὶ Φρύνων, καὶ Αἰνεσίδημος. ἄλλον πού τινα Αἰνεσίδημον δοκῶ, καὶ οὐ τὸν τυραννήσαντα εἶναι Λεοντίνων.

filias, Asopum etiam ipsum. Ea signa ita disposita sunt. Prima omnium est Nemea sororum natu maxima: post eam Iupiter Aeginam prensans. Adsistit Aeginae Harpinna, cum qua Mars (uti Eleorum et Phliasiorum sermone proditum est) consuetudinem habuit, et ex ea genuit Oenomaum, qui Pisae regnavit. Proxima illi est Corcyra, et deinceps Thebe; omnium postremus Asopus. Corcyram quidem a Neptuno cognitam tradunt. Versibus Pindarus similia mandavit de Thebe et Iove. Leontini quidam privata, non publica pecunia Iovem erexerunt, septem cubitum magnitudine: laeva aquilam, dextera iaculum praefert, ex poetarum scilicet descriptione. *Fuere Leontini illi, qui* dedicarunt, Hippagoras, Phrynon et Aenesidemus: et hunc quidem Aenesidemum alium ab eo arbitror fuisse, qui tyrannidem in Leontinis adeptus est.

CAPUT XXIII.

De Jovis signo a Graecis posito, qui ad Plataeas pugnarunt, cum civitatum nominibus inscriptis — ex his illae recensentur, quae Pausaniae tempore deletae erant — de aenea columna, in qua foedus Atheniens. cum Lacedaemon. in XXX annos incisum — signo Jovis a Megarensibus — ab Hyblaeis — a Clitoriis Olympiae posito.

Παρεξιόντι δὲ παρὰ τὴν ἐς τὸ βουλευτήριον ἔσοδον, Ζεύς
τε ἕστηκεν ἐπίγραμμα ἔχων οὐδὲν, καὶ αὖθις ὡς πρὸς ἄρ-
κτον ἐπιστρέψαντι, ἄγαλμά ἐστι Διός. τοῦτο τέτραπται
μὲν πρὸς ἀνίσχοντα ἥλιον, ἀνέθεσαν δὲ Ἑλλήνων ὅσοι
Πλαταιᾶσιν ἐμαχέσαντο ἐναντία Μαρδονίου τε καὶ Μήδων.
εἰσὶ δὲ καὶ ἐγγεγραμμέναι κατὰ τοῦ βάθρου τὰ δεξιὰ αἱ
μετασχοῦσαι πόλεις τοῦ ἔργου· Λακεδαιμόνιοι μὲν πρῶτοι,
μετὰ δὲ αὐτοὺς Ἀθηναῖοι, τρίτοι δὲ γεγραμμένοι καὶ τέ- 437
ταρτοι Κορίνθιοί τε καὶ Σικυώνιοι, πέμπτοι δὲ Αἰγινῆ-
ται, μετὰ δὲ Αἰγινήτας, Μεγαρεῖς καὶ Ἐπιδαύριοι, Ἀρ-
κάδων δὲ Τεγεᾶταί τε καὶ Ὀρχομένιοι· ἐπὶ δὲ αὐτοῖς, ὅσοι
Φλιοῦντα, καὶ Τροιζῆνα, καὶ Ἑρμιόνα οἰκοῦσιν· ἐκ δὲ
χώρας τῆς Ἀργείας Τιρύνθιοι· Πλαταιεῖς δὲ μόνοι Βοιω-

Cap. XXIII. Ubi viam praeterieris, quae in curiam ducit, Iupiter stat sine ulla inscriptione. Ad septentriones vero, quum flexeris, Iovis item signum videas ad ortum solis conversum: dedicarunt quicunque ad Plataeas e Graeciae populis contra Mardonium Persarum ducem steterunt. Incisa vero sunt in dextro basis latere earum civitatum nomina, quarum forti opera *eo praelio prospere* pugnatum est. Primi omnium Lacedaemonii, post eos Athenienses: adscripti his ordine sunt, Corinthii, Sicyonii, Aeginetae: tum vero Megarenses, et Epidaurii: ex Arcadum concilio Tegeatae, et Orchomenii: ad eos Phliasii, Troezenii, Hermionenses: ex Argivorum finibus Tirynthii: solique e Boeotis Pataeenses:

τῶν, καὶ Ἀργείων οἱ Μυκήνας ἔχοντες· νησιῶται δὲ Κεῖοι καὶ Μήλιοι, Ἀμβρακιῶται δὲ ἐξ ἠπείρου τῆς Θεσπρωτίδος, Τήνιοί τε καὶ Λεπρεᾶται· Λεπρεᾶται μὲν τῶν ἐκ τῆς Τριφυλίας μόνοι· ἐκ δὲ Αἰγαίου καὶ τῶν Κυκλάδων, οὐ Τήνιοι μόνοι, ἀλλὰ καὶ Νάξιοι καὶ Κύθνιοι· ἀπὸ δὲ Εὐβοίας Στυρεῖς· μετὰ δὲ τούτους, Ἠλεῖοι, καὶ Ποτιδεᾶται, καὶ Ἀνακτόριοι· τελευταῖοι δὲ Χαλκιδεῖς οἱ ἐπὶ τῷ Εὐρίπῳ. (2) Τούτων τῶν πόλεων τοσαίδε ἦσαν ἐφ᾽ ἡμῶν ἔρημοι· Μυκηναῖοι μὲν καὶ Τιρύνθιοι μετὰ τὰ Μηδικὰ ὕστερον ἐγένοντο ὑπὸ Ἀργείων ἀνάστατοι. Ἀμβρακιώτας δὲ καὶ Ἀνακτορίους ἀποίκους Κορινθίων ὄντας, ἐπηγάγετο ὁ Ῥωμαίων βασιλεὺς ἐς Νικοπόλεως συνοικισμὸν πρὸς τῷ Ἀκτίῳ. Ποτιδεάτας δὲ δὶς μὲν ἐκέλαβεν ἀναστάτους ἐκ τῆς σφετέρας ὑπὸ Φιλίππου τε γενέσθαι τοῦ Ἀμύντου, καὶ πρότερον ἔτι ὑπὸ Ἀθηναίων· χρόνῳ δὲ ὕστερον Κάσανδρος κατήγαγε μὲν Ποτιδεάτας ἐπὶ τὰ οἰκεῖα, ὄνομα δὲ οὐ τὸ ἀρχαῖον τῇ πόλει, Κασάνδρεια δὲ ἐγένετο ἀπὸ τοῦ οἰκιστοῦ. τὸ δὲ ἄγαλμα ἐν Ὀλυμπίᾳ τὸ ἀνατεθὲν ὑπὸ τῶν Ἑλλήνων ἐποίησεν Ἀναξαγόρας Αἰγινήτης. τοῦτον

ex Argivorum urbibus Mycenaei: ex insulis Chii, Milesii, et Ambraciotae a Thesprotide continente; Tenii item et Lepreatae: et hi quidem Lepreatae soli e Triphylia. Ex Aegio autem et Cycladibus non Tenii soli, sed Naxii etiam, et Cythnii. Ab Euboea Styrenses. His accesserunt Elei, Potidaeatae, Anactorii: extremi omnium Chalcidenses Euripi accolae. (2) Ex his *omnibus* urbibus hae propemodum ita deletae sunt, ut earum nulla extet: Mycenas et Tirynthem exciderunt Argivi post eiectos e Graecia Persas. Ambraciotas et Anactorios Corinthiorum colonias Caesar *Augustus* Nicopolin ad Actium promontorium deduxit. Nam Potidaeatas bis domo sua pulsos, a Philippo Amyntae filio semel, et ante ab Atheniensibus, restituit quidem Cassander; sed quae Potidaea fuit, amisso vetere nomine, Cassandrea nuncupata est a conditore. Signum hoc communi impensa harum civitatum in Olympia erectum fecit Anaxagoras Aegineta: cuius tamen ab iis, qui

ἱ συγγράψαντες τὰ ἐς Πλαταιᾶς παρῆκαν ἐν τοῖς λόγοις.
(3) Ἔστι δὲ πρὸ τοῦ Διὸς τούτου στήλη χαλκῆ, Λακεδαιμονίων καὶ Ἀθηναίων συνθήκας ἔχουσα εἰρήνης ἐς τριάκοντα ἐτῶν ἀριθμόν. ταύτας ἐποιήσαντο Ἀθηναῖοι παραστησάμενοι τὸ δεύτερον Εὔβοιαν, ἔτει τρίτῳ τῆς Ὀλυμπιάδος, ἣν Κρίσων Ἱμεραῖος ἐνίκα στάδιον. ἔστι δὲ ἐν ταῖς συνθήκαις καὶ τόδε εἰρημένον· εἰρήνης μὲν τῆς Ἀθηναίων καὶ Λακεδαιμονίων τῇ Ἀργείων μὴ μετεῖναι πόλει, ἰδίᾳ δὲ Ἀθηναίους καὶ Ἀργείους, ἢν ἐθέλωσιν, ἐπιτηδείως ἔχειν 438 πρὸς ἀλλήλους. αὗται μὲν λέγουσι τοιαῦτα αἱ συνθῆκαι.
(4) Διὸς δὲ ἄλλο ἄγαλμα παρὰ τὸ ἅρμα ἀνάκειται τὸ Κλεοσθένους· τούτου μὲν δὴ ἡμῖν καὶ ἐν τοῖς ἔπειτα ἔσται μνήμη. τὸ δὲ ἄγαλμα τοῦ Διός, Μεγαρέων μέν ἐστιν ἀνάθημα· ἀδελφοὶ δὲ αὐτὸ Θύλακός τε καὶ Ὄναιθος, καὶ οἱ παῖδές οἱ τούτων εἰργάσαντο. ἡλικίαν δὲ αὐτῶν, ἢ πατρίδα, ἢ παρ' ὅτινι ἐδιδάχθησαν, οὐκ ἔχω δηλῶσαι.
(5) Πρὸς δὲ τῷ ἅρματι τῷ Γέλωνος Ζεὺς ἕστηκεν ἀρχαῖος, ἔχων σκῆπτρον· Ὑβλαίων δέ φασιν εἶναι ἀνάθημα. αἱ δὲ

res Plataeensium conscripsere, nulla omnino facta mentio est.
(3) Ante hoc Iovis signum est aenea columna, in qua foedus incisum Atheniensium cum Lacedaemoniis in triginta annos. Fecerunt Athenienses foedus hoc redacta iterum in ditionem Euboea, anno tertio Olympiadis eius, in qua Crison Himeraeus e stadio victor discessit. Sancitum in conditionibus illis est, eius pacis communionem ad Argivorum civitatem nihil pertinere; privatim illis cum Atheniensibus liciturum amicitiam iungere. Atque haec quidem illo foedere continentur.
(4) Aliud etiam Iovis positum est signum, non longe a Cleosthenis curru, de quo posterius nobis erit sermo: dedicarunt Megarenses: fecerunt Thylacus et Onaethus fratres, eorumque filii. Quibus vero illi temporibus fuarint, quave patria nati, aut a quibus artem didicerint, mihi sane ignotum est.
(5) Prope Gelonis currum stat Iupiter prisci admodum operis, sceptrum tenens. Hyblaeorum donum esse aiunt. Fuere

ἦσαν ἐν Σικελίᾳ πόλεις αἱ Ὕβλαι, Γερεᾶτις ἐπίκλησιν, τὴν δὲ, ὥσπερ γε καὶ ἦν, ἐκάλουν μείζονα. ἔχουσι δὲ καὶ κατ' ἐμὲ ἔτι τὰ ὀνόματα. ἐν τῇ Καταναίᾳ δὲ ἡ μὲν ἔρημος ἐς ἅπαν, ἡ δὲ κώμη τε Καταναίων ἡ Γερεᾶτις, καὶ ἱερόν σφισιν Ὑβλαίας ἐστὶ θεοῦ, παρὰ Σικελιωτῶν ἔχον τιμάς. παρὰ τούτων δὲ κομισθῆναι τὸ ἄγαλμα ἐς Ὀλυμπίαν ἡγοῦμαι. τεράτων γὰρ σφᾶς καὶ ἐνυπνίων Φίλιστος ὁ Ἀρχομενίδου φησὶν ἐξηγητὰς εἶναι, καὶ μάλιστα εὐσεβείᾳ τῶν ἐν Σικελίᾳ βαρβάρων προσκεῖσθαι. (6) Πλησίον δὲ τοῦ Ὑβλαίων ἀναθήματος βάθρον τε πεποίηται χαλκοῦν, καὶ ἐπ' αὐτῷ Ζεύς· τοῦτον ὀκτὼ μάλιστα εἶναι ποδῶν καὶ δέκα εἰκάζομεν. οἵτινες δὲ αὐτὸν ἔδοσαν τῷ θεῷ, καὶ ἀντινῶν ἐστιν ἔργον, ἐλεγεῖον γεγραμμένον σημαίνει·

> Κλειτόριοι τόδ' ἄγαλμα θεῷ δεκάταν ἀνέθηκαν
> Πολλᾶν ἐκ πολίων, χερσὶ βιασάμενοι.
> Καὶ * μετρεῖτ' Ἀρίστων ἠδὲ Τελέστας,
> Αὐτοκασίγνητοι καί τε Λάκωνες ἔσαν.

Hyblae Siciliae civitates duae; cognomine Gereatis una; altera ut erat, ita etiam vocabatur Maior. Retinent hac etiamnum aetate prisca nomina; et earum altera in agro Catanensi plane deserta est; altera Gereatis in iisdem finibus ad vici formam redacta. In hac fanum est Siculorum celebritate religiosum, deae, quam Hyblaeam vocant, dicatum. Ab hoc ego populo signum arbitror in Olympiam deportatum. Nam ostentorum et somniorum interpretes esse, et ceteros, qui in Sicilia sunt, barbaros deorum caeremoniis colendis anteire, Philistus Archomenidis filius memoriae prodidit. (6) Prope Hyblaeorum donum suggestus est ex aere; et super eo Iovis colossus, altitudinis pedum (quantum coniicere possum) decem et octo. Eum colossum qui dederint, quique fecerint, inscripti elegi declarant:

> Hoc signum multis ex urbibus expugnatis
> Clitorii decimas constituere Deo,
> Artifices Teletas, frater germanus Ariston.

Τούτους οὐκ ἐς ἅπαν τὸ Ἑλληνικὸν ἐπιφανεῖς νομίζω γε- 439
νέσθαι· εἶχον γὰρ ἄν τι καὶ Ἠλεῖοι περὶ αὐτῶν λέγειν, καὶ πλέονα ἔτι Λακεδαιμόνιοι πολιτῶν γε ὄντων.

CAPUT XXIV.

Multa alia Jovis signa a populis et singulis hominibus in Alti posita recensentur — de signo Jovis Horcii in curia posito, ad quod athletae jurare solent — signo Alexandri Magni Jovis habitu.

Παρὰ δὲ τοῦ Λαοίτα Διὸς καὶ Ποσειδῶνος Λαοίτα, παρὰ τοῦτον τὸν βωμὸν, Ζεὺς ἐπὶ χαλκοῦ βάθρου· δῶρον μὲν τοῦ Κορινθίων δήμου, Μούσου δέ ἐστι ποίημα, ὅστις δὴ οὗτός ἐστιν ὁ Μοῦσος. Ἀπὸ δὲ τοῦ βουλευτηρίου πρὸς τὸν ναὸν ἐρχομένῳ τὸν μέγαν, ἔστιν ἄγαλμα ἐν ἀριστερᾷ Διός· ἐστεφανωμένον δὲ οἷα δὴ ἄνθεσι, καὶ ἐν τῇ δεξιᾷ χειρὶ αὐτοῦ κεραυνὸς πεποίηται. τοῦτο δέ ἐστιν Ἀσκάρου τέχνη Θηβαίου, διδαχθέντος παρὰ τῷ Σικυωνίῳ *, καὶ Θεσσαλῶν φασιν εἶναι, ὅτε Φωκεῦσιν εἰς πόλεμον οὗτοι κατέστησαν· καὶ ἔστιν ἀπὸ Φωκέων αὐτοῖς τὸ ἀνάθημα. οὐκ ἂν οὖν ὁ ἱερὸς καλούμενος εἴη πόλεμος, ὃν δὲ πρότε-

Esse vero hos Lacones non omnibus omnino Graecis notum esse existimo. De illis quidem habent Elei omnino nihil quod dicant; sed plura multo, ut de suis civibus, Lacedaemonii.

Cap. XXIV. Exin ara est Laoetae Iovis, Laoetae etiam (*quod est ac si Plebeii dixeris*) Neptuni. Adiuncta est arae basis aenea, quae Iovem sustinet, Corinthiaci populi donum, Musi opus, quisquis Musus is fuerit. Inde a curia ad magnum templum contendenti, ad laevam signum est Iovis cum corona velut e floribus; dextera fulmen tenet. Fuit hoc Ascari Thebani opus, quem docuit *Agelades* Sicyonius. A Thessalis ferunt dedicatum, suscepto contra Phocenses bello, ac de Phocensium quidem manubiis. Bellum hoc aliud ab eo fuit,

ρον ἔτι ἐπολέμησαν πρὶν ἢ Μήδους καὶ βασιλέα ἐπὶ τὴν Ἑλλάδα διαβῆναι. Τούτου δὲ οὐ πόῤῥω Ζεύς ἐστιν, ὅντινα ἀναθεῖναι Ψωφιδίους ἐπὶ πολέμου κατορθώματι, τὸ ἔπος τὸ ἐπ' αὐτῷ γεγραμμένον δηλοῖ. Τοῦ ναοῦ δέ ἐστιν ἐν δεξιᾷ τοῦ μεγάλου Ζεὺς πρὸς ἀνατολὰς ἡλίου. μέγεθος μὲν δώδεκα ποδῶν, ἀνάθημα δὲ λέγουσιν εἶναι Λακεδαιμονίων, ἡνίκα ἀποστᾶσι Μεσσηνίοις δεύτερα ἔτι ἐς πόλεμον κατέστησαν. ἔπεστι δὲ καὶ ἐλεγεῖον ἐπ' αὐτῷ·

Δέξο ἄναξ Κρονίδα Ζεῦ Ὀλύμπιε καλὸν ἄγαλμα
Ἱλάῳ θυμῷ τοῖς Λακεδαιμονίοις.

Ῥωμαίων δὲ οὔτε ἄνδρα ἰδιώτην, οὔτε ὁπόσοι τῆς βουλῆς, οὐδένα Μομμίου πρότερον ἀνάθημα ἴσμεν ἐς ἱερὸν
440 ἀναθέντα Ἑλληνικόν. Μόμμιος δὲ ἀπὸ λαφύρων ἀνέθηκε τῶν ἐξ Ἀχαΐας Δία ἐς Ὀλυμπίαν χαλκοῦν. οὗτος ἕστηκεν ἐν ἀριστερᾷ τοῦ Λακεδαιμονίων ἀναθήματος παρὰ τὸν πρῶτον ταύτῃ τοῦ ναοῦ κίονα. Ὁ δὲ ἐν τῇ Ἄλτει μέγιστον τῶν χαλκῶν ἐστιν ἀγαλμάτων τοῦ Διὸς, ἀνετέθη μὲν

quod Sacrum nuncuparunt. Gestum enim est, antequam Xerxes cum Persarum copiis in Graeciam transmitteret. Non procul hinc Iupiter positus est, quem *ex voto*, quum superiores e praelio discessissent, dedicasse Psophidios testatur inscriptio. Dextera in parte magni templi ad Solis ortum Iupiter est altitudinis pedum XII: quem dicatum tradunt a Lacedaemoniis, quum rebellantes Messenios altero bello vindicare essent adorti. Adscripti elegi sunt:

Hoc sate Saturno signum cape Iupiter alme,
Auxiliumque favens fer Lacedaemoniis.

Romanorum omnino nullus, neque plebeius, neque patritius, ante L. Mummium, quod ego sciam, in Graecorum templis donum ullum ponendum curavit. Primus Mummius de manubiis Achaeorum Iovem in Olympia aeneum dedicavit, ad laevam eius, qui a Lacedaemoniis dedicatus fuerat, proxime ad primam templi columnam. Quod vero maximum omnium aeneorum signorum, quae in Alti posita sunt, Iovis est colos-

ὑπὸ αὐτῶν Ἠλείων ἀπὸ τοῦ πρὸς Ἀρκάδας πολέμου· μέγεθος δὲ ἑπτὰ καὶ εἴκοσι ποδῶν ἐστι. Παρὰ δὲ τῷ Πελοπίῳ, κίων τε οὐχ ὑψηλὸς, καὶ ἄγαλμα Διός ἐστιν ἐπ' αὐτῷ μικρὸν, τὴν ἑτέραν τῶν χειρῶν προτεῖνον. Τούτου δὲ ἀπαντικρὺ, ἄλλά ἐστιν ἀναθήματα ἐπὶ στοίχου· ὡς δὲ αὔτως Διὸς καὶ Γανυμήδους ἀγάλματα. ἔστι δὲ Ὁμήρῳ πεποιημένα, ὡς ἁρπασθείη τε ὑπὸ θεῶν Γανυμήδης οἰνοχοεῖν Διῒ, καὶ ὡς Τρωῒ δῶρα ἵπποι δοθεῖεν ἀντ' αὐτοῦ. τοῦτο ἀνέθηκε μὲν Γνάθις Θεσσαλὸς, ἐποίησε δὲ Ἀριστοκλῆς μαθητής τε καὶ υἱὸς Κλεοίτα. Ἔστι δὲ καὶ ἄλλος Ζεὺς οὐκ ἔχων πω γένεια· κεῖται δὲ ἐν τοῖς ἀναθήμασι τοῖς Σμικύθου. τὰ δὲ ἐς Σμίκυθον, γένος τε ὁποῖον ἦν αὐτῷ, καὶ ἀνθ' ὅτου τὰ ἀναθήματα ἐς Ὀλυμπίαν τὰ πολλὰ ἀνέθηκεν, ὁ ἐφεξῆς μοι λόγος δηλώσει. Ἀπὸ δὲ τοῦ ἀγάλματος τοῦ εἰρημένου προελθόντι ὀλίγον κατ' εὐθεῖαν, ἄγαλμά ἐστι Διὸς οὐκ ἔχον γένεια οὐδὲ αὐτὸ, Ἐλαϊτῶν δὲ ἀνάθημα, οἳ καταβάντες ἐκ Καΐκου πεδίου ἐς θάλασσαν, πρῶτοι τῇ Αἰολίδι οἰκοῦσι. Τούτου δὲ αὖθις ἄλλο ἄγαλμα ἔχεται Διός· τὸ δὲ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ τοὺς ἐν Κνίδῳ

sus ab ipsis Eleis confecto Arcadico bello dedicatus, altitudinis pedum septem et viginti. Iuxta vero Pelopis delubrum pila est modice a solo eminens. Super ea parvum est Iovis simulacrum altera manu prolata. Ex adverso alia sunt perpetua serie collocata signa: inter ea Iovis et Ganymedis. Homerus quidem carminibus mandavit suis, raptum a dis Ganymedem Iovi ut pocula ministraret: pro eo vero equos Troi *patri* datos. Dedicavit Gnothis Thessalus: fecit Aristocles discipulus et filius Cleoetae. Alius ibidem Iupiter est impuber, inter Smicythi dona. Quis hic Smicythus fuerit, unde oriundus, et quam ob causam multa in Olympia dona posuerit, suo loco exponemus. Paululum hinc recta progressis aliud est Iovis impuberis signum. Dedicarunt Elaitae, qui a Caico digressi, Aeolidem primi in ora maritima tenuerunt. Aliud proxime positum est Iovi signum: inscriptio te-

Χεῤῥονησίους ἀπὸ ἀνδρῶν ἀναθεῖναι πολεμίων φησίν. ἀνίθεσαν δὲ ἑκατέρωθεν παρὰ τὸν Δία Πέλοπά τε καὶ τὸν Ἀλφειὸν ποταμόν. Κνιδίοις δὲ τῆς πόλεως τὸ μὲν πολὺ ἐν τῇ ἠπείρῳ πεπόλισται τῇ Καρικῇ, ἔνθα καὶ τὰ λόγου μάλιστα ἄξια αὐτοῖς ἐστιν. ἡ δὲ καλουμένη Χεῤῥόνησος ἔστιν ἐπὶ τῇ ἠπείρῳ κειμένη νῆσος, γεφύρᾳ διαβατὸς ἐξ
441 αὐτῆς. καὶ τὰ ἀναθήματα ἀνέθεσαν ἐν Ὀλυμπίᾳ τῷ Διὶ ἐνταῦθα οἰκοῦντες· ὡς οἱ τῆς Ἐφεσίων πόλεως ἔχοντες τὸν ὀνομαζόμενον Κόρησσον ἀνάθημα δι' αἰτίαν ἀναθεῖναι τοῦ Ἐφεσίων κοινοῦ. Ἔστι δὲ καὶ πρὸς τῷ τείχει τῆς Ἄλτεως Ζεὺς ἐπὶ ἡλίου τετραμμένος δυσμὰς, ἐπίγραμμα οὐδὲν παρεχόμενος. ἐλέγετο δὲ καὶ οὗτος Μομμίου τε καὶ ἀπὸ τοῦ Ἀχαιῶν εἶναι πολέμου. (2) Ὁ δὲ ἐν τῷ βουλευτηρίῳ, πάντων ὁπόσα ἀγάλματα Διὸς μάλιστα ἐς ἔκπληξιν ἀδίκων ἀνδρῶν πεποίηται. ἐπίκλησις μὲν Ὅρκιός ἐστιν αὐτῷ, ἔχει δὲ ἐν ἑκατέρᾳ κεραυνὸν χειρί. παρὰ τούτῳ καθέστηκε τοῖς ἀθληταῖς, καὶ πατράσιν αὐτῶν καὶ ἀδελφοῖς, ἔτι δὲ γυμνασταῖς ἐπὶ κάπρου κατόμνυσθαι τομίων, μηδὲν ἐς τὸν

statur, Cnidios Cherrhonesi incolas de hostium spoliis dedicasse. Iovi hinc Pelopem, illinc Alpheum amnem apposuerunt. Et Cnidiorum quidem urbis pars maxima in continenti Cariae terra condita est, et ibi sane multa sunt memoratu digna. Quae vero Cherrhonesus dicitur, insula est ponte continenti terrae coniuncta. Illinc Iovi donum hoc in Olympiam missum, sicuti et Ephesii Coresi inquilini communi Ephesiorum nomine signum posuere. Est etiam ad Altis murum appositus Iupiter ad solis occasum conversus, sine inscriptione. Vulgavit fama a Mummio de Achaicis manubiis dicatum. (2) In curia Iovis est signum specie perfidiosis hominibus quam maxime formidanda. Horcius ei cognomen, *id est Iurisiurandi vindex, idem fortasse, quem Romani Dium Fidium appellarunt.* Utraque manu fulmen tenet. Solenne vero athletis omnibus, eorumque parentibus, fratribus, gymnasii magistris, super execti suis testibus verbis conceptis

Ὀλυμπίων ἀγῶνα ἔσεσθαι παρ' αὐτῶν κακούργημα. οἱ δὲ ἄνδρες οἱ ἀθληταὶ καὶ τόδε ἔτι προσκατόμνυνται, δέκα ἐφεξῆς μηνῶν ἀπηκριβῶσθαί σφισι τὰ πάντα ἐς ἄσκησιν. ὀμνύουσι δὲ καὶ ὅσοι τοὺς παῖδας ἢ τῶν ἵππων τῶν ἀγωνιζομένων τοὺς πώλους κρίνουσιν, ἐπὶ δικαίῳ καὶ ἄνευ δώρων ποιεῖσθαι κρίσιν, καὶ τὰ ἐς τὸν δοκιμαζόμενον δὲ καὶ μή, φυλάξειν καὶ ταῦτα ἐν ἀποῤῥήτῳ. τῷ κάπρῳ δὲ ὅ τι χρῆσθαί σφισι μετὰ τῶν ἀθλητῶν τὸν ὅρκον καθέστηκεν, οὐκ ἐμνημόνευσα ἐπερέσθαι· ἐπεὶ τοῖς γε ἀρχαιοτέροις ἐς τὰ ἱερεῖα ἦν καθεστηκός, ἐφ' ᾧ τις ὅρκον ἐποιήσατο, μηδὲ ἐδώδιμον εἶναι τοῦτο ἔτι ἀνθρώπῳ. δηλοῖ δὲ οὐχ ἥκιστα καὶ Ὅμηρος· τὸν γοῦν κάπρον, καθ' ὅτου τῶν τομίων Ἀγαμέμνων ἐπώμοσεν, ἦ μὴν εἶναι τὴν Βρισηΐδα ἑαυτοῦ τῆς εὐνῆς ἀπείρατον, τοῦτον τὸν κάπρον ἀφιέμενον ὑπὸ τοῦ κήρυκος ἐποίησεν ἐς θάλασσαν·

Ἦ, καὶ ἀπὸ σφάραγον κάπρου τάμε νηλέϊ χαλκῷ. 442
Τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
Ῥίψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν.

deierare, nihil se fraudis facturos, quo minus Olympici ludi rite fiant. Athletae quidem ipsi hoc amplius iurant, se decem perpetuos menses accurate meditatos, quae ad exercitationem requiruntur. Iurant praeterea, qui vel de viris, vel de pullis equorum in certamen prodeuntium pronunciaturi sunt, ob rem iudicandam pecuniam se nullam capturos. Qua vero re adducti quemvis aut probarint, aut improbarint, se non esse in vulgus prolaturos. Iam vero sus ille confecto iureiurando cuinam sit usui, percontari in mentem non venit. Veteri quidem religione sancitum scio, ne victima vescerentur homines, super qua iusiurandum conceptum fuisset. Id Homerus testatur, quum exsectum illum suem, super quo Agamemnon iusiurandum concepit, Briseidem se non attigisse, in mare a *Talthybio* fetiali abiectum dixit:

Hoc ait, atque suis praeduro guttura ferro
Dissecuit; quem Talthybius contorsit in undas
Piscibus aequoreis escam.

οὕτω μὲν τὸ ἀρχαῖον τὰ τοιαῦτα ἐνόμιζον. ἔστι δὲ πρὸ τῶν ποδῶν τοῦ Ὁρκίου πινάκιον χαλκοῦν. ἐπιγέγραπται δὲ ἐλεγεῖα ἐπ' αὐτοῦ, δεῖμα θέλοντα τοῖς ἐπιορκοῦσι παριστάναι. τοσαῦτα ἐντὸς τῆς Ἄλτεως ἀγάλματα εἶναι Διὸς ἀνηριθμησάμεθα ἐς τὸ ἀκριβέστατον. (3) Τὸ ἀνάθημα γὰρ τὸ πρὸς τῷ μεγάλῳ ναῷ ὑπὸ ἀνδρὸς Κορινθίου τεθέν, Κορινθίων δὲ οὐ τῶν ἀρχαίων, ἀλλ' οἳ παρὰ βασιλέως ἔχουσιν εἰληφότες τὴν πόλιν, τοῦτο τὸ ἀνάθημα Ἀλέξανδρός ἐστιν ὁ Φιλίππου, Διῒ εἰκασμένος δῆθεν.

CAPUT XXV.

Alia praeter Jovis signa recensentur, signa chori puerorum a Messeniis naufragis Olympiae posita — signa puerorum ab Agrigentinis in muro Altis posita — de populis, qui Siciliam incolunt — binis Herculis signis — signis eorum, qui ad certamen cum Hectore ineundum sorte ducti sunt — signo Herculis de cingulo cum Amazone certantis — signo Herculis a Thasiis posito.

Ὁπόσα δὲ ἀλλοῖα καὶ οὐ μίμησίς ἐστι Διός, ἐπιμνησόμεθα καὶ τούτων. εἰκόνας δὲ οὐ τιμῇ τῇ πρὸς τὸ θεῖον, τῇ δὲ ἐς αὐτοὺς χάριτι ἀνατεθείσας τοῖς ἀνθρώποις, λόγῳ

Atque hoc quidem prisci fuit ritus institutum. Ante Horcii Iovis pedes aenea tabula est, in qua incisi elegi sunt ad peierantium terrorem compositi. Enumeravimus quam accuratissime, quaecunque Iovi intra Altin signa posita sunt. (3) Nam quod prope maximum templum Corinthius quidam dedicavit, (non de priscis ille quidem Corinthiis, sed quos Caesar deduxit coloniam) is est Alexander Philippi filius, Iovis ornatu.

Cap. XXV. Iam vero et eas persequemur imagines, quae Iovis non sunt simulacra. Nam quae non religionis causa, sed ad homines honestandos positae sunt statuae, eas recen-

σφᾶς τῷ ἐς τοὺς ἀθλητὰς ἀναμίξομεν. Μεσσηνίους τοὺς
ἐπὶ τῷ πορθμῷ κατὰ ἔθος δή τι ἀρχαῖον [κατ' ἔτος] πέμ-
ποντας ἐς Ῥήγιον χορὸν παίδων πέντε ἀριθμὸν καὶ τριά-
κοντα, καὶ διδάσκαλόν τε ὁμοῦ τῷ χορῷ, καὶ ἄνδρα αὐ-
λητὴν, ἐς ἑορτήν τινα τῶν Ῥηγίνων ἐπιχώριον, κατέλα-
βεν αὐτούς ποτε συμφορὰ, μηδένα ὀπίσω τῶν ἀποσταλέν-
των σφίσιν ἀποσωθῆναι· ἀλλὰ ἡ ναῦς ἡ ἄγουσα τοὺς
παῖδας ἠφανίσθη σὺν αὐτοῖς κατὰ τοῦ βυθοῦ. ἔστι γὰρ
δὴ ἡ κατὰ τοῦτον θάλασσα τὸν πορθμὸν θαλάσσης χειμε-
ριωτάτη πάσης. οἵ τε γὰρ ἄνεμοι ταράσσουσιν αὐτὴν ἀμ-
φοτέρωθεν, τὸ κῦμα ἐπάγοντες ἐκ τοῦ Ἀδρίου, καὶ ἐξ ἑτέ-
ρου πελάγους, ὃ καλεῖται Τυρσηνόν. ἤν τε καὶ ἀνέμων
ἀπῇ πνεύματα, ὁ δὲ καὶ τηνικαῦτα ὁ πορθμὸς κίνησιν
βιαιοτάτην αὐτὸς ἐξ αὐτοῦ καὶ ἰσχυρὰς παρέχεται παλιῤ-
ῤοίας· θηρία τε τοσαῦτα ἐς αὐτὸν τὰ ἀθροιζόμενά ἐστιν,
ὡς καὶ τὸν ἀέρα τὸν ὑπὲρ τῆς θαλάσσης ταύτης ἀναπίμ-
πλασθαι τῶν θηρίων τῆς ὀσμῆς, ὡς σωτηρίας γε ἐκ τοῦ
πορθμοῦ μηδὲ ἐλπίδος τι ὑπολείπεσθαι ναυαγῷ. εἰ δὲ
ἐνταῦθα συνέπεσε καὶ Ὀδυσσεῖ διαφθαρῆναι τὴν ναῦν, ἄλ- 443
λως μὲν οὐκ ἄν τις πείθοιτο ἐκνήξασθαι ζῶντα ἐς τὴν Ἰτα-
λίαν αὐτόν. τὸ δὲ ἐκ τῶν θεῶν εὐμενὲς ἐπὶ παντὶ ἐργά-

sebimus in athletarum commemoratione. Quum Mamertini freti accolae ad festos ludorum dies, quos Rhegini solenni ritu agitabant, pueros triginta quinque, cumque his chori magistrum et tibicinem misissent, nave fracta, ad unum omnes periere. Est enim fretum illud foedissimis tempestatibus infame: siquidem venti e diversa superi inferique maris regione (quae maria Adriacum et Tyrrhenum vocant) spirantes, ab alto undas cient, et procellis infestissimas reddunt. Quin et quum venti posuere, ea est influentis et refluentis pelagi concitatio, tam gravis belluarum magna copia innatantium odor, ut naufragis nulla salutis reliqua fiat spes. Quod si navem hoc in freto Ulysses fregisset, non ille quidem in Italiam incolumis enatasset. Sed nimirum deorum lenitas in omnibus infortuniis malorum aliquam allevationem affert.

ζεται ῥαστώνην. τότε δὲ ἐπὶ τῇ ἀπωλείᾳ τῶν παίδων οἱ Μεσσήνιοι πένθος ἦγον, καὶ ἄλλα τέ σφισιν ἐς τιμὴν αὐτῶν ἐξευρέθη, καὶ εἰκόνας ἐς Ὀλυμπίαν ἀνέθεσαν χαλκᾶς, σὺν δὲ αὐτοῖς τὸν διδάσκαλον τοῦ χοροῦ καὶ τὸν αὐλητήν. τὸ μὲν δὴ ἐπίγραμμα ἐδήλου τὸ ἀρχαῖον, ἀναθήματα εἶναι τῶν ἐν τῷ πορθμῷ Μεσσηνίων· χρόνῳ δὲ ὕστερον Ἱππίας ὁ λεγόμενος ὑπὸ Ἑλλήνων γενέσθαι σοφὸς, τὰ ἐλεγεῖα ἐπ' αὐτοῖς ἐποίησεν. ἔργα δέ εἰσιν Ἠλείου Κάλλωνος αἱ εἰκόνες. (2) Ἔστι δὲ κατὰ τὴν ἄκραν ἐν Σικελίᾳ τὴν τετραμμένην ἐπὶ Λιβύης καὶ Νότου, καλουμένην δὲ Πάχυνον, Μοτύη πόλις· οἰκοῦσι δὲ Λίβυες ἐπ' αὐτῇ, καὶ Φοίνικες. τούτοις τοῖς ἐν Μοτύῃ βαρβάροις Ἀκραγαντῖνοι καταστάντες ἐπολέμουν, καὶ λείαν τε καὶ λάφυρα ἀπ' αὐτῶν λαβόντες ἀνέθεσαν τοὺς παῖδας ἐς Ὀλυμπίαν τοὺς χαλκοῦς, προτείνοντάς τε τὰς δεξιὰς, καὶ εἰκασμένους εὐχομένοις τῷ θεῷ· κεῖνται δὲ ἐπὶ τείχους οὗτοι τῆς Ἄλτεως· Καλάμιδος δὲ εἶναι σφᾶς ἔργα ἐγώ τε εἴκαζον, καὶ ἐς αὐτοὺς κατὰ τὰ αὐτὰ εἶχεν ὁ λόγος. (3) Σικελίαν δὲ ἔθνη τοσάδε οἰκεῖ· Σικανοί τε καὶ Σικελοὶ καὶ Φρύγες, οἱ μὲν ἐξ Ἰταλίας διαβεβηκότες ἐς αὐτὴν, Φρύγες δὲ ἀπὸ τοῦ Σκαμάν-

Mamertini istum puerorum interitum luxere, et quum alios illis honores habuere, tum statuam ex aere suam singulis posuere, cumque iis una chori magistro et tibicini. Vetus inscriptio donum esse Mamertinorum indicat freti accolarum. Interiecto dein tempore, Hippias, qui inter Graecos sapientiae laude claruit, elegis titulos earum statuarum fecit. Sunt illae quidem Callonis Elei opus. (2) Est ad Pachynum Siciliae promontorium, quod in Africam et ad Austros conversum est, Motye urbs; quam Afri Poenis permisti tenent. Ea civitate bello subacta, Agrigentini de manubiis puerorum aeneas posuere statuas, dexteras tendentium, et vota se Iovi nuncupare significantium. Adhaerent statuae illae Altis muris: Calamidis opus esse, et ipse suspicor, et hominum sermone vulgatum est. (3) Siciliam quidem gentes hac propemodum incolunt, Sicani, Siculi, Phryges: et illi quidem ex Italia, Phryges vero a Scamandro

δρου ποταμοῦ καὶ χώρας τῆς Τρῳάδος. οἱ δὲ Φοίνικες καὶ Λίβυες στόλῳ ἀφίκοντο ἐς τὴν νῆσον κοινῷ, καὶ ἄποικοι Καρχηδονίων εἰσί. τοσαῦτα μὲν ἐν Σικελίᾳ ἔθνη βάρβαρα. Ἑλλήνων δὲ Δωριεῖς τε ἔχουσιν αὐτὴν καὶ Ἴωνες, καὶ τοῦ Φωκικοῦ καὶ τοῦ Ἀττικοῦ γένους ἑκατέρου μοῖρα οὐ πολλή. (4) Ἐπὶ δὲ τοῦ αὐτοῦ τείχους τά τε Ἀκραγαν- 444
τίνων ἀναθήματα καὶ Ἡρακλέους δύο εἰσὶν ἀνδριάντες γυμνοί, παῖδες ἡλικίαν. τὸν δὲ ἐν Νεμέᾳ τοξεύοντα, ἔοικε, λέοντα, τοῦτον μὲν δὴ τόν τε Ἡρακλέα, καὶ ὁμοῦ τῷ Ἡρακλεῖ τὸν λέοντα, Ταραντῖνος ἀνέθηκεν Ἱπποτίων, Νικοδάμου δέ ἐστι Μαιναλίου τέχνη· τὸ δὲ ἄγαλμα τὸ ἕτερον Ἀναξίππου μέν ἐστιν ἀνάθημα Μενδαίου, μετεκομίσθη δὲ ἐνταῦθα ὑπὸ Ἠλείων· τὰ πρὸ τούτου δὲ ἔκειτο ἐπὶ τῆς ὁδοῦ τῷ πέρατι, ἣ ἄγει μὲν ἐξ Ἤλιδος ἐς Ὀλυμπίαν, καλεῖται δὲ ἱερά. (5) Ἔστι δὲ καὶ ἀναθήματα ἐν κοινῷ τοῦ Ἀχαιῶν ἔθνους, ὅσοι προκαλεσαμένου τοῦ Ἕκτορος ἐς μονομαχίαν ἄνδρα Ἕλληνα, τὸν κλῆρον ἐπὶ τῷ ἀγῶνι ὑπέμειναν. οὗτοι μὲν δὴ ἑστήκασι τοῦ ναοῦ τοῦ μεγάλου πλησίον, δόρασι καὶ ἀσπίσιν ὡπλισμένοι· ἀπαντικρὺ δὲ ἐπὶ

et Troia transmisere. At Libyes et Poenos una et eadem classe in coloniam deduxere Carthaginenses. Atque hi quidem e barbaris gentibus Siciliae inquilini. E Graecis vero Dorienses, et Iones, Phocici etiam et Attici nominis pars non utique magna. (4) In eodem Altis muro praeter Agrigentinorum dona inclusa sunt et Herculis signa duo nuda, aetate puerili:, unus idem ad eius imaginem expressus, qui sagittis in Nemea leonem confecit. Hunc cum leone dicavit Tarentinus Hippotion. Nicodami alterum opus est; alterum vero Anaxippi Mindesii dedicatio fuit. In hunc locum ab Eleis transportatum est, quum ante positum esset in fine eius viae, quae in Olympiam ex Elide ducit, et Sacra dicitur via. (5) Dedicarunt vero communi impensa Achaici concilii populi eorum signa, qui ex provocatione cum Hectore, sorte ducti, erant congressuri: atque hi quidem hastis et clypeis armati prope magnum templum stant. E regione insistit basi alteri

ἑτέρου βάθρου πεποίηται Νέστωρ τὸν ἑκάστου κλῆρον ἐσβεβληκὼς ἐς τὴν κυνῆν. τῶν δὲ ἐπὶ τῷ Ἕκτορι κληρουμένων ἀριθμὸν τὸν ὀκτὼ (τὸν γὰρ ἔνατον αὐτῶν, τὴν τοῦ Ὀδυσσέως εἰκόνα, Νέρωνα κομίσαι λέγουσιν ἐς Ῥώμην) τῶν δὲ ὀκτὼ τούτων ἐπὶ μόνῳ τῷ ἀγάλματι Ἀγαμέμνονος τὸ ὄνομά ἐστι γεγραμμένον· γέγραπται δὲ καὶ τοῦτο ἐπὶ τὰ λαιὰ ἐκ δεξιῶν. ὅτου δὲ ὁ ἀλεκτρυών ἐστιν ἐπίθημα τῇ ἀσπίδι, Ἰδομενεύς ἐστιν ὁ ἀπόγονος Μίνω· τῷ δὲ Ἰδομενεῖ γένος ἀπὸ τοῦ Ἡλίου τοῦ πατρὸς Πασιφάης. Ἡλίου δὲ ἱερόν φασιν εἶναι τὸν ὄρνιθα, καὶ ἀγγέλλειν ἀνιέναι μέλλοντος τοῦ ἡλίου. γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπὶ τῷ βάθρῳ·

> Τῷ Διῒ Ἀχαιοὶ τὰ ἀγάλματα ταῦτ' ἀνέθηκαν,
> Ἔγγονοι ἀντιθέου Ταντάλιδα Πέλοπος.

445 τοῦτο μὲν δὴ ἐνταῦθά ἐστι γεγραμμένον. ὁ δὲ ἀγαλματοποιὸς ὅστις ἦν, ἐπὶ τοῦ Ἰδομενέως γέγραπται τῇ ἀσπίδι·

> Πολλὰ μὲν ἄλλα σοφοῦ ποιήματα, καὶ τόδ' Ὀνατᾶ
> Ἔργον, ἐν Αἰγίνῃ τὸν τέκε παῖδα Μίκων.

Nestor, coniectis in galeam sortibus. Et sorte quidem novem exiere, sed octo duntaxat extant. Nam Ulyssem (fuit enim et ipse in eo numero) Nero Romam asportasse dicitur. Uni vero tantum, Agamemnoni scilicet, nomen adscriptum est, *atque inverso quidem ordine*, a dextera in laevam partem excurrentibus literis. Et is quidem, cuius in scuto pro insigni gallus gallinaceus, Idomeneus est Minois nepos, a Pasiphae Solis filia oriundus. Gallinaceum certe soli sacram avem celebrant, quod cantu solis ortum nunciet. Incisi sunt in basi elegi:

> Signa Iovi haec olim magno posuistis Achivi,
> Queis genus a divo Tantalida Pelope.

Opificis nomen in ipso inscriptum est Idomenei scuto:

> Praestans laude operum multorum fecit Onatas,
> Cui patria Aegine, cuique Micon genitor.

(6) Οὐ πόῤῥω δὲ τοῦ Ἀχαιῶν ἀναθήματος καὶ Ἡρακλῆς ἐστιν ὑπὲρ τοῦ ζωστῆρος μαχόμενος πρὸς τὴν Ἀμαζόνα ἔφιππον γυναῖκα. τοῦτον Εὐαγόρας μὲν γένος Ζαγκλαῖος ἀνέθηκεν, ἐποίησε δὲ Κυδωνιάτης Ἀριστοκλῆς. ἐν δὲ τοῖς μάλιστα ἀρχαίοις καταριθμήσασθαι καὶ τὸν Ἀριστοκλέα ἔστι· καὶ σαφῶς μὲν ἡλικίαν οὐκ ἔχοι τὶς ἂν εἰπεῖν αὐτοῦ, δῆλα δὲ ὡς πρότερον ἔτι ἐγένετο, πρὶν ἢ τῇ Ζάγκλῃ τὸ ὄνομα γενέσθαι τὸ ἐφ' ἡμῶν Μεσσήνην. (7) Θάσιοι δὲ Φοίνικες τὸ ἀνέκαθεν ὄντες, καὶ ἐκ Τύρου καὶ Φοινίκης τῆς ἄλλης ὁμοῦ Θάσῳ τῷ Ἀγήνορος κατὰ ζήτησιν ἐκπλεύσαντες τὴν Εὐρώπης, ἀνέθεσαν Ἡρακλέα ἐς Ὀλυμπίαν, τὸ βάθρον χαλκοῦν ὁμοίως τῷ ἀγάλματι. μέγεθος μὲν δὴ τοῦ ἀγάλματός εἰσι πήχεις δέκα, ῥόπαλον δὲ ἐν τῇ δεξιᾷ, τῇ δὲ ἀριστερᾷ χειρὶ ἔχει τόξον. ἤκουσα δὲ ἐν Θάσῳ, τὸν αὐτὸν σφᾶς Ἡρακλέα, ὃν καὶ Τύριοι, σέβεσθαι, ὕστερον δὲ ἤδη τελοῦντας ἐς Ἕλληνας νομίσαι καὶ Ἡρακλεῖ τῷ Ἀμφιτρύωνος νέμειν τιμάς. τῷ δὲ ἀναθήματι τῷ ἐς Ὀλυμπίαν Θασίων ἔπεστιν ἐλεγεῖον·

(6) Non longe ab Achaeorum dono Hercules est, cum equestri Amazone pro baltheo pugnans. Euagoras quidem Zanclaeus posuit, fecit Cydionates Aristocles. Potest hic Aristocles inter vetustissimos numerari; nec certo quisquam eius aetatem prodere queat. Hoc constat, fuisse illum, antequam Zancle (quo nomine aetate nostra appellatur) Messene vocaretur. (7) Dedicarunt et Thasii (qui e Tyro et reliqua Phoenice oriundi, ad Europam quaerendam cum Thaso Agenoris filio classi profecti sunt) Herculem in Olympia aeneum, super aenea basi. Eius magnitudo est cubitum X: dextera clavam, arcum laeva tenet. Et Thasi quidem audivi Tyrium esse Herculem, quem Thasii ab initio essent venerati: sed enim quum se illi Graecis adiunxissent, coeptos ab iis Amphitryonis etiam filio honores haberi. Adscripti sunt Thasiorum dono elegi:

ἑτέρου βάθρου πεποίηται Νέστωρ τὸν ἑκάστου κλῆρον ἐσβεβληκὼς ἐς τὴν κυνῆν. τῶν δὲ ἐπὶ τῷ Ἕκτορι κληρουμένων ἀριθμὸν τὸν ὀκτὼ (τὸν γὰρ ἔνατον αὐτῶν, τὴν τοῦ Ὀδυσσέως εἰκόνα, Νέρωνα κομίσαι λέγουσιν ἐς Ῥώμην) τῶν δὲ ὀκτὼ τούτων ἐπὶ μόνῳ τῷ ἀγάλματι Ἀγαμέμνονος τὸ ὄνομά ἐστι γεγραμμένον· γέγραπται δὲ καὶ τοῦτο ἐπὶ τὰ λαιὰ ἐκ δεξιῶν. ὅτου δὲ ὁ ἀλεκτρυών ἐστιν ἐπίθημα τῇ ἀσπίδι, Ἰδομενεύς ἐστιν ὁ ἀπόγονος Μίνω· τῷ δὲ Ἰδομενεῖ γένος ἀπὸ τοῦ Ἡλίου τοῦ πατρὸς Πασιφάης. Ἡλίου δὲ ἱερόν φασιν εἶναι τὸν ὄρνιθα, καὶ ἀγγέλλειν ἀνιέναι μέλλοντος τοῦ ἡλίου. γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπὶ τῷ βάθρῳ·

Τῷ Διὶ τἈχαιοὶ τὰ ἀγάλματα ταῦτ' ἀνέθηκαν,
Ἔγγονοι ἀντιθέου Ταντaλίδα Πέλοπος.

445 τοῦτο μὲν δὴ ἐνταῦθά ἐστι γεγραμμένον. ὁ δὲ ἀγαλματοποιὸς ὅστις ἦν, ἐπὶ τοῦ Ἰδομενέως γέγραπται τῇ ἀσπίδι·

Πολλὰ μὲν ἄλλα σοφοῦ ποιήματα, καὶ τόδ' Ὀνάτα
Ἔργον, ἐν Αἰγίνῃ τὸν τέκε παῖδα Μίκων.

Nestor, coniectis in galeam sortibus. Et sorte quidem novem exiere, sed octo duntaxat extant. Nam Ulyssem (fuit enim et ipse in eo numero) Nero Romam asportasse dicitur. Uni vero tantum, Agamemnoni scilicet, nomen adscriptum est, *atque inverso quidem ordine*, a dextera in laevam partem excurrentibus literis. Et is quidem, cuius in scuto pro insigni gallus gallinaceus, Idomeneus est Minois nepos, a Pasiphae Solis filia oriundus. Gallinaceum certe soli sacram avem celebrant, quod cantu solis ortum nunciet. Incisi sunt in basi elegi:

Signa Iovi haec olim magno posuistis Achivi,
Queis genus a divo Tantalida Pelope.

Opificis nomen in ipso inscriptum est Idomenei scuto:

Praestans laude operum multorum fecit Onatas,
Cui patria Aegine, cuique Micon genitor.

(6) Οὐ πόῤῥω δὲ τοῦ Ἀχαιῶν ἀναθήματος καὶ Ἡρακλῆς ἐστιν ὑπὲρ τοῦ ζωστῆρος μαχόμενος πρὸς τὴν Ἀμαζόνα ἔφιππον γυναῖκα. τοῦτον Εὐαγόρας μὲν γένος Ζαγκλαῖος ἀνέθηκεν, ἐποίησε δὲ Κυδωνιάτης Ἀριστοκλῆς. ἐν δὲ τοῖς μάλιστα ἀρχαίοις καταριθμήσασθαι καὶ τὸν Ἀριστοκλέα ἔστι· καὶ σαφῶς μὲν ἡλικίαν οὐκ ἔχοι τὶς ἂν εἰπεῖν αὐτοῦ, δῆλα δὲ ὡς πρότερον ἔτι ἐγένετο, πρὶν ἢ τῇ Ζάγκλῃ τὸ ὄνομα γενέσθαι τὸ ἐφ' ἡμῶν Μεσσήνην. (7) Θάσιοι δὲ Φοίνικες τὸ ἀνέκαθεν ὄντες, καὶ ἐκ Τύρου καὶ Φοινίκης τῆς ἄλλης ὁμοῦ Θάσῳ τῷ Ἀγήνορος κατὰ ζήτησιν ἐκπλεύσαντες τὴν Εὐρώπης, ἀνέθεσαν Ἡρακλέα ἐς Ὀλυμπίαν, τὸ βάθρον χαλκοῦν ὁμοίως τῷ ἀγάλματι. μέγεθος μὲν δὴ τοῦ ἀγάλματός εἰσι πήχεις δέκα, ῥόπαλον δὲ ἐν τῇ δεξιᾷ, τῇ δὲ ἀριστερᾷ χειρὶ ἔχει τόξον. ἤκουσα δὲ ἐν Θάσῳ, τὸν αὐτὸν σφᾶς Ἡρακλέα, ὃν καὶ Τύριοι, σέβεσθαι, ὕστερον δὲ ἤδη τελοῦντας ἐς Ἕλληνας νομίσαι καὶ Ἡρακλεῖ τῷ Ἀμφιτρύωνος νέμειν τιμάς. τῷ δὲ ἀναθήματι τῷ ἐς Ὀλυμπίαν Θασίων ἔπεστιν ἐλεγεῖον·

(6) Non longe ab Achaeorum domo Hercules est, cum equestri Amazone pro baltheo pugnans. Euagoras quidem Zanclaeus posuit, fecit Cydionates Aristocles. Potest hic Aristocles inter vetustissimos numerari; nec certo quisquam eius aetatem prodere queat. Hoc constat, fuisse illum, antequam Zancle (quo nomine aetate nostra appellatur) Messene vocaretur. (7) Dedicarunt et Thasii (qui e Tyro et reliqua Phoenice oriundi, ad Europam quaerendam cum Thaso Agenoris filio classi profecti sunt) Herculem in Olympia aeneum, super aenea basi. Eius magnitudo est cubitum X: dextera clavam, arcum laeva tenet. Et Thasi quidem audivi Tyrium esse Herculem, quem Thasii ab initio essent venerati: sed enim quum se illi Graecis adiunxissent, coeptos ab iis Amphitryonis etiam filio honores haberi. Adscripti sunt Thasiorum dono elegi:

Υἱὸς μὲν γε Μίκωνος Ὀνάτας ἐξετέλεσσεν
Αὐτὸς ἐν Αἰγίνῃ δώματα ναιετάων.

τὸν δὲ Ὀνατᾶν τοῦτον, οὗτινος τῆς τέχνης ἐστὶ τὰ ἀγάλματα, ὄντα Αἰγινήτην, οὐδενὸς ὕστερον θήσομεν τῶν ἀπὸ Δαιδάλου τε καὶ ἐργαστηρίου τοῦ Ἀττικοῦ.

CAPUT XXVI.

De signo victoriae a Doriensibus Messeniis Olympiae posito — Smicythi donaria recenseantur — inter ea signum Agonis (Certaminis) halteres portantis — de Smicytho — Minervae et Victoriae non alatae signo — signis Herculis quorundam laborum ab Heracleotis positis et de Heraclea ipsa.

446 Μεσσηνίων δὲ τῶν Δωριέων οἱ Ναύπακτόν ποτε παρὰ Ἀθηναίων λαβόντες ἄγαλμα ἐν Ὀλυμπίᾳ Νίκης ἐπὶ τῷ κίονι ἀνέθεσαν. τοῦτό ἐστιν ἔργον μὲν Μενδαίου Παιωνίου, πεποίηται δὲ ἀπὸ ἀνδρῶν πολεμίων, ὅτε Ἀκαρνᾶσι καὶ Οἰνιάδαις (ἐμοὶ δοκεῖν) ἐπολέμησαν. Μεσσήνιοι δὲ αὐτοὶ λέγουσι τὸ ἀνάθημά σφισιν ἀπὸ τοῦ ἔργου τοῦ ἐν τῇ Σφακτηρίᾳ νήσῳ μετὰ Ἀθηναίων, καὶ οὐκ ἐπιγράψαι

Signa Micone satus haec est fabricatus Onatas,
Contigit Aeginae cui coluisse domos.

Onatam hunc Aeginetam, cuius haec opera fuere, nulli secundum ducimus eorum, qui a Daedalo ex Attica officina nobiles artifices extitere.

Cap. XXVI. E Doriensibus Messeniis ii, qui olim Naupactum ab Atheniensibus acceptam tenuere, Victoriae signum super pila dedicarunt. Opus hoc fuit Mendaei Paeonii, de manubiis factum Acarnanum (sicuti ego existimo) et Oeniadarum. At Messenii ipsi monumentum esse praedicant rei ad Sphacteriam cum Atheniensibus gestae, atque id eo maxime argumento, quod hostium nomen adscripturi fuerint, si Acarnanes illi, aut Oeniadae fuissent, quorum certe simultatem

τὸ ὄνομα τῶν πολεμίων σφᾶς τῷ ἀπὸ Λακεδαιμονίων δείματι· ἐπὶ Οἰνιαδῶν δὲ καὶ Ἀκαρνάνων οὐδένα ἔχειν φόβον. (2) Τὰ δὲ ἀναθήματα Σμικύθου πολλά τε ἀριθμὸν καὶ οὐκ ἐφεξῆς ὄντα εὕρισκον. ἀλλὰ Ἰφίτου μὲν τοῦ Ἠλείου καὶ Ἐκεχειρίας στεφανούσης τὸν Ἴφιτον, τούτων μὲν τῶν εἰκόνων ἔχεται τοσάδε ἀναθήματα τῶν Σμικύθου· Ἀμφιτρίτη καὶ Ποσειδῶν τε καὶ Ἑστία· Γλαῦκος δὲ ὁ ποιήσας ἐστὶν Ἀργεῖος. παρὰ δὲ τοῦ ναοῦ τοῦ μεγάλου τὴν ἐν ἀριστερᾷ πλευρὰν ἀνέθηκεν ἄλλα· Κόρην τὴν Δήμητρος καὶ Ἀφροδίτην, Γανυμήδην τε καὶ Ἄρτεμιν· ποιητῶν δὲ Ὅμηρον καὶ Ἡσίοδον, καὶ θεοὺς αὖθις Ἀσκληπιὸν καὶ Ὑγίειαν. (3) Ἀγών τε ἐν τοῖς ἀναθήμασίν ἐστι τοῖς Σμικύθου φέρων ἁλτῆρας. οἱ δὲ ἁλτῆρες οὗτοι παρέσχοντο σχῆμα τοιόνδε. κύκλου παραμηκεστέρου, καὶ οὐκ ἐς τὸ ἀκριβέστατον περιφεροῦς εἰσιν ἥμισυ. πεποίηται δὲ, ὡς καὶ τοὺς δακτύλους τῶν χειρῶν διϊέναι καθάπερ δι' ὀχάνων ἀσπίδος. τούτων μὲν δὴ σχῆμά ἐστι τὸ εἰρημένον. Παρὰ δὲ τοῦ Ἀγῶνος τὴν εἰκόνα Διόνυσος καὶ ὁ Θρᾷξ

veriti non fuissent: at ne Lacedaemonios offenderent, de industria inscriptionem missam fecisse. (2) Et Smicythi quidem multa offendi passim posita dona; et post Iphiti Elei a *praeside induciarum dea* (*Ἐκεχειρίαν Graeci vocant*) coronam accipientis imaginem haec propemodum perpetuo ordine collocata sunt, Amphitrite, Neptunus, Vesta; quae omnia fecit Glaucus Argivus. *Idem vero Smicythus* ad laevum magni templi latus Proserpinam dedicavit, Venerem, Ganymedem, Dianam: e poetis Homerum et Hesiodum: Deos rursus alios, Aesculapium, et Hygian. (3) Et inter cetera Smicythi dona Agonis (*id est certaminis*) ipsius *tanquam dei* signum est, halteres portantis. Halteres isti speciem praeferunt semicirculi, non exacte rotundi, sed oblongioris; ita vero sunt fabricati, ut manuum digiti per eos traiici possint, veluti per amenta clypeorum. Haec halterum figura est. Prope Agonis signum est Liber Pater, Orpheus Thrax, et

ἐστιν Ὀρφεὺς, καὶ ἄγαλμα Διὸς, οὗ δὴ καὶ ὀλίγῳ πρότερον ἐπεμνήσθην. ταῦτα ἔργα ἐστὶν Ἀργείου Διονυσίου, τεθῆναι δὲ ὑπὸ τοῦ Σμικύθου καὶ ἄλλα ὁμοῦ τούτοις λέγουσι· Νέρωνα δὲ ἀφελέσθαι φασὶ καὶ ταῦτα. τοῖς δὲ ἐργασαμένοις αὐτὰ, γένος οὖσιν Ἀργείοις, Διονυσίῳ τε καὶ Γλαύκῳ, διδάσκαλόν σφισιν οὐδένα ἐπιλέγουσιν· ἡλικίαν δὲ αὐτῶν ὁ τὰ ἔργα ἐς Ὀλυμπίαν ἀναθεὶς ἐπιδείκνυ-
447 σιν ὁ Σμίκυθος. (4) Τὸν γὰρ δὴ Σμίκυθον τοῦτον Ἡρόδοτος ἔφη ἐν τοῖς λόγοις, ὡς Ἀναξίλα τοῦ ἐν Ῥηγίῳ τυραννήσαντος γενόμενος δοῦλος καὶ ταμίας τῶν Ἀναξίλα χρημάτων, ὕστερον τούτων ἀπιὼν οἴχοιτο ἐς Τεγέαν τελευτήσαντος Ἀναξίλα. τὰ δὲ ἐπὶ τοῖς ἀναθήμασιν ἐπιγράμματα καὶ πατέρα Σμικύθῳ Χοῖρον, καὶ Ἑλληνίδας αὐτῷ πόλεις Ῥήγιόν τε πατρίδα καὶ τὴν ἐπὶ τῷ πορθμῷ Μεσσήνην δίδωσιν οἰκεῖν· καὶ τὰ μὲν ἐπιγράμματα ἐν Τεγέᾳ* φησὶν αὐτόν. τὰ δὲ ἀναθήματα ἀνέθηκεν ἐς Ὀλυμπίαν, εὐχήν τινα ἐκτελῶν ἐπὶ σωτηρίᾳ παιδὸς νοσήσαντος νόσον φθινάδα. (5) Πλησίον δὲ τῶν μειζόνων ἀναθημάτων Σμικύθου, τέχνης δὲ τοῦ Ἀργείου Γλαύκου, Ἀθηνᾶς ἄγαλμα ἕστηκε κράνος ἐπικειμένη, καὶ αἰγίδα ἐνδεδυκυῖα·

Iovis (cuius ante mentionem feci) signum. Sunt haec omnia Argivi Dionysii opera. Alia item dedicata a Smicytho memorant, quae Nero amoverit. Opificum ipsorum Dionysii et Glauci Argivorum certi magistri non produntur: quo vero fuerint tempore, ex ipsa Smicythi aetate intelligi potest. (4) Smicythum enim Herodotus scripsit Anaxilae Rheginorum tyranni servum, ac deinde quaestorem fuisse; mortuo vero Anaxila, Tegeam migrasse. Testantur inscriptiones *multae*, Choerum illi patrem, Graecas urbes Rhegium patriam, et Messenen, quae ad fretum est, domicilium fuisse. Epigrammata quidem Tegeae sunt: dona vero, *quae superius enumeravi*, in Olympia dicitur ex voto posuisse, liberato filio tabidi morbi periculo. (5) Qua in parte maiora sunt Smicythi dona, quae fecit Argivus Glaucus, prope est Minerva galeam

Νικόδαμος μὲν εἰργάσατο ὁ Μαινάλιος, Ἠλείων δέ ἐστιν ἀνάθημα. παρὰ δὲ τὴν Ἀθηνᾶν πεποίηταί Νίκη· ταύτην Μαντινεῖς ἀνέθεσαν, τὸν πόλεμον δὲ οὐ δηλοῦσιν ἐν τῷ ἐπιγράμματι. Κάλαμις δὲ οὐκ ἔχουσαν πτερὰ ποιῆσαι λέγεται, ἀπομιμούμενος τὸ Ἀθήνησι τῆς ἀπτέρου καλουμένης ξόανον. (6) Πρὸς δὲ τοῖς ἐλάσσοσιν ἀναθήμασι τοῦ Σμικύθου, ποιηθεῖσι δὲ ὑπὸ Διονυσίου, πρὸς τούτοις Ἡρακλέους ἐστὶ τῶν ἔργων τὸ ἐς τὸν λέοντα τὸν ἐν Νεμέᾳ καὶ ὕδραν τε καὶ εἰς τὸν κύνα τοῦ ᾅδου, καὶ τὸν ἐπὶ Ἐρυμάνθῳ ποταμῷ κάπρον. ἐκόμισαν δὲ αὐτὰ ἐς Ὀλυμπίαν Ἡρακλεῶται Μαριανδυνῶν ὁμόρων βαρβάρων καταδραμόντες τὴν χώραν. Ἡ δὲ Ἡράκλεια πεπόλισται μὲν ἐπὶ Εὐξείνῳ πόντῳ, ἀπῳκίσθη δὲ ἐκ Μεγάρων· καὶ Ταναγραῖοι δὲ μετέσχον Βοιωτῶν τοῦ οἰκισμοῦ. τούτων δὲ ἀντικρὺ τῶν κατειλεγμένων, ἔστιν ἄλλα ἀναθήματα ἐπὶ στοίχου, τετραμμένα μὲν πρὸς μεσημβρίαν, τοῦ τεμένους δὲ ἐγγύτατα, ὃ τῷ Πέλοπι ἀνεῖται.

et aegidem induta, Nicodami Maenalii opus, ab Eleis dedicata. Adsistit Minervae Victoria, quam Mantinenses, incertum quo bello confecto, dedicarunt. Id enim non indicat inscriptio. Calamis fecisse dicitur: alas vero non addidit, exemplar secutus signi eius *prisci*, quod Athenis est, et Involucre nuncupatur. (6) Proximo vero loco minoribus Smicythi donis, quae Dionysius fecit, Herculis positi sunt labores: pugna cum leone Nemeo, et cum hydra; Cerberi raptus, apri Erymanthii caedes. Haec omnia in Olympia Heracleotae dedicarunt evastatis finitimis Mariandynorum finibus. Accolae Euxini Ponti sunt Heracleotae, Megarensium et Tanagraeorum colonia. E regione horum, quae iam enumeravimus, donariorum, alia sunt continenter posita signa, ad meridiem conversa, proxime ad fanum illud, quod Pelopi dedicatum est.

CAPUT XXVII.

Donaria Phormidis Olympiae — inter ea equus, cui hippomanes inest — de miro cinere in duobus Lydiae templis — signo Phormidis — signis Mercurii arietem portantis et Mercurii cum caduceo — bobus aeneis a Corcyraeis et Eretriensibus Olympiae positis — tropaeo aeneo ab Eleis erecto — Pentathli signo, Mendaeorum donario.

Ἐν δὲ αὐτοῖς καὶ τὰ ἀνατεθέντα ἐστὶν ὑπὸ τοῦ Μαιναλίου Φόρμιδος, ὃς ἐκ Μαινάλου διαβὰς ἐς Σικελίαν παρὰ Γέλωνα τὸν Δεινομένους, καὶ ἐκείνῳ τε αὐτῷ καὶ Ἱέρωνι ὕστερον ἀδελφῷ τοῦ Γέλωνος ἐς τὰς στρατείας ἀποδεικνύμενος λαμπρὰ ἔργα, ἐς τοσοῦτο προῆλθεν εὐδαιμονίας,
448 ὡς ἀναθεῖναι μὲν ταῦτα ἐς Ὀλυμπίαν, ἀναθεῖναι δὲ καὶ Ἀπόλλωνι ἄλλα ἐς Δελφούς. τὰ δὲ ἐς Ὀλυμπίαν δύο τέ εἰσιν ἵπποι καὶ ἡνίοχοι δύο, ἑκατέρῳ τῶν ἵππων παρεστὼς ἀνὴρ ἡνίοχος. ὁ μὲν δὴ πρότερος τῶν ἵππων καὶ ὁ ἀνὴρ Διονυσίου τοῦ Ἀργείου, τὰ δεύτερα δὲ ἔργα ἐστὶν Αἰγινήτου Σίμωνος. τῷ προτέρῳ δὲ τῶν ἵππων ἐπίγραμμα ἔπεστιν ἐπὶ τῇ πλευρᾷ, τὰ πρῶτα οὐ σὺν μέτρῳ. λέγει δὴ οὕτω·

Cap. XXVII. Inter haec illa spectantur, quae dicavit Phormis Maenalius. Hic a Maenalo quum in Siciliam transmisisset, multa dedit bellicae virtutis documenta, pluribus expeditionibus partim a Gelone Dinomenis filio, partim vero a Gelonis fratre Hierone susceptis. Quare ad luculentam provectus fortunam, non haec duntaxat Olympio Iovi, sed alia etiam Delphico Apollini dona dicavit. Olympica eius dona sunt equi duo, aurigae totidem. Adsistit enim suus utrique equo auriga. Alterum fecit Dionysius Argivus, Aegineta Simon alterum. Incisa est in prioris equi latere inscriptio, cuius prior pars non est metro adstricta: hoc fere modo,

Φόρμις ἀνέθηκεν
Ἀρκὰς Μαινάλιος, νῦν δὲ Συρακόσιος.

(2) *Οὗτός ἐστιν ὁ ἵππος, ὅτῳ καὶ τὸ ἱππομανὲς λόγῳ τῷ Ἠλείων ἔγκειται. δῆλα δὲ καὶ ἄλλα ἐς τιμὴν ἀνδρὸς μάγου σοφίᾳ γενέσθαι συμβαίνοντα τῷ ἵππῳ. μέγεθος μὲν ἢ εἶδος ἵππων ἀποδεῖ πολλῶν, ὅσοι τῆς Ἄλτεως ἐντὸς ἑστήκασι· πρὸς δὲ ἀποκέκοπταί τε τὴν οὐρὰν, καὶ ἔστιν ἐπὶ τῷ τοιῷδε ἔτι αἰσχίων. οἱ δὲ ἵπποι οἱ ἄρσενες οὔτι που τοῦ ἦρος μόνον, ἀλλὰ καὶ ἀνὰ πᾶσαν ἐπ' αὐτὸν ὀργῶσιν ἡμέραν. καὶ γὰρ ἐσθέουσιν ἐς τὴν Ἄλτιν ἀποῤῥηγνύοντες τὰ δεσμὰ, ἢ καὶ ἐκφεύγοντες τοὺς ἄγοντας, καὶ ἐπιπηδῶσιν αὐτῷ πολλῷ δή τι ἐμμανέστερον, ἢ ἐπὶ τὴν καλλίστην ἵππον ζῶσάν τε καὶ ἠθάδα ἀναβαίνεσθαι. ἀπολισθάνουσί τε δὴ αὐτοῖς αἱ ὁπλαὶ, καὶ ὅμως οὐκ ἀπαγορεύουσι, χρεμετίζοντές τε μᾶλλον, καὶ ἐπιπηδῶντες μετὰ βιαιοτέρας τῆς ὁρμῆς, πρὶν ἂν ὑπὸ μαστίγων καὶ ἀνάγκης ἰσχυρᾶς ἀφελκυσθῶσι· πρότερον δὲ οὐκ ἔστιν ἀπαλλαγὴ σφισιν οὐδεμία ἀπὸ τοῦ χαλκοῦ.* (3) *Καὶ ἄλλο ἐν Λυδίᾳ θεασάμενος οἶδα διάφορον μὲν θαῦμα ἢ κατὰ τὸν ἵππον*

Phormis dedicavit
Arcas Maenalius, nuncque Syracosius.

